tim, secundum ordinem. Cf. II, 10, 4 ὁ δὲ ἦγεν ἐν τάξει. III, 21, 13 τοὺς δὲ ἄλλους πεζοὺς ἐν τάξει ἕπεσθαι. Adde IV, 26 6. VI, 21, 9. Xen. Cyrop. VIII, 5, 12 ἐκάθευδον δὲ αὐτῷ ἐν τάξει — οἱ ὁπλῖται. Ibid. V, 3, 1 λαβὼν ἐν τάξει μεθ' ἑαυτοῦ τοὺς πεζούς. Itaque cum additus sit articulus, vix crediderim, eundem continere illa verba sensum, ac si omissus esset. De castris dixisse videtur Xenophon Cyrop. VIII, 3, 34 καὶ ἐσκήνησαν, οἷς μὲν ἐδόθησαν οἰκίαι, κατ' οἰκίας· οἷς δὲ μὴ, ἐν τάξει. Herodot. I, 82 ἐν τῇ τάξει εἶχε ἑωυτόν.

ἀποτεταγμένην — τὴν τάξιν] Sic recte ed. Basil. et omnes codd. Gron. ἀποτεταμένην primus dedit Vulcanius, quem secutus est Blancardus. Et horum verborum confusio haud raro a viris doctis notata est. Vide, si tanti est, Passov. ad Parthen. Erott. XXIII, 1. Wessel. ad Diod. Sic. V, 30 Stallb. ad Platon. Phileb. p. 195. Cf. ann. ad Arr. V, 15, 10 et V, 16, 8.

καὶ Κοίνου τάξιν] Ed. Basil. *Κίννου.* Vide ad I, 14, 3. Paulo ante rursus omnes fere editiones Ἀγριάνας.

20. προστέτακτο] Schmiederus προσέτακτο, deceptus fortasse veterum editionem scriptura προσέτακτο. De augmento plusquamperfecti saepe omisso dicturi sumus ad III, 7, 8 et III, 12, 1.

21. προσμίξειν ἔμελλον] Ed. Basil πρὸς μίξιν. Sic II, 22, 3 in eadem editione vitiose expressum est ἐκπλεῦσιν pro ἐκπλεύσειαν.

τοὺς δὲ φεύγοντας εὐμαρῶς αἱροῦντες] Restituimus vulgatam scripturam αἱροῦντες ex edd. vett. et quattuor codicibus. Schmiederus Gronovio obsecutus e cod. F. scripsit ἀναιροῦντες, non audito Raphelio, qui ad hunc locum rectissime haec annotavit. › *Alios in lectis adhuc, alios in fuga, quos celeriter consequebantur, interficiebant.* Ita plana et perspicua sunt omnia. Neque assentiendum puto Msto illi, quem tantopere laudat Gronovius, praeferenti ἀναιροῦντες, *tollentes, interficientes!* Nam cum participium per se sententiam non absolvat, sed omnino cum verbo κατέκτεινον sit coniungendum: nescio an satis Graecum sit ἀναιροῦντες κατέκτεινον, cum alterum αἱροῦντες κατέκτεινον tale sit, quale mox sequitur I,

σόντες καὶ φάλαγγι κατὰ κέρας, ᾗπερ ἀσθενεστάτοις αὐτοῖς καρτερωτάτῃ ἐμβολῇ προσμίξειν ἔμελλον, τοὺς μὲν ἔτι ἐν ταῖς εὐναῖς κατέκτεινον, τοὺς δὲ φεύγοντας εὐμαρῶς αἱροῦντες, ὥστε πολλοὶ μὲν αὐτοῦ ἐγκατελήφθησαν καὶ ἀπέθανον, πολλοὶ δὲ ἐν τῇ ἀποχωρήσει ἀτάκτῳ καὶ φοβερᾷ γενομένῃ, οὐκ ὀλίγοι δὲ καὶ ζῶντες ἐλήφθησαν.
Ἐγένετο δὲ ἡ δίωξις τοῖς μὲν ἀμφὶ Ἀλέξανδρον μέχρι 22

7, 1 *ἀπέκτειναν ξυλλαβόντες.* Adhaec *εὐμαρῶς facile* haud paulo melius convenire cum *αἱροῦντες*, quam *ἀναιροῦντες*, quemlibet arbitror, qui considerare volet, intellecturum.« — Cum nostro loco conferri possunt, quae, si non gemina, tamen similia sunt, I, 22, 4 *οἱ μὲν γὰρ εἰς χεῖρας ἐλθόντες — ἀπέθανον, οἱ δὲ ἀμφὶ τῷ τείχει.* I, 22, 6 *τοὺς μὲν καταπατηθέντας διαφθαρῆναι —, τοὺς δὲ —βαλλομένους.* VI, 7, 11 *οἱ μὲν — ἐν αὐταῖς ἀπέθνησκον, οἱ πολλοὶ δὲ μαχόμενοι αὐτῶν.* Altera scriptura *ἀναιροῦντες*, quam solam veram nuncupavit Gronovius, non nisi per enallagen modorum defendi potest; id quod non vidit Gronovius. Nimirum loco participii *ἀναιροῦντες* ponendus erat indicativus *ἀνῄρουν.* Sed solent Graeci scriptores potius a participio ad tempus finitum transire. Vide mihi Thucyd. I, 57 *ἔς τε τὴν Λακεδαίμονα πέμπων —, καὶ τοὺς Κορινθίους προσεποιεῖτο.* Lucian. dial. mar. c. 4 — *ἄλλο μὲν αὐτὸς βοῶν, ἄλλο δὲ ἡ λύρα ὑπήχει.* Arr. Exp. V, 8, 8 *καὶ ξυνετμήθη τε τὰ πλοῖα —, ὅσα μὲν βραχύτερα, διχῇ διατμηθέντα, αἱ τριακόντοροι δὲ τριχῇ ἐτμήθησαν.* Cf. Goell. ad Thucyd. I, 1, p. 48. Fritzschii Quaestt. Lucc. p. 112. Schaef. ad Demosth. t. II. p. 75. Adde ann. ad II, 11, 5. Quae Mathiaeus Gr. Gr. ub. p. 1300 et Siebelisius ad Pausan. X, 32, 5 afferunt exempla, longe alius generis sunt. Neque huc trahi potest quod similitudinis speciem habet, Paus. I, 9, 1 *ἡ μήτηρ οὐκ εἴα καλεῖν —, πρότερον δὲ — πεμφθῆναι πράξασα.*

ὥστε πολλοὶ — ἐγκατελήφθησαν] Sic cod. F. *κατελήφθησαν* edd. vett. et quattuor codd. Gronovii. Eandem scripturae discrepantiam notavimus ad I, 9, 8. Ad stabiliendam eam lectionem, quam probavimus, conferas I, 19, 6 *ἐγκατελήφθησαν ἐν τῷ στόματι τοῦ λιμένος.* II, 24, 9 *καὶ τῶν ξένων ὅσοι ἐγκατελήφθησαν.* III, 15, 13 *τὰ χρήματα δὲ ἐγκατελήφθη.* V, 24, 11 *οὗτοι ἐγκαταληφθέντες — ἀπέθανον.* VI, 7, 11 *καὶ ἐν αὐταῖς ἐγκαταλαμβανόμενοι ἀπέθνησκον.* VI, 24, 11 *εἰ — ἐγκαταληφθεῖεν.*

22. *ἐγένετο δὲ — τοῖς ἀμφὶ Ἀλέξανδρον*] Ante *ἀμφί* in edd. Vulc. Blancard. Gron. Raphel. et Schmied. inserta legebatur particula

πρὸς τὰ ὄρη τῶν Ταυλαντίων· ὅσοι δὲ καὶ ἀπέφυγον αὐ-
23 τῶν, γυμνοὶ τῶν ὅπλων διεσώθησαν. Κλεῖτος δὲ ἐς τὴν πόλιν τὸ πρῶτον καταφυγὼν, ἐμπρήσας τὴν πόλιν ἀπηλλάγη παρὰ Γλαυκίαν ἐς Ταυλαντίους.

VII. Ἐν τούτῳ δὲ τῶν φυγάδων τινὲς τῶν ἐκ Θηβῶν φευγόντων παρελθόντες νύκτωρ ἐς τὰς Θήβας, ἐπαγομένων τινῶν αὐτοὺς ἐπὶ νεωτερισμῷ ἐκ τῆς πόλεως, Ἀμύνταν μὲν καὶ Τιμόλαον τῶν τὴν Καδμείαν ἐχόντων οὐδὲν ὑποτοπήσαντας πολέμιον ἔξω τῆς Καδμείας ἀπέκτειναν
2 ξυλλαβόντες· ἐς δὲ τὴν ἐκκλησίαν παρελθόντες ἐπῆραν τοὺς Θηβαίους ἀποστῆναί ἀπὸ Ἀλεξάνδρου, ἐλευθερίαν τε προϊσχόμενοι, παλαιὰ καὶ καλὰ ὀνόματα, καὶ τῆς βα-
3 ρύτητος τῶν Μακεδόνων ἤδη ποτὲ ἀπαλλαγῆναι· πιθανώτεροι δὲ ἐς τὸ πλῆθος ἐφαίνοντο, τεθνηκέναι Ἀλέξανδρον

μέν, quae, quamvis optime habeat, tamen reiicienda videbatur, cum eam ignorarent edd. Venet. et Basil. atque omnes codices Gronovii.

C. VII. ἐπαγομένων τινῶν — ἐκ τῆς πόλεως] Apte Vulcanius: *ac per cives aliquot ad novandas res sollicitati.* Coniungenda enim sunt verba τινῶν ἐκ τῆς πόλεως. Cf. ann. ad I, 19, 11 et II, 27, 9.

ἀπέκτειναν ξυλλαβόντες) »In uno erat ξυμβαλόντες. Sed sic quoque IV, 1, 5 οἱ βάρβαροι τοὺς στρατιώτας τῶν Μακεδόνων ξυλλαβόντες ἀπέκτειναν.« *Gronov.* Centena huius verborum confusionis exempla possint afferri. Sic Xen. Hellen. V, 2, 1 pro ξυμβαλλομένους alii praeferunt ξυλλαβομένους. Cyrop. II, 4, 6 pro ψέλλια λαβών nonnulli codices habent βαλών. Cf. Wessel. ad Diod. XI, 30 et XV, 85.

2. ἐπῆραν] Ita recte ed. Basil. ἐπῇραν rell. edd.

ἐλευθερίαν τε — ὀνόματα] Schmiederus: »ἓν διὰ δυοῖν pro ἐλευθερίας παλαιὰ καὶ καλὰ ὀνόματα.« Vereor ut hoc quisquam credat Schmiedero. Verba παλαιὰ καὶ καλὰ ὀνόματα appositioni inserviunt. Cf. Luc. Tim. p. 155, t. I, ed. Bip. φυλέται δὲ καὶ φράτορες καὶ δημόται, καὶ ἡ πατρὶς αὐτὴ, ψυχρὰ καὶ ἀνωφελῆ ὀνόματα. Vide Bernhard. Wiss. Synt. p. 64, et ann. ad I, 16, 11.

3. πιθανώτεροι] Ed. Basil. πιθανότεροι. Vid. ad I, 22, 4. Mox verba παρὰ πολλῶν ἐφοίτα minus accurate vertunt: *lateque spargebatur.* Tum potius exspectes dativum παρὰ πολλοῖς, uti dixit VII, 12, 9 λόγος ἐφοίτα παρὰ τοῖς τὰ βασιλικὰ πράγματα ἐξηγουμένοις.

ἰσχυριζόμενοι ἐν Ἰλλυριοῖς· καὶ γὰρ καὶ πολὺς ὁ λόγος
οὗτος καὶ παρὰ πολλῶν ἐφοίτα, ὅτι τε χρόνον ἀπῆν οὐκ
ὀλίγον καὶ ὅτι οὐδεμία ἀγγελία παρ᾽ αὐτοῦ ἀφῖκτο· ὥστε 4
(ὅπερ φιλεῖ ἐν τοῖς τοιοῖσδε) οὐ γινώσκοντες τὰ ὄντα τὰ
μάλιστα καθ᾽ ἡδονὴν σφισιν εἴκαζον. Πυθομένῳ δὲ Ἀλε- 5
ξάνδρῳ τὰ τῶν Θηβαίων οὐδαμῶς ἐδόκει ἀμελητέα εἶναι,
τήν τε τῶν Ἀθηναίων πόλιν δι᾽ ὑποψίας ἐκ πολλοῦ ἔχοντι,
καὶ τῶν Θηβαίων τὸ τόλμημα οὐ φαῦλον ποιουμένῳ, εἰ
Λακεδαιμόνιοί τε πάλαι ἤδη ταῖς γνώμαις ἀφεστηκότες,
καί τινες καὶ ἄλλοι τῶν ἐν Πελοποννήσῳ, καὶ Αἰτωλοὶ οὐ
βέβαιοι ὄντες συνεπιλήψονται τοῦ νεωτερισμοῦ τοῖς Θη-
βαίοις. Ἄγων δὴ παρὰ τὴν Ἑορδαίαν τε καὶ τὴν Ἐλυ- 6
μιῶτιν καὶ παρὰ τὰ τῆς Στυμφαίας καὶ Παρυαίας ἄκρα,
ἑβδομαῖος ἀφικνεῖται ἐς Πελλίναν τῆς Θετταλίας. Ἔνθεν 7

Hic est vero loci sensus: *Frequens enim erat ea de re sermo, et a multis proficiscebatur.*

4. *ὅπερ φιλεῖ ἐν τοῖς τοιοῖσδε*] Plane ita VI, 26, 2 *ὥστε καὶ τοὺς ἄλλους στρατιώτας (οἷάπερ φιλεῖ ἐν τῷ τοιῷδε) — φέρειν.* Addito verbo *γίγνεσθαι* dixit III, 11, 2 *ὅτιπερ φιλεῖ πρὸ τῶν μεγάλων κινδύνων γίγνεσθαι.* V, 28, 5 *οἷα δὴ — φιλεῖ γίγνεσθαι.*

οὐ γινώσκοντες τὰ ὄντα] Ed. Basil. male omisso articulo *οὐ γ. ὄντα.*

5. *οὐ φαῦλον ποιουμένῳ*] Verum sit, quod Schmiederus e cod. F lectori vendidit, *ἡγουμένῳ.* Equidem tamen vulgatam retineo, ut a codicibus reliquis et editionibus, ita ab Arriano ipso firmatam. Conferas, quaeso, I, 25, 11 *καὶ Ἀλέξανδρος οὐ φαῦλον ποιησάμενος τὸ τῆς χελιδόνος.* III, 24, 9 *καὶ ἔνδηλος ἐγεγόνει οὐ φαῦλον ποιούμενος σῶσαι.* Alteram lectionem qui defendere velit, afferat Xen. Hist. Gr. VI, 2, 12 *οὐ φαῦλον ἡγούμενος εἶναι — εἰκῇ περιπλεῦσαι.*

6. *τὴν Ἐλυμιῶτιν*] Num forte scribendum *Ἐλιμιῶτιν*? Sic certe scriptum videmus hoc nomen apud Diod. Sic. XVII, 57. Sic dixit quoque Livius XLV, 30 *Elimiotis*; et Plutarch. vit. Aem. Paul. p. 259, D *κατὰ τὰς Ἐλιμίας.* Apud Thucyd. II, 99 Poppo exarari iussit *Ἐλιμειῶται*, Stephanum Byzantium secutus et Aristot. Polit. V, 8. Beckerus ibi scripsit *Ἐλειμειῶται.* Verum habere videtur cod. Cass. *Ἐλιμιῶται.* — Pro Arrianeo *Ἐορδαία* Thucydides habet *Ἐορδία* II, 99. At cf. Arr. Hist. Ind. c. XVIII. 6 *Κρατερός*

δὲ ὁρμηθεὶς ἕκτῃ ἡμέρᾳ ἐσβάλλει ἐς τὴν Βοιωτίαν, ὥστε οὐ πρόσθεν οἱ Θηβαῖοι ἔμαθον εἴσω Πυλῶν παρεληλυθότα αὐτὸν, πρὶν ἐν Ὀγχηστῷ γενέσθαι ξὺν τῇ στρατιᾷ
8 πάσῃ. Καὶ τότε δὲ οἱ πράξαντες τὴν ἀπόστασιν στράτευμα ἐκ Μακεδονίας Ἀντιπάτρῳ ἀφῖχθαι ἔφασκον, αὐτὸν δὲ Ἀλέξανδρον τεθνάναι ἰσχυρίζοντο, καὶ τοῖς ἀπαγγέλλουσιν ὅτι οὗτος αὐτὸς προσάγει Ἀλέξανδρος, χαλεπῶς
9 εἶχον· ἄλλον γάρ τινα ἥκειν Ἀλέξανδρον τὸν Ἀερόπου. Ὁ δὲ Ἀλέξανδρος ἐξ Ὀγχηστοῦ ἄρας τῇ ὑστεραίᾳ προσῆγε πρὸς τὴν πόλιν τῶν Θηβαίων κατὰ τὸ τοῦ Ἰολάου τέμε-
10 νος. Οὗ δὴ καὶ ἐστρατοπέδευσεν, ἐνδιδοὺς ἔτι τοῖς Θηβαίοις τριβὴν, εἰ μεταγνόντες ἐπὶ τοῖς κακῶς ἐγνωσμένοις
11 πρεσβεύσαιντο παρ᾽ αὐτόν. Οἱ δὲ τοσούτου ἐδέησαν ἐνδόσιμόν τι παρασχεῖν ἐς ξύμβασιν, ὥστε ἐκθέοντες ἐκ τῆς πόλεως

τε — καὶ Περδίκκας —, Ἐορδαῖοι, et Exp. VI, 28, 6 Πτολεμαῖον δὲ καὶ Πείθωνα, Ἐορδαίους.

τῆς Στυμφαίας] Sic editiones ante Gronovium omnes, qui ex coniectura Palmerii Exercc. p. 235 (cf. p. 198) scripsit τῆς Τυμφαίας. Ac sane id confirmare videtur Stephanus Byzantius: Τύμφη ὄρος Θεσπρωτικὸν καὶ Τυμφαία πόλις, et Tzetzes in scholl. ad Lycophr. Alex. v. 80, Πολυσπέρχων ὁ Τυμφαῖος. Sed apud Diodorum XVII, 57 omnes codices et editiones servarunt τῶν ὀνομαζομένων Στυμφαίων. Neque discedit Arrianus in Indicis c. XVIII, 6 Ἄτταλος ὁ Ἀνδρομένεω, Στυμφαῖος. — Mox pro Παρυαίας, cui favent ed. vett. et omnes codd. Gronovii, Palmerius l. l. scribi iussit Παραυαίας. Consentit Stephanus Byzantius: Παραυαῖοι, ἔθνος Θεσπρωτικόν. Ῥιανὸς ἐν τετάρτῳ Θεσσαλικῶν· Σὺν δὲ Παραυαίοις καὶ ἀμύμονας Ὀμφιαλῆας. Καλοῦνται δὲ ἀπὸ τοῦ παρὰ τὸν Ἄῳον ποταμὸν οἰκοῦσθαι (l. ᾠκίσθαι). Vide Holst. castigg. p. 243. Cf. Thucyd. II, 80.

ἐς Πελλίναν] E cod. F. Πελλήνην edd. vett. In codicibus reliquis erat vel πόλιν, vel Πελίνναν, vel Πελίναν. Palmerius in Exercc. p. 235 scribendum ratus Πελινναῖον erravit. Si Stephanum Byzantium sequi malis, scribe Πελίνναν, neque me dissentientem habebis. Πελινναῖον ὄρος dixit Dionysius Perieg. (v. 535.) cf. Eustath. ad h. l. p. 209 et Bernhardy. in ann. crit. p. 924.

7. Ἔνθεν δὲ ὁρμηθείς] Ed. Basil. ὁρμηθέν.

8. Ἀντιπάτρῳ ἀφῖχθαι ἔφασκον] Ita scriptum offendit Gronovius in omnibus codicibus. In ed. Venet. legebatur Ἀντιπάτρου, atque

οἵ τε ἱππεῖς καὶ τῶν ψιλῶν οὐκ ὀλίγοι ἔστε ἐπὶ τὸ στρα-
τόπεδον ἠκροβολίζοντο ἐς τὰς προφυλακάς, καί τινας καὶ
ἀπέκτειναν οὐ πολλοὺς τῶν Μακεδόνων. Καὶ Ἀλέξανδρος 12
ἐκπέμπει τῶν ψιλῶν καὶ τοξοτῶν ὥστε αὐτῶν ἀναστεῖλαι
τὴν ἐκδρομήν· καὶ οὗτοι οὐ χαλεπῶς ἀνέστειλαν ἤδη τῷ
στρατοπέδῳ αὐτῷ προσφερομένους. Τῇ δὲ ὑστεραίᾳ ἀνα- 13
λαβὼν τὴν στρατιὰν πᾶσαν καὶ περιελθὼν κατὰ τὰς πύ-
λας τὰς φερούσας ἐπ' Ἐλευθεράς τε καὶ τὴν Ἀττικήν,
οὐδὲ τότε προσέμιξε τοῖς τείχεσιν αὐτοῖς, ἀλλ' ἐστρατο-
πέδευσεν οὐ πολὺ ἀπέχων τῆς Καδμείας, ὥστε ἐγγὺς εἶ-
ναι ὠφέλειαν τῶν Μακεδόνων τοῖς τὴν Καδμείαν ἔχουσιν.
Οἱ γὰρ Θηβαῖοι τὴν Καδμείαν διπλῷ χάρακι ἐφρούρουν 14
ἀποτειχίσαντες, ὡς μήτε ἔξωθέν τινα τοῖς ἐγκατειλημμέ-
νοις δύνασθαι ἐπωφελεῖν, μήτε αὐτοὺς ἐκθέοντας βλά-

---

id voluit sine dubio editor Basileensis, exhibens *Ἀντιπάτρον* (sic). Vulcanius iam dedit *Ἀντιπάτρῳ*, ut videtur, e C. V. Dativus *Ἀντιπάτρῳ* pertinet ad *ἀφῖχθαι*. Et recte vertunt: *venisse ex Macedonia ab Antipatro exercitum.* Nam si a verbo *πέμψαι* formaretur perfectum passivi, non dubito quin Arrianus id scripsisset; neque quisquam tum in dativo offenderet, locum ita interpretatus: *e Macedonia exercitum ab Antipatro missum esse.* Ceterum cf. III, 5, 1.

τοῖς ἀπαγγέλλουσιν ὅτι] Ed. Bas. *ἀπαγγέλλουσι ὅτι*.

9. *κατὰ τὸ τοῦ Ἰολάου τέμενος*] Ed. Bas. *κατὰ τὸ Ἰολάου τέμενος*. Neque aliter legitur apud Vulcanium atque Blancardum. Secundum articulum primus inseruit Gronovius, non monito lectore, num e codicibus, an de suo eum dederit. Unde nescio an rectius omittatur.

11. *ἐνδόσιμόν τι παρασχεῖν ἐς ξύμβασιν*] Bene Vulcanius: *Illi vero tantum abfuit, ut aliquod compositionis invitamentum praeberent.* Paulo aliter de eadem re dixit IV, 27, 9 *οὐδὲν ξυμβατικὸν ἐνεδίδοσαν.* Vid. ann. ad III, 16, 5.

τῶν ψιλῶν] Ed. Basil. *τῶν φιλῶν*.

13. *Ἐλευθεράς τε*] Edd. omnes *Ἐλευθέρας τε.* Minus recte. Cf. Pausan. I, 38, 8 *τὸ δὲ ἐν Ἐλευθεραῖς — πεποίηται*, et Strab. Geogr. IX, 2, p. 266, ed. ster. — Mox ed. Basil. *οὐ δέ.*

τοῖς τείχεσιν αὐτοῖς] Ferri potest quod e codice F. dedit Schmiederus *τοῖς τείχεσιν αὐτῶν.* Sed tantum abest, ut vulgata scriptura, quam servavimus, deterior sit, ut iam propterea praeferenda videatur, quod gravior inde oritur oppositio: *ne tum qui-*

πτειν τι σφᾶς, ὁπότε τοῖς ἔξω πολεμίοις προσφέροιντο.
15 Ἀλέξανδρος δὲ (ἔτι γὰρ τοῖς Θηβαίοις διὰ φιλίας ἐλθεῖν μᾶλλόν τι ἢ διὰ κινδύνου ἤθελε) διέτριβε πρὸς τῇ Καδ-
16 μείᾳ κατεστρατοπεδευκώς. Ἔνθα δὴ τῶν Θηβαίων οἱ μὲν τὰ βέλτιστα ἐς τὸ κοινὸν γιγνώσκοντες ἐξελθεῖν ὥρμηντο παρ' Ἀλέξανδρον, καὶ εὑρέσθαι συγγνώμην τῷ πλήθει τῶν
17 Θηβαίων τῆς ἀποστάσεως· οἱ φυγάδες δὲ καὶ ὅσοι τοὺς φυγάδας ἐπικεκλημένοι ἦσαν, οὐδενὸς φιλανθρώπου τυχεῖν ἂν παρ' Ἀλεξάνδρου ἀξιοῦντες, ἄλλως τε καὶ βοιωταρχοῦντές ἐστιν οἳ αὐτῶν παντάπασιν ἐνῆγον τὸ πλῆθος ἐς τὸν πόλεμον· Ἀλέξανδρος δὲ οὐδ' ὣς τῇ πόλει προσέβαλεν.

VIII. Ἀλλὰ λέγει Πτολεμαῖος ὁ Λάγου ὅτι Περδίκκας προτεταγμένος τῆς φυλακῆς τοῦ στρατοπέδου σὺν τῇ

---

dem ad ipsos muros promovit, sed haud procul a Cadmea arce castra locavit. Simili mendo affectus erat locus l. II, 3, 6, ubi pro vulgato εἰς τὸν τόπον αὐτῶν recte iam a Schmiedero scriptum est εἰς τὸν τόπον αὐτόν. Genitivum et dativum illius pronominis confusos vide III, 11, 2 et IV, 20, 1.

14. βλάπτειν τι σφᾶς] Edd. vett. τοὺς σφᾶς. »Putidiusculum hoc. Debuerat enim τοὺς σφῶν, ut III, 12, 2 εἰ κυκλουμένους τοὺς σφῶν — κατίδοιεν et III, 13, 7 τούς τε σφῶν φεύγοντας, et III, 17, 11 τὴν χώραν τὴν σφῶν. In codicibus quibusdam deest media vocula, in alio erat τάς, in optimo βλάπτειν τε σφᾶς. Videtur legendum βλάπτειν τι σφᾶς.« *Gron.* Hanc Gronovii coniecturam, quae ipsa se commendat, iam probavit Schmiederus. Simile est VII, 21, 8 ὠφελῆσαί τι τὴν χώραν, et II, 13, 6 μή τι νεωτερίσωσι. I, 18, 3 ὅτι καὶ αὐτοί τι — ἐνεωτέρισαν.

17. βοιωταρχοῦντές ἐστιν οἳ αὐτῶν] Edd. Basil. Vulc. Blanc. εἰσὶν οἵ. »Mssti plane omnes ἐστιν. Immo et Veneta editio. Primi mutarunt Basileenses. Et quare? Utique II, 8, 10 καὶ τούτων ἐστὶν οἳ κατὰ νῶτον ἐγένοντο, Et 23, 10 εἴχοντο αὐτῷ πύργοι ἐστὶν οἵ. Et millies ita.« *Gronov.* Borheckius rursus scripsit εἰσὶν οἵ, quod, quamquam hoc loco non erat reponendum, tamen optime habet. Cf. I, 13, 7 αἱ δὲ ὄχθαι αὗται ὁρᾷς ὅτι ὑπερύψηλοι καὶ κρημνώδεις εἰσὶν αἳ αὐτῶν. IV, 9, 3 καὶ λέγουσίν εἰσιν οἳ τὸν Ἀλέξανδρον.

οὐδ' ὣς] Schmiederus οὐδ' ὥς.

C. VIII. σὺν τῇ αὐτοῦ τάξει] Ed. Basil. αὑτοῦ.

αὐτοῦ τάξει, καὶ τοῦ χάρακος τῶν πολεμίων οὐ πολὺ ἀφ-
εστηκὼς, οὐ προσμείνας παρ' Ἀλεξάνδρου τὸ ἐς τὴν μά-
χην ξύνθημα αὐτὸς πρῶτος προσέμιξε τῷ χάρακι· καὶ δια-
σπάσας αὐτὸν ἐνέβαλεν ἐς τῶν Θηβαίων τὴν προφυλα-
κήν. Τούτῳ δὲ ἑπόμενος Ἀμύντας ὁ Ἀνδρομένους, ὅτι 2
καὶ ξυντεταγμένος τῷ Περδίκκᾳ ἦν, ἐπήγαγε καὶ αὐτὸς
τὴν αὐτοῦ τάξιν, ὡς εἶδε τὸν Περδίκκαν προεληλυθότα
εἴσω τοῦ χάρακος. Ταῦτα δὲ ἰδὼν Ἀλέξανδρος, ὡς μὴ 3
μόνοι ἀπολειφθέντες πρὸς τῶν Θηβαίων κινδυνεύσειαν,
ἐπῆγε τὴν ἄλλην στρατιάν. Καὶ τοὺς μὲν τοξότας καὶ 4
τοὺς Ἀγριᾶνας ἐκδραμεῖν ἐσήμηνεν εἴσω τοῦ χάρακος, τὰ
δὲ ἀγήματα καὶ τοὺς ὑπασπιστὰς ἔτι ἔξω κατεῖχεν. Ἔνθα 5
δὴ Περδίκκας μὲν τοῦ δευτέρου χάρακος εἴσω παρελθεῖν
βιαζόμενος, αὐτὸς μὲν βληθεὶς πίπτει αὐτοῦ καὶ ἀποκο-

οὐ προσμείνας παρ' Ἀλεξάνδρου] Schmiederus e codice F. *πρὸς Ἀλεξάνδρου* edd. vett. et rell. codd. Gronovii. Alteram scripturam solam esse veram apparebit ex ann. ad I, 25, 5. V, 12, 7 et V, 18, 10.

3. *Ἀλέξανδρος, ὡς μὴ — κινδυνεύσειαν*] Sic edd. vett. et quattuor codd. Gronovii. Schmiederus, Gronovio obsecutus, e codice F. post *Ἀλέξανδρος* adiecit verba *καὶ δείσας*, quae glossam sapere mihi sunt visa. Nuspiam enim post *δεδιέναι* repertum mihi est apud Arrianum *ὡς μή*, neque apte ita dici potest. Contra *ὡς μή* cum optativo saepe leges apud eum in similibus dicendi formulis, ut II, 22, 3 *ἔταξεν, ὡς μὴ ἐκπλεύσειαν*. V, 12, 7 *ἐπέρα, ὡς μὴ — ὀφθεῖεν*. VII, 14, 18 *δρᾶσαι, ὡς μὴ δοκοίη*. Similis glossae vestigium nuper deprehendi apud Thucydid. I, 58 *ἐλθόντες δὲ καὶ ἐς τὴν Λακεδαίμονα μετὰ Κορινθίων [ἔπρασσον] ὅπως ἑτοιμάσαιντο*, ubi suo iure Goellerus *ἔπρασσον* uncis inclusit, quod sine dubio a Thucydidis lectore quodam propter sequens *πράσσοντες* ad explicandum illud *ὅπως* margini adscriptum postea in textum transierat. Cf. Schaef. ad Demosth. t. II, p. 268. Adde ann. ad Arr. VI, 19, 10. Itaque si quid mutandum esset, scriberem *καὶ δείσας μὴ κινδυνεύσειαν*. Particula *ὡς* facile oriri poterat ex ultima praegressi vocabuli syllaba. Cf. II, 13, 6 *ἐπὶ Χίον ἐστάλη, δείσας μή τι — νεωτερίσωσιν*. Xen. Hist. Gr. V, 2, 31 *ἔφευγον — ἔξω τῆς πόλεως, δείσαντες μὴ ἀποθάνοιεν*.

4. *τοὺς Ἀγριᾶνας*] Edd. Basil. et Schmied. *Ἀγριάνας*.

μίζεται κακῶς ἔχων ἐπὶ τὸ στρατόπεδον· καὶ χαλεπῶς διε-
6 σώθη ἀπὸ τοῦ τραύματος. Τοὺς μέντοι Θηβαίους ἐς
τὴν κοίλην ὁδὸν τὴν κατὰ τὸ Ἡράκλειον φέρουσαν οἱ ἅμα
αὐτῷ εἰσπεσόντες ὁμοῦ τοῖς παρ' Ἀλεξάνδρῳ τοξόταις συν-
7 έκλεισαν. Καὶ ἔστε μὲν ἐπὶ τὸ Ἡράκλειον ἀναχωροῦσιν
εἵποντο τοῖς Θηβαίοις· ἐντεῦθεν δὲ ἐπιστρεψάντων αὖθις
8 σὺν βοῇ τῶν Θηβαίων φυγὴ τῶν Μακεδόνων γίγνεται· καὶ
Εὐρυβώτας τε ὁ Κρὴς πίπτει ὁ τοξάρχης, καὶ αὐτῶν τῶν

τὰ δὲ ἀγήματα] »Vellem *τὸ δὲ ἄγημά τε* propter sectionem octavam et quia nunquam hoc plurali Arrianus utitur.« *Schmied.* Cum tam confidenter Schmiederum viderem contendere, pluralem vocis *ἄγημα* nunquam reperiri apud Arrianum, in mentem venit scribere *τὰ δὲ τάγματα*, quo plurali usus est Diod. Sic. XVII, 33 et Plutarchus vit. Aem. Paul. c. XVIII. Vidi praeterea vocabula *τάγμα* et *ἄγημα* confusa apud Diod. Sic. XVII, 57. Nunc tamen in vulgata acquiescendum censeo. Primum enim pluralis vocis *ἄγημα* non solum sese obtulit nobis apud Plutarch. vit. Aem. Paul. c. XIX *τοὺς ἐν τοῖς ἀγήμασι Μακεδόνας*, sed etiam apud ipsum Arrianum VII, 29, 9 *ταῖς τάξεσιν αὐτῶν — τοὺς μηλοφόρους, καὶ τοῖς ἀγήμασι τοὺς ὁμοτίμους.* Deinde autem quidni sub plurali *ἀγήματα* intelligantur equites et pedites? Sic memoratur II, 8, 5 *τῶν πεζῶν τὸ ἄγημα* una cum *ὑπασπισταῖς*, et V, 22, 9 *τῶν ἱππέων τὸ ἄγημα.* Cf. III, 11, 13 *τὸ ἄγημα τῶν ὑπασπιστῶν καὶ ἐπὶ τούτῳ οἱ ἄλλοι ὑπασπισταί.* IV, 24, 1 *τῶν ἱππέων τὸ ἄγημα καὶ τῶν ἄλλων ἑταίρων.* V, 2, 7 *ξὺν τοῖς ἑταίροις ἱππεῦσι καὶ τῷ πεζικῷ ἀγήματι.* V, 12, 3 *τῶν ἑταίρων τὸ ἄγημα.* VI, 21, 5 *τῆς ἵππου τῆς ἑταιρικῆς τὸ ἄγημα.*

5. *αὐτὸς μὲν βληθείς*] Recte ita omnes editiones praeter Basil., in qua legitur *αὐτὸς δὲ κληθείς.* Particula *δέ* minus apta h. l. ab editore propter praecedens *Περδίκκας μέν* inducta videtur. De literis *κ* et *β* in edd. et codd. saepe confusis vide Bast. comm. palaeogr. p. 708 et ann. ad Arr. I, 19, 7. Ceterum cf. ann. ad I, 24, 1.

6. *κατὰ τὸ Ἡράκλειον*] Accentum non mutavi, quamquam etiam fuere qui scribi vellent *Ἡρακλεῖον.* Vide cl. Lob. ad Phryn. p. 369. *Ἡράκλειον* scripsit quoque Poppo apud Thucyd. V, 66. Cf. eius dissert. de accentt. t. III, p. 152. Et eodem modo hoc vocabulum notatum vidi apud Xenophontem Hist. Graec. I, 3, 7 et Pausan. IV, 30, 1.

τοξοτῶν ἐς ἑβδομήκοντα· οἱ δὲ λοιποὶ κατέφυγον πρὸς τὸ
ἄγημα τὸ τῶν Μακεδόνων καὶ τοὺς ὑπασπιστὰς τοὺς βα-
σιλικούς. Κἀν τούτῳ Ἀλέξανδρος τοὺς μὲν αὐτοῦ φεύ- 9
γοντας κατιδὼν, τοὺς Θηβαίους δὲ λελυκότας ἐν τῇ διώξει
τὴν τάξιν, ἐμβάλλει ἐς αὐτοὺς συντεταγμένῃ τῇ φάλαγγι.
Οἱ δὲ ὠθοῦσι τοὺς Θηβαίους εἴσω τῶν πυλῶν· καὶ τοῖς 10
Θηβαίοις ἐς τοσόνδε ἡ φυγὴ φοβερὰ ἐγίγνετο, ὥστε διὰ
τῶν πυλῶν ὠθούμενοι ἐς τὴν πόλιν οὐκ ἔφθησαν συγκλεῖ-

---

7. *ἔστε μὲν ἐπί*] Edd. vett. et quattuor codd. *ἔστε μὲν πρός*. Schmied. e cod. F. pro *πρός* primus dedit *ἐπί*. Nec dubitavi hanc praepositionem recipere, cum apud Arrianum ne unum quidem locum meminerim legere, ubi *ἔστε* cum praepositione *πρός* coniunctum fuerit. Praepositioni *ἐπί* vero saepissime illa vocula adiuncta legitur. Vide modo I, 3, 2. I, 27, 8. II, 25, 2. V, 5, 5. VI, 1, 7. Cf. ann. ad VI, 7, 1. Contra ei dicitur *μέχρι πρός*, neque *μέχρις ἐπί*. Cf. I, 6, 24 *μέχρι πρὸς τὰ ὄρη*. V. Fritzschii Qu. Lucc. p. 63. Unum locum huic animadversioni adversantem afferat quispiam ex Hist. Ind. XLIII, 11 *καὶ ἔστε μὲν πρὸς ἀνίσχοντα ἥλιον ὁ πλοῦς αὐτῷ ἐγένετο*. Sed statim videbis, *ἔστε μέν* non pertinere ad *πρός*, sed referendum esse ad sequens *ἐγένετο*. Cf. Exp. I, 2, 11. *καὶ ἔστε μὲν ἀκροβολισμὸς ἦν —· ὡς δέ*. I, 4, 2 *ἔστε μὲν προήει — —· ὡς δέ*. II, 11, 6, 7 *ἔστε μὲν — ἐτύγχανεν — —· ὡς δέ*.

9. *τοὺς — αὐτοῦ φεύγοντας*] Ed. Basil. et Raphel. *τοὺς αὐτοῦ*. Paulo ante omnes edd. *κἂν* vel *κᾄν*. Sic etiam minus recte vulgo scribebatur *κᾀκεῖθεν* I, 27, 7. *κᾀκεῖ* II, 4, 1. V, 8, 8. *κᾀκεῖνο* III, 25, 11. *κᾀγώ* IV, 28, 4 *κᾀνταῦθα* VII, 2, 1.

10. *οἱ δὲ ὠθοῦσι τούς*] Edd. ad unam omnes *οἱ δὲ ὠθοῦσιν τούς*. Noli tamen putare, sic ab Arriano ipso scriptum esse. Error ab editore Basileensi commissus a recentioribus editoribus non est correctus. Vide praefat. et ann. ad I, 5, 17. — Mox ed. Basil. *ὠξούμενοι*.

ὥστε — ἔφθησαν συγκλεῖσαι] Ter praeter hunc locum verbum *φθάσαι* cum infinitivo constructum vidimus in Expeditione, I, 19, 17 *ἔφθασαν καταφυγεῖν*. III, 18, 15 *ὥστε ἔφθη ἀφικέσθαι*. VI, 15, 11 *ὥστε ἔφθη γενέσθαι*. Quibus adde Tact. c. XLII. *ἔφθην δηλῶσαι*. Longe frequentior est constructio cum participio. Vide modo I, 13, 4. II, 22, 4. III, 17, 8. III, 20, 3. IV, 13, 4. IV, 24, 3. V, 14, 4. V, 24, 11. VI, 6, 11. VI, 18, 9. VII, 22, 1.

11 σαι τὰς πύλας· ἀλλὰ συνεισπίπτουσι γὰρ αὐτοῖς εἴσω τοῦ τείχους ὅσοι τῶν Μακεδόνων ἐγγὺς φευγόντων εἴχοντο, ἅτε καὶ τῶν τειχῶν διὰ τὰς προφυλακὰς τὰς πολλὰς ἐρή-
12 μων ὄντων. Καὶ παρελθόντες εἰς τὴν Καδμείαν οἱ μὲν ἐκεῖθεν κατὰ τὸ Ἀμφεῖον σὺν τοῖς κατέχουσι τὴν Καδμείαν ἐξέβαινον ἐς τὴν ἄλλην πόλιν, οἱ δὲ κατὰ τὰ τείχη ἐχόμενα ἤδη πρὸς τῶν συνεισπεσόντων τοῖς φεύγουσιν ὑ-
13 περβάντες ἐς τὴν ἀγορὰν δρόμῳ ἐφέροντο. Καὶ ὀλίγον μέν τινα χρόνον ἔμειναν οἱ τεταγμένοι τῶν Θηβαίων κατὰ τὸ Ἀμφεῖον· ὡς δὲ πανταχόθεν αὐτοῖς οἱ Μακεδόνες καὶ Ἀλέξανδρος ἄλλοτε ἄλλῃ ἐπιφαινόμενος προσέκειντο, οἱ

---

11. *συνεισπίπτουσι*] Ita plures codd. Gronovii cum Augustano Vulcanii. *συνεσπίπτουσι* rell. codd. et edd. Venet. ac Basil. Unde mirum sane, cur Vulcanio placuerit scribere *συνεμπίπτουσι*. Vide paulo infra *συνεισπεσόντων*. Cf. I, 8, 14 *ἐπεισπίπτοντες*. I, 22, 7 *μὴ συνεισπέσοιεν*. VI, 7, 8 *ξυνεισπεσόντων*. Quibus adde quae in praefatione de usu formarum *εἰς* et *ἐς* diximus.

12. *καὶ παρελθόντες*] Hanc scripturam iam Gronovio ex cod. F. receptam probavit Schmiederus. *καὶ παρελθόντων* edd. vett. cum rell. codd. Gronovii. Recte conferri iussit Gronovius I, 22, 6 *καὶ πολλοὺς — ἐμπεσόντας, τοὺς μὲν ὑπὸ σφῶν καταπατηθέντας διαφθαρῆναι, τοὺς δέ — βαλλομένους*. Ceterum cf. ann. ad III, 25, 12 et V, 20, 15.

κατὰ τὸ Ἀμφεῖον] Sic constanter hic et infra omnes codices et editiones. Unde non audiendum esse arbitror Morum ad Xenoph. Hist. Gr. V, 4, 8 coniicientem *Ἀμφιεῖον*, quod ibi contra omnium fere codicum auctoritatem receperunt recentiores editores, non satis perpensis, ut videtur, iis quae cl. Lobeckius monuit ad Phrynich. p. 372. — Mox rursus omnes editiones *κατέχουσιν τήν*.

13. *ἄλλοτε ἄλλῃ ἐπιφαινόμενος*] Edd. omnes *ἄλλο τε*. Ceterum cf. VI, 6, 9 *καὶ αὐτοῦ Ἀλεξάνδρου ἄλλοτε ἄλλῃ ἐπιφαινομένου*.

ἐς τὸ πεδίον ἐξέπιπτον] In cod. F. invenit Gronovius scripturam sane mirandam *ἐς τὸ στρατόπεδον*, quam, ut integram illius codicis famam atque auctoritatem servaret, his fere argumentis defendere studuit. Bis meminisse Arrianum *στρατοπέδου* Alexandri; huc confugisse equites, seu via ipsa illuc eos ferente, seu quod animadvertissent, non esse admodum efferatos Macedonas. At neminem spero fore qui istis rationibus motus vulgatam scripturam mutare conetur. Neque magis cuiquam placebit coniectura Gro-

μὲν ἱππεῖς τῶν Θηβαίων διεκπεσόντες διὰ τῆς πόλεως ἐς τὸ πεδίον ἐξέπιπτον, οἱ δὲ πεζοὶ ὡς ἑκάστοις προὐχώρει
ἐσώζοντο. Ἔνθα δὴ ὀργῇ οὐχ οὕτως τι οἱ Μακεδόνες, 14
ἀλλὰ Φωκεῖς τε καὶ Πλαταιεῖς καὶ οἱ ἄλλοι δὲ Βοιωτοὶ οὐδὲ ἀμυνομένους ἔτι τοὺς Θηβαίους οὐδενὶ κόσμῳ ἔκτεινον, τοὺς μὲν [ἄλλους] ἐν ταῖς οἰκίαις ἐπεισπίπτοντες, οὓς δὲ καὶ ἐς ἀλκὴν τετραμμένους, τοὺς δὲ καὶ πρὸς ἱεροῖς ἱκετεύοντας, οὔτε γυναικῶν οὔτε παίδων φειδόμενοι.

IX. Καὶ πάθος τοῦτο Ἑλληνικὸν μεγέθει τε τῆς ἁλούσης πόλεως καὶ ὀξύτητι τοῦ ἔργου, οὐχ ἥκιστα δὲ τῷ παραλόγῳ ἔς τε τοὺς παθόντας καὶ τοὺς δράσαντας, οὐ μεῖον

---

novii ἐξίππευον pro vulgato ἐξέπιπτον, collatis simillimis IV, 23, 7 κατὰ τὰς πύλας ὡς ἐπὶ τὰ ὄρη ἐκπίπτουσιν ἐκ τῆς πόλεως.

14. οὐχ οὕτως τι] Sic codd. Gronovii omnes itemque cod. Aug. Vulcanii. οὐχ ὅπως τι edd. Basil. Vulc. Blanc. At vide V, 21, 5 οὐχ οὕτω τι Ἀλέξανδρον, ὡς τὸν Πῶρον. Cf. IV, 8, 8 οὕτω τι μεγάλα. Unde suspiceris etiam nostro loco scribendum esse οὕτω τι. Sed tamen mutare quidquam contra libros non ausim. Cf. Xen. Apol. Socr. I, 10 οὕτως δέ. Vide Bornem. ad Xen. Conviv. III, 1 et VIII, 35 et de σ finali quae in universum disputavit Voss. ad Hom. hymn. in Cer. p. 51. Formas οὐχ οὕτως et οὐχ ὅπως confusas vide apud Xen. Hist. Gr. II, 4, 14.

τοὺς μὲν [ἄλλους] — οὓς δέ — τοὺς δέ] Edd. vett. et quattuor codd. Gronovii hunc locum ita exhibent, τοὺς μὲν — τοὺς δὲ — τοὺς δέ, simplicius sine dubio, neque minus apte. Nihilominus tamen malui hoc loco sequi codicis F auctoritatem, cum Arrianus orationem tali vel simili ratione variatam adamasse videatur. Cf. I, 5, 21 τῇ μὲν — τῇ δέ, sed III, 18, 12 τῇ μὲν — ἄλλῃ δέ. II, 8, 11 πῇ μὲν — ἔπειτα. V, 21, 10 τοὺς μὲν πολλοὺς — ἤδη δέ τινας — τοὺς δέ. VI, 4, 3 τοὺς μὲν ἐνδιδόντας — ἤδη δέ τινας καὶ ἐς ἀλκὴν χωρήσαντας. VI, 9, 12 τοὺς μέν τινας — καὶ τόν γε ἡγεμόνα· ἄλλον δέ — καὶ ἄλλον — τὸν δέ. Vid. intpp. ad Soph. Antig. v. 63. Herm. ad Vig. p. 701. Ne vero quis temeritatis me accuset, interim uncis inclusi vocem ἄλλους, quia geminum huius locutionis exemplum non inveni. Num forte pro τοὺς μὲν ἄλλους scribendum ἄλλους μέν? Formam οὓς δέ non solum tuentur quae collegit Fischerus ad Weller. I, p. 332, verum etiam ipse Arrianus, ut qui dixerit III, 24, 2 πολλοὺς μὲν ἀπέκτεινεν, — οὓς δέ τινας — τετραμμένους, et VI, 17, 2

τι τοὺς ἄλλους Ἕλληνας ἢ καὶ αὐτοὺς τοὺς μετασχόντας
2 τοῦ ἔργου ἐξέπληξε. Τὰ μὲν γὰρ περὶ Σικελίαν Ἀθηναίοις ξυνενεχθέντα, εἰ καὶ πλήθει τῶν ἀπολομένων οὐ μείονα τὴν ξυμφορὰν τῇ πόλει ἤνεγκεν, ἀλλὰ τῷ τε πόῤῥω ἀπὸ τῆς οἰκείας διαφθαρῆναι αὐτοῖς τὸν στρατὸν, καὶ τὸν πολὺν ξυμμαχικὸν μᾶλλον ἢ οἰκεῖον ὄντα, καὶ τῷ τὴν πόλιν αὐτοῖς περιλειφθῆναι, ὡς καὶ ἐς ὕστερον ἐπὶ πολὺ τῷ πολέμῳ ἀντισχεῖν Λακεδαιμονίοις τε καὶ τοῖς ξυμμάχοις καὶ μεγάλῳ βασιλεῖ πολεμοῦντας, οὔτε αὐτοῖς τοῖς

τὰς μὲν — κατέσκαψεν· — εἰς ἃς δὲ φρουρὰς εἰσήγαγε. — Pro ἱεροῖς ed. Basil. habet ἱερεῖς.

C. IX. ἢ καὶ αὐτούς] Mediam vocem reiecit Schmiederus, quia in codice F eam non viderat Gronovius. Sed sincera est vulgata. Sic enim est vertendum: *non minus ceteros Graecos, quam et illos ipsos terruit, qui huius defectionis participes fuerant.* Ceterum cf. Him Eclog. II, p. 56 οὕτω καὶ Θήβας ἀνήρπασεν. Ἔπεσε πόλις ἐπὶ τῆς Ἑλλάδος μέσης, φθάσαντος τῆς φήμης τοῦ πτώματος.

2. τὰ μὲν γὰρ περὶ Σικελίαν] Ed. Basil. περὶ Σικελίας. Eadem paulo ante τοῦ ἔργους, et mox infra ἀπολωμένων.

εἰ καὶ — ἀλλὰ τῷ τε] Nonne potius ἀλλὰ τῷ γε —? Sic enim loqui amat Arrianus, ut IV, 15, 4 εἰ δὲ ἀπαξιοῖ — γῆμαι —, ἀλλὰ τῶν γε σατραπῶν. VII, 1, 6 εἰ καὶ μὴ ἄλλῳ τῳ, ἀλλ' αὐτόν γε αὑτῷ ἐρίζοντα. Hist. Ind. XXXIV, 2 καίπερ ἀπιστέων — ἀλλὰ ἐχάρη γε. Quibus adiungi etiam potest quod dixit IV, 10, 5 εἰ καὶ μὴ παρ' ἄλλους, παρά γε Ἀθηναίους, et Hist. Ind. IV, 17 ὅστις δὲ οἶδε — ἀλλὰ οὐ πολλούς που οἶδε. Neque multum differt ἀλλά γε ab initio enunciati positum V, 26, 9 ἀλλὰ ἡμεῖς γε — ἀφίγμεθα. Particulas γε et τε saepe in editione Basileensi confusas esse ob duplicem formam litterae γ, demonstravimus ad V, 4. 10.

καὶ τὸν πολὺν ξυμμαχικόν — ὄντα] Ed. Bas. τὴν πολύν. Ad τὸν πολύν supple ex praecedentibus στρατόν. — Mox pro περιλειφθῆναι in edit. Basil. legitur περιληφθῆναι. De expeditione, quam hic memorat Arrianus, vide Wernsd. ad Himer. Eclog. II, p. 52.

τὴν ἐπὶ τῷ πάθει ἔκπληξιν — παρέσχε] Etiam medium verbi παρασχεῖν hoc loco bene haberet; quomodo dixit Pausan. III, 5, 8 Ἀθηναίοις δεῖμα αἱ διοσημεῖαι παρεῖχοντο, Xen. Hier. I, 6 εἰ τὰ ἐν τῷ ἐγρηγορέναι σαφεστέρας ἡμῖν τὰς αἰσθήσεις παρέχεται, et Arr. VI, 14, 9 ἐμβαλὼν δὲ τὸ πᾶν ὕδωρ Ἀκεσίνην παρέχεται καλούμενον, ubi vide ann. crit.

παθοῦσιν ἴσην τὴν αἴσθησιν τῆς ξυμφορᾶς προσέθηκεν, οὔτε τοῖς ἄλλοις Ἕλλησι τὴν ἐπὶ τῷ πάθει ἔκπληξιν ὁμοίαν παρέσχε. Καὶ τὸ ἐν Αἰγὸς ποταμοῖς αὖθις Ἀθη- 3
ναίων πταῖσμα ναυτικόν τε ἦν, καὶ ἡ πόλις οὐδὲν ἄλλο ὅτι μὴ τῶν μακρῶν τειχῶν καθαιρέσει καὶ νεῶν τῶν πολλῶν παραδόσει καὶ στερήσει τῆς ἀρχῆς ἐς ταπεινότητα ἀφικομένη, τό τε σχῆμα τὸ πάτριον ὅμως ἐφύλαξε καὶ τὴν δύναμιν οὐ διὰ μακροῦ τὴν παλαιὰν ἔλαβεν· ὥς τά 4
τε μακρὰ τείχη ἐκτειχίσαι, καὶ τῆς θαλάσσης αὖθις ἐπι-

---

3. τὸ ἐν Αἰγὸς ποταμοῖς πταῖσμα] ›*Clades ad Aegos potamos accepta.* Eodem vocabulo de eadem re utitur I, 16, 6 ὅτι αἴτιος ἐδόκει τοῦ τότε πταίσματος I, 18, 11 οὐ παρὰ μέγα ἔσεσθαι τὸ πταῖσμα. III, 22, 6 ἐπὶ Γρανικῷ πταῖσμα συνέβη τὸ ἱππικόν. Eandem significationem continet vox πάθος. IV, 2, 10 καί τινες καὶ ἀπὸ τοῦ πάθους αὐτοῦ διαφυγόντες, et πάθημα I, 12, 5 τὰ Κλεάρχου τε καὶ τῶν — ἁλόντων παθήματα. Sic dixit etiam Pausan. I, 3, 3 καὶ τὸ πταῖσμα Λακεδαιμονίων ἐν Λεύκτροις, ubi nollem ex Pausaniae l. IX, 6, 2 tamquam similem protulisset locutionem Siebelisius, τὸ ἔργον τὸ ἐν Λεύκτροις. Comparari possunt quae dixit Himerius Ecl. I, p. 26 τὰ Ἠλεῖα δυστυχήματα. Ibid. τὸ πτῶμα τὸ Φωκικόν. Et p. 36 τὸ δρᾶμα τὸ Φωκικόν.

τό τε σχῆμα τὸ πάτριον] Satis apte Vulcanius: *formam tamen decoremque patrium retinuit.* Cf. Himer. Ecl. II, p. 50 παρεχωρήσαμεν τοῦ πατρίου σχήματος. Plat. Menex. p. 249, A ἐν πατρὸς σχήματι καταστᾶσα ἡ πόλις. Vide Heind. ad Plat. Phaedon. p. 91, D. — Quod paullo ante dixit Arrianus νεῶν τῶν πολλῶν παραδόσει, in eo, ut equidem censeo, nemo offendet, quamquam Gronovius maluit legi νεῶν τῶν πολεμικῶν. Unde sua hauserit Arrianus, iam Raphelius indicavit, nimirum ex Xenophontis Hist. Gr. II, 2, 20 cuius verba hic integra adscribo: ἐφ' ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας — — Λακεδαιμονίοις ἕπεσθαι.

τὴν παλαιὰν ἔλαβεν] ›Forte τὴν πάλαι ἀνέλαβεν, quum et oratio id postulet, et amet ita Arrianus loqui. Sic I, 12, 4 τῶν πάλαι ἔργων, et I, 17, 4 νόμοις τοῖς πάλαι. II, 3, 2 Γόρδιον εἶναι τῶν πάλαι Φρυγῶν ἄνδρα. Et II, 14, 3 ἐς βεβαίωσιν τῆς πάλαι οὔσης φιλίας. III, 18, 19 αὕτη Περσῶν τῶν πάλαι τιμωρία. III, 26, 1 τῆς τε φιλίας τῆς πάλαι εἵνεκα. V, 19, 3 ἄλλην χώραν πρὸς τῇ πάλαι οὔσῃ προσέθηκε. Certe versio has voces proprie explicat. Sed Mss. omnes vulgatum firmant.‹ *Gronov.* Recepit hanc Gronovii

κρατῆσαι, καὶ τοὺς τότε φοβεροὺς σφισι Λακεδαιμονίους
καὶ παρ' ὀλίγον ἐλθόντας ἀφανίσαι τὴν πόλιν αὐτοὺς ἐν
5 τῷ μέρει ἐκ τῶν ἐσχάτων κινδύνων διασώσασθαι. Λακε-
δαιμονίων τε αὖ τὸ κατὰ Λεῦκτρα καὶ Μαντίνειαν πταῖ-
σμα τῷ παραλόγῳ μᾶλλόν τι τῆς ξυμφορᾶς ἢ τῷ πλήθει
6 τῶν [τε] ἀπολομένων τοὺς Λακεδαιμονίους ἐξέπληξεν· ἥ
τε ξὺν Ἐπαμεινώνδᾳ Βοιωτῶν καὶ Ἀρκάδων γενομένη προσ-
βολὴ πρὸς τὴν Σπάρτην καὶ αὐτὴ τῷ ἀήθει τῆς ὄψεως
μᾶλλον ἢ τῇ ἀκριβείᾳ τῶν κινδύνων αὐτούς τε τοὺς Λα-
κεδαιμονίους καὶ τοὺς ξυμμετασχόντας αὐτοῖς τῶν τότε
7 πραγμάτων ἐφόβησεν. Ἡ δὲ δὴ Πλαταιέων ἅλωσις τῆς

---

coniecturam Schmiederus. Nec multum abest quin mihi etiam probetur. At vide ann. ad III, 1, 6 et ad IV, 28, 13. Cf. Xen. Cyrop. V, 1, 1 *ταύτην ἐκέλευσεν ὁ Κῦρος διαφυλάττειν τὸν Ἀράσπην, ἕως ἂν αὐτὸς λάβῃ*, ubi si compositum *ἀναλάβῃ* positum esset, nihil esset quod obiiceretur.

4. *αὐτοὺς ἐν τῷ μέρει — διασώσασθαι*] Bene Vulcanius: *ut Lacedaemonios — — ipsi vicissim e summis periculis conservarint.* Cf. VII, 9, 7 *ὡς ἀντὶ τοῦ φόρους τελεῖν Ἀθηναίοις καὶ ὑπακούειν Θηβαίων παρ' ἡμῶν ἐν τῷ μέρει ἐκείνους τὴν ἀσφάλειάν σφισι πορίζεσθαι.* Vide ann. ad III, 26, 7.

5. *αὖ τὸ κατὰ Λεῦκτρα*] Male in ed. Bas. habet quod legitur *αὐτό* (vid. ann. ad VI, 3, 2) et paullo infra *Μαντίαν* pro *Μαντίνειαν*. Recte autem edd. Bas. Vulc. et Blanc. praebent *κατὰ Λεῦκτρα καὶ Μαντίνειαν*. E Gronovii editione in omnes recentiores transiit *κατὰ τὰ Λεῦκτρα*, articulo ex ultima praepositionis syllaba progenito. Eundem typothetarum errorem notavimus ad I, 12, 9. E contrario peccatum est II, 11, 14.

τῶν [τε] ἀπολομένων] Uncis inclusi particulam *τε*, quae, quamquam in omnibus editionibus legitur, tamen nescio quo referri debeat. Non ineptum foret, si legeretur *γε*. Cf. VI, 4, 1 *οὕτω δὴ πλέων τρίτῃ γε ἡμέρᾳ κατέσχεν.* Vide Voss. ad Hymn. in Cer. p. 10. Herm. ad Eurip. Med. 480.

6. *τῷ ἀήθει τῆς ὄψεως*] Cf. Suid. s. v. *ἀνασοβηθείς· τοὺς δὲ ἵππους εἶναι ἀγρίους ὑπό τε τῷ ἀήθει τοῦ δεσμοῦ καὶ ὑπὸ τοῦ ἀπηρτημένου βέλους*, ubi non dubito quin scribendum sit *ἀγρίους τῷ τε ἀήθει — καὶ ὑπό —*. Fragmentum hoc ex Arriani quodam opere desumtum esse testis est ipse Suidas s. v. *διαφορῆσαι*.

τῇ ἀκριβείᾳ τῶν κινδύνων] Sic recte iam Gronovius e cod. F et

πόλεως τῇ σμικρότητι τῶν ἐγκαταληφθέντων, ὅτι οἱ πολλοὶ αὐτῶν διαπεφεύγεσαν πάλαι ἐς τὰς Ἀθήνας, οὐ μέγα πάθημα ἐγένετο. Καὶ ἡ Μήλου καὶ Σκιώνης ἅλωσις, νη- 8
σιωτικά τε πολίσματα ἦν καὶ τοῖς δράσασιν αἰσχύνην μᾶλλόν τι προσέβαλεν, ἢ ἐς τὸ ξύμπαν Ἑλληνικὸν μέγαν τὸν παράλογον παρέσχε. Θηβαίοις δὲ τὰ τῆς ἀποστάσεως 9
ὀξέα καὶ ξὺν οὐδενὶ λογισμῷ γενόμενα, καὶ ἡ ἅλωσις δι' ὀλίγου τε καὶ οὐ ξὺν πόνῳ τῶν ἑλόντων ξυνενεχθεῖσα, καὶ ὁ φόνος πολὺς, οἷα δὴ ἐξ ὁμοφύλων τε καὶ παλαιὰς ἀπεχθείας ἐπεξιόντων, καὶ ὁ τῆς πόλεως παντελὴς ἀνδραποδισμὸς, δυνάμει τε καὶ δόξῃ ἐς τὰ πολέμια τῶν τότε

---

uno alio codd. Florr. atque cod. Aug. Vulcanii. In editionibus veteribus et reliquis codicibus legebatur, quod nulla ratione defendi potest, τῇ ἀκριβείᾳ τοὺς κινδύνους.

7. τῶν ἐγκαταληφθέντων] In edd. vett. et plurimis codicibus Gronovii legebatur τῶν καταληφθέντων. Scripturam, quam cum Schmiedero probavimus, solus suppeditavit cod. F. Sed, id quod maioris momenti est, ipse Arrianus eam ut unice veram commendat. Vid. ann. ad I, 6, 21.

8. ἡ Μήλου καὶ Σκιώνης ἅλωσις] Ed. Bas. ἡ Μίλου καὶ Συκιώνης. Mox in eadem minus recte expressum est προσέβαλλεν. Cf. I, 23, 3. VI, 6, 7.

νησιωτικά τε πολίσματα ἦν —] Ἀνακολούθως hoc loco scripsisse Arrianum facile intelligitur. cf. Hemst. ad Lucian. t. I, p. 493. Koen. ad Greg. Corinth. p. 86 sqq. Wernsd. ad Himer. Ecl. XIII. p. 210. Cum autem omnia ista verba νησιωτικά τε πολίσματα ἦν καὶ nihil fere ad rem facere viderem, olim in mentem venit, ea ut a glossatoris manu profecta uncis includere. Nunc tamen aut nihil sollicitandum existimo, aut, si quid mutandum sit, scribam omissa particula καί: νησιωτικὰ δὲ πολίσματα ἦν, quae verba tum παρενθετικῶς interiecta videantur. Cf. Himer. Orat. I, p. 346 ἰδεῖν — τὸν Φίλιππον (ἦν δὲ ὑπηνήτης ἔτι) — ἰδοῦσι δέ. Et similia quoque sunt quae apud ipsum Arrianum leguntur I, 26, 6.

9. παλαιὰς ἀπεχθείας ἐπεξιόντων] In edd. ante Gronovium legebatur παλαιᾶς ἀπεχθείας. Retulerunt igitur haec verba ad praepositionem ἐξ. At pendent a verbo ἐπεξιόντων, quomodo dixit Diod. Sic. I, 77 ἐπεξιέναι τὴν ἀνομίαν. Neque aliter intelligam verba Herodoti VIII, 143 ἀλλὰ θεοῖσί τε συμμάχοισι πίσυνοί μιν ἐπέξιμεν ἀμυνόμενοι.

προεχούσης ἐν τοῖς Ἕλλησιν, οὐκ ἔξω τοῦ εἰκότος εἰς μῆ-
10 νιν τὴν ἀπὸ τοῦ θείου ἀνηνέχθη· ὡς τῆς τε ἐν τῷ Μη-
δικῷ πολέμῳ προδοσίας τῶν Ἑλλήνων διὰ μακροῦ ταύ-
την δίκην ἐκτίσαντας Θηβαίους, καὶ τῆς Πλαταιέων ἔν τε
ταῖς σπονδαῖς καταλήψεως, καὶ τοῦ παντελοῦς ἀνδραπο-
δισμοῦ τῆς πόλεως, καὶ τῆς τῶν παραδόντων σφᾶς Λα-
κεδαιμονίοις οὐχ Ἑλληνικῆς γενομένης διὰ Θηβαίους σφα-
γῆς, καὶ τοῦ χωρίου τῆς ἐρημώσεως, ἐν ὅτῳ οἱ Ἕλληνες
παραταξάμενοι Μήδοις ἀπώσαντο τῆς Ἑλλάδος τὸν κίν-
11 δυνον· καὶ ὅτι Ἀθηναίους αὐτοὶ τῇ ψήφῳ ἀπώλλυον, ὅτε
ὑπὲρ ἀνδραποδισμοῦ τῆς πόλεως γνώμη προὐτέθη ἐν τοῖς
12 Λακεδαιμονίων ξυμμάχοις, Ἐπεὶ καὶ πρὸ τῆς ξυμφορᾶς
πολλὰ ἀπὸ τοῦ θείου ἐπισημῆναι ἐλέγετο, ἃ δὴ ἐν μὲν
τῷ παραυτίκα ἠμελήθη· ὕστερον δὲ ἡ μνήμη αὐτὰ ἐς λο-
γισμὸν τοῦ ἔκπαλαι ἐπὶ τοῖς ξυνενεχθεῖσι προσημανθῆναι
13 ἀνήνεγκε. Τοῖς δὲ μετασχοῦσι τοῦ ἔργου ξυμμάχοις, οἷς
δὴ καὶ ἐπέτρεψεν Ἀλέξανδρος τὰ κατὰ τὰς Θήβας δια-

τῶν τότε προεχούσης] Edd. vett. τῶν τότε προεχόντων. »Nihil cohaeret aut convenit. Lege προεχούσης, nempe πόλεως, quod praecedit, et constructio est πόλεως προεχούσης τῶν τότε πόλεων. Sic omnes manuscripti. Sic versio Vulcanii, qui etiam postea id ex Augustano annotavit.« *Gronov.* Remotum appositionis locum ne miremur. Vid. ann. ad VI, 15, 2.

10. ταύτην δίκην ἐκτίσαντας] Fuit, cum scriptum mallem ταύτην τὴν δίκην. At cf. Plat. Phileb. p. 15, C ταύτην φήμην παρέδοσαν. Thucyd. I, 55 αἰτία δὲ αὕτη πρώτη ἐγένετο. Qui plura cupit, is adeat Goelleri Indic. IV. ad Thucyd. t. II, p. 566 et Bernhard. Wiss. Synt. p. 319. Erravit Siebel. ad Paus. X, 2, 2.

τῶν παραδόντων σφᾶς] Cod. Aug. Vulcanii et unus codd. Florr. σφᾶς αὐτούς. Quae ultima vox quamquam non omnino necessaria tamen a Gronovio non erat cum tanto clamore explodenda. Nam si in Arriani morem loquendi paulo accuratius inquisiisset, non scripturus fuisset, Vulcanium plus aequo probasse codicis sui auctoritatem. Utrumque pronomen coniunctum vide III, 23, 9 παρέδοσαν σφᾶς αὐτούς (cf. IV, 17, 10, ubi eadem verba recurrunt). IV, 19, 3 ἀνεῖλκον σφᾶς αὐτούς. IV, 19, 7 ἐνέδοσαν σφᾶς αὐτούς (cf. III, 24, 6). IV, 27, 6 ἐνδώσουσι σφᾶς αὐτούς. IV, 29, 1 σφᾶς τε αὐτοὺς ἐνδιδόντες. VI, 22, 2 σφᾶς τε αὐτοὺς ἐνδιδόντες.

θεῖναι, τὴν μὲν Καδμείαν φρουρᾷ κατέχειν ἔδοξε, τὴν πό-
λιν δὲ κατασκάψαι εἰς ἔδαφος, καὶ τὴν χώραν κατανεῖμαι
τοῖς ξυμμάχοις, ὅση μὴ ἱερὰ αὐτῆς· παῖδας δὲ καὶ γυναῖ- 14
κας καὶ ὅσοι ὑπελείποντο Θηβαίων, πλὴν τῶν ἱερέων τε
καὶ ἱερειῶν καὶ ὅσοι ξένοι Φιλίππου ἢ Ἀλεξάνδρου ἢ
ὅσοι πρόξενοι Μακεδόνων ἐγένοντο, ἀνδραποδίσαι. Καὶ 15
τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ οἰκίαν καὶ τοὺς ἀπογόνους
τοῦ Πινδάρου λέγουσιν ὅτι διεφύλαξεν Ἀλέξανδρος αἰδοῖ
τῇ Πινδάρου· ἐπὶ τούτοις Ὀρχόμενόν τε καὶ Πλαταιὰς
ἀναστῆσαί τε καὶ τειχίσαι οἱ ξύμμαχοι ἔγνωσαν.

X. Ἐς δὲ τοὺς ἄλλους Ἕλληνας ὡς ἐξηγγέλθη τῶν
Θηβαίων τὸ πάθος, Ἀρκάδες μὲν ὅσοι βοηθήσοντες Θη-
βαίοις ἀπὸ τῆς οἰκείας ὡρμήθησαν, θάνατον κατεψηφί-
σαντο τῶν ἐπαράντων σφᾶς ἐς τὴν βοήθειαν. Ἠλεῖοι δὲ 2
τοὺς φυγάδας σφῶν κατεδέξαντο, ὅτι ἐπιτήδειοι Ἀλεξάν-
δρῳ ἦσαν. Αἰτωλοὶ δὲ πρεσβείας σφῶν κατὰ ἔθνη πέμ- 3
ψαντες ξυγγνώμης τυχεῖν ἐδέοντο, ὅτι καὶ αὐτοί τι πρὸς

VII, 14, 17 *σφᾶς τε αὐτοὺς καὶ τὰ ὅπλα ἀνέθεσαν.* Simplici *σφᾶς* usus est in eadem locutione I, 17, 1 *ἐνεχείριζον σφᾶς.* III, 17, 2 *ἐνέδοσαν σφᾶς* III, 20, 3 *σφᾶς ἐνεδίδοσαν.* IV, 3, 10 *ἐνεχείρισαν σφᾶς.* V, 24, 9 *ὅσοι ἑκόντες σφᾶς ἐνέδοσαν.* VI, 4, 3 *ἐνδιδόντας σφᾶς.* VI, 8, 3 *ὅσοι — σφᾶς ἐνδιδοῖεν.* Cf. Krueg. ad Dionys. p. 340 et Goell. ad Thucyd. VIII, 14.

11. *αὐτοὶ — ἀπώλλυον*] Ed. Basil. *αὐτόν.*

13. *κατασκάψαι εἰς ἔδαφος*] Respexisse hunc locum videtur Suidas s. v. *Πίνδαρος· Ἀλέξανδρόν φασιν — εἰς ἔδαφος κατασκάψαι — καὶ πλὴν ἱερῶν τε καὶ ἱερέων* (sic) *τοὺς ἄλλους ἀνδραποδίσαι· καὶ τὴν Πινδάρου δὲ τοῦ ποιητοῦ τὴν οἰκίαν καὶ τοὺς ἐκγόνους τοῦ Πινδάρου — ἀπαθεῖς ἐφύλαξαν, αἰδοῖ τῇ τοῦ Πινδάρου.* Cf. eundem s. v. *Ἀλέξανδρος.*

C. X. 2. *ὅτι ἐπιτήδειοι Ἀλεξάνδρῳ ἦσαν*] Edd. vett. *ἐπιτήδειοι Ἀλεξάνδρου.* Alteram scripturam praebuerunt omnes quos adhibuit codices Gronovius. Recte conferri iubet idem I, 25, 8 *πρὶν καὶ ἐπιτηδειότερον γενόμενον τοῖς Θετταλοῖς.* IV, 14, 2 *ἐς τὰ μάλιστα ἐπιτήδειος ἦν τῷ Καλλισθένει.* V, 28, 8 *καὶ μάλιστα τοὺς ἐπιτηδείους αὐτῷ ξυναγαγών.* VI, 13, 14 *τοῦτον ἐπιτηδειότερον — Ἀλεξάνδρῳ γενέσθαι.* Quibus addi possunt plura exempla, ut I, 10, 5 *ἐπιτηδειοτάτους Ἀλεξάνδρῳ.*

4 τὰ παρὰ τῶν Θηβαίων ἀπαγγελθέντα ἐνεωτέρισαν. Ἀθη-
ναῖοι δὲ, μυστηρίων τῶν μεγάλων ἀγομένων, ὡς ἧκόν τι-
νες τῶν Θηβαίων ἐξ αὐτοῦ τοῦ ἔργου, τὰ μὲν μυστήρια
ἐκπλαγέντες ἐξέλιπον, ἐκ δὲ τῶν ἀγρῶν ἐσκευαγώγουν ἐς
5 τὴν πόλιν. Ὁ δῆμος δὲ ἐς ἐκκλησίαν συνελθὼν, Δημά-
δου γράψαντος δέκα πρέσβεις ἐκ πάντων Ἀθηναίων ἀπο-
λεξάμενος, πέμπει παρὰ Ἀλέξανδρον οὕστινας ἐπιτηδειο-
τάτους Ἀλεξάνδρῳ ἐγίγνωσκον, ὅτι τε σῶος ἐξ Ἰλλυριῶν
καὶ Τριβαλλῶν ἐπανῆλθε, χαίρειν τὸν δῆμον τῶν Ἀθη-

---

3. *ξυγγνώμης τυχεῖν ἐδέοντο*] Plane ita Diodor. Sic. XVII, 76. *ἄνδρας ἀπέστειλαν δεόμενοι τυχεῖν συγγνώμης.* Paulo aliter idem XVII, 73 *ἀξιοῦντες αὐτοῖς δοῦναι συγγνώμην ἐπὶ τοῖς ἠγνοημένοις.*

4. *τὰ μὲν μυστήρια ἐκπλαγέντες ἐξέλιπον*] Hanc rem respexit Himerius cum scribebat in Ecl. II, p. 44 *ἡμεῖς γὰρ* (sc. *οἱ Ἀθηναῖοι*) *Θηβαίων πεσόντων τὴν τελετὴν ἀπεκλείσαμεν, ἵνα μὴ τοῖς Θηβαίων θρήνοις ἀντιβοῶμεν* (? *ἀντιβοῷμεν*) *ἴακχον.* Cum quibus consentit Plutarchus vit. Alex. c. XIII *καὶ γὰρ τὴν τῶν μυστηρίων ἑορτὴν ἐν χεροῖν ἔχοντες ὑπὸ πένθους ἀφῆκαν καὶ τοῖς καταφυγοῦσιν ἐπὶ τὴν πόλιν ἁπάντων μετεδίδοσαν τῶν φιλανθρώπων.*

5. *δέκα πρέσβεις — ἐπιλεξάμενος*] Sic edd. vett. cum quattuor codd. Gronovii. *ἀπολεξάμενος* Schmiederus e cod. F. At cum nunquam Arrianus dixerit *ἀπολέγεσθαι* cum significatione eligendi, et hoc loco vix credibile est ita dixisse. Praeter exempla ad prooem. allata considera haec, III, 21, 3. IV, 25, 6. IV, 29, 7. V, 2, 3. V, 9, 5. V, 12, 3. V, 20, 17. Eandem fere significationem habet quoque activum *ἐπιλέξαι*, ut III, 29, 8. IV, 28, 13. V, 2, 5 et centenis aliis locis.

οὕστινας — ἐγίγνωσκον] Facilis esset mutatio *οὕστινας — ἐγίγνωσκεν.* Sed talis structurae mutatio Graecis quasi legitima est. Vid. annot. ad I, 21, 7.

ὅτι τε σῶος — ἀπαγγελοῦντας] Compositionem verborum paulo perversiorem recte expedivit Vulcanius locum ita interpretatus: *qui quod ab Illyriis et Triballis incolumis rediisset, publicam ei Atheniensium laetitiam, quamvis non tempestive, significarent.* Verba enim *οὐκ ἐν καιρῷ* adverbii loco posita pertinent ad *χαίρειν.* Similiter a verbo suo distractum vide adverbium V, 8, 3 *καὶ ἐδέχετο Ταξίλης — καὶ αὐτοὶ οἱ ταύτῃ Ἰνδοὶ φιλίως.* Lenius tamen flueret oratio, si verba in hunc modum collocata essent: *πέμπει οὕστινας — ἐγίγνωσκον, ἀπαγγελοῦντας, καίπερ οὐκ ἐν καιρῷ ὅμως χαίρειν τὸν δῆμον, ὅτι τε ἐπανῆλθε καὶ ὅτι — ἐτιμωρήσατο.*

ναίων οὐκ ἐν καιρῷ ἀπαγγελοῦντας, καὶ ὅτι Θηβαίους τοῦ νεωτερισμοῦ ἐτιμωρήσατο. Ὁ δὲ τὰ μὲν ἄλλα φιλανθρώ- 6
πως πρὸς τὴν πρεσβείαν ἀπεκρίνατο, ἐπιστολὴν δὲ γράψας πρὸς τὸν δῆμον ἐξῄτει τοὺς ἀμφὶ Δημοσθένην καὶ Λυκοῦργον· καὶ Ὑπερείδην δὲ ἐξῄτει καὶ Πολύευκτον καὶ Χάρητα καὶ Χαρίδημον καὶ Ἐφιάλτην καὶ Διότιμον καὶ Μοιροκλέα· τούτους γὰρ αἰτίους εἶναι τῆς τε ἐν Χαιρω- 7
νείᾳ ξυμφορᾶς τῇ πόλει γενομένης καὶ τῶν ὕστερον ἐπὶ τῇ Φιλίππου τελευτῇ πλημμεληθέντων ἔς τε αὐτὸν καὶ ἐς

6. ἐξῄτει] Edd. ante Gronovium ἐζήτει. Neque aliter plures codices Florr. Verum dedit iam Gronovius e codice F. et quibusdam aliis codicibus. Et quam frequens illorum verborum ut in codicibus ita in editionibus confusio sit, dici vix potest. Sic apud Pausaniam I, 32, 5 ἐξῄτει τοὺς παῖδας Εὐρυσθεύς, vulgata ἐζήτει, iam a Wesselingio ad Diod. IV, 79 reiecta, recentioribus temporibus etiam a Schaefero in Mell. critt. p. 75 notata est. Sic apud Xen. Anab. VI, 4, 11 in editionibus vulgaribus male legebatur ἐζήτει pro ἐξῄτει. Vide Krueg. ad h. l. et Dorv. ad Char. p. 233. Apud Xenoph. Ephes. I, 2, p. 3 recte scripsit Locella ἐζήτει δὲ τέχνην, cum in editionibus reperisset ἐξῄτει. Cf. itpp. ad Plut. Demosth. c. XXIII.

τοὺς ἀμφὶ Δημοσθένην] Suidas s. v. Ἀντίπατρος, qui diversissima miscet, nescio quem auctorem secutus haec scripsit: νικήσας δὲ ᾔτει τοὺς δέκα ῥήτορας, οὓς ἐξέδοσαν (? οὐκ ἐξέδοσαν) οἱ Ἀθηναῖοι· Δημοσθένην, Ὑπερίδην (quae nominis forma est etiam apud Plut. vit. Demosth. c. XIII), Λυκοῦργον, Πολύευκτον, Ἐφιάλτην, Θρασύβουλον (?), Χάρητα, Χαρίδημον, Διότιμον, Πατροκλέα (l. Μοιροκλέα), Κάσσανδρον (?). Diodorus XVII, 15 haec habet: Μετὰ δὲ ταῦτα εἰς τὰς Ἀθήνας ἐξαπέστειλε τοὺς ἐξαιτήσοντας τῶν ῥητόρων δέκα τοὺς κατ' αὐτοῦ πεπολιτευμένους, ὧν ὑπῆρχον ἐπιφανέστατοι Δημοσθένης καὶ Λυκοῦργος. Paulo accuratius Plutarchus vit. Demosth. c. XXIII, Εὐθὺς δ' ὁ Ἀλέξανδρος ἐξῄτει πέμπων τῶν δημαγωγῶν δέκα μέν, ὡς Ἰδομενεὺς καὶ Δοῦρις εἰρήκασιν, ὀκτὼ δ', ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τούσδε, Δημοσθένην, Πολύευκτον, Ἐφιάλτην, Λυκοῦργον, Μοιροκλέα (vulg. Μυροκλέα), Δήμωνα, Καλλισθένην, Χαρίδημον. Cf. vit. Phocion. c. XVII. Nomina ab aliis alia memorari quid mirum, cum ne archontum quidem nomina apud diversos scriptores conveniant. Cf. Clint. Fast. Hell. p. 38. p. 70. p. 79, ed. Krueg.

Φίλιππον· καὶ Θηβαίοις δὲ τῆς τε ἀποστάσεως ἀπέφαινεν αἰτίους οὐ μεῖον ἢ τοὺς αὐτῶν Θηβαίων νεωτερίσαν-
8 τας. Ἀθηναῖοι δὲ τοὺς μὲν ἄνδρας οὐκ ἐξέδοσαν, πρεσβεύονται δὲ αὖθις παρὰ Ἀλέξανδρον, ἀφεῖναι δεόμενοι
9 τὴν ὀργὴν τοῖς ἐξαιτηθεῖσι. Καὶ Ἀλέξανδρος ἀφῆκε, τυχὸν μὲν αἰδοῖ τῆς πόλεως, τυχὸν δὲ σπουδῇ τοῦ ἐς τὴν Ἀσίαν στόλου, οὐκ ἐθέλων οὐδὲν ὕποπτον ἐν τοῖς Ἕλλη-
10 σιν ὑπολείπεσθαι. Χαρίδημον μέντοι μόνον τῶν ἐξαιτηθέντων τε καὶ οὐ δοθέντων φεύγειν ἐκέλευσε· καὶ φεύγει Χαρίδημος ἐς τὴν Ἀσίαν παρὰ βασιλέα Δαρεῖον.

XI. Ταῦτα δὲ διαπραξάμενος ἐπανῆλθεν εἰς Μακεδονίαν· καὶ τῷ τε Διῒ τῷ Ὀλυμπίῳ τὴν θυσίαν τὴν ἀπ' Ἀρχελάου ἔτι καθεστῶσαν ἔθυσε, καὶ τὸν ἀγῶνα ἐν Αἰ-

---

9. *τυχὸν μὲν — τυχὸν δέ*] Hoc adverbium sic positum duplicem continere videtur potestatem. Primum quidem partitioni inserviens idem fere significat, quod *τὸ μέν — τὸ δέ;* deinde autem etiam aliquid dubii eo indicatur. Vid. III, 26, 6 *τυχὸν μὲν, ὅτι — τυχὸν δὲ, ὅτι — —.* Cf. Xen. Anab. V, 9, 20 (VI, 1, 20) *Ξενοφῶν τῇ μὲν ἐβούλετο — τυχὸν δὲ καὶ ἀγαθοῦ τινος ἂν αἴτιος τῇ στρατιᾷ γενέσθαι.* Arr. Exped. VI, 9, 11 *ὅτι — τυχὸν μὲν — ἐκπλήξει· εἰ δὲ μή —.* Praeterea verbo monendum est, veterum scriptorum neminem, quantum sciam, tam crebro usum esse isto adverbio, quam Arrianum. Vide mihi II, 6, 9. V, 5, 4. V, 6, 7. V, 9, 8. VI, 20, 4. VII, 12, 10. VII, 16, 12. Hist. Ind. I, 4, 5.

10. *Χαρίδημον μέντοι*] Non consentit Diodorus XVII, 30 narrans, *Χαρίδημος δ' Ἀθηναῖος, ἀνὴρ θαυμαζόμενος ἐπ' ἀνδρείᾳ καὶ δεινότητι στρατηγίας (συνεστρατεύσατο μὲν Φιλίππῳ τῷ βασιλεῖ καὶ πάντων τῶν ἐπιτηδευμάτων ἀρχηγὸς καὶ σύμβουλος γεγονὼς ἦν) συνεβούλευέ τε τῷ Δαρείῳ μὴ προπετῶς ἀποκυβεῦσαι περὶ τῆς βασιλείας.* Quem Arrianus nobis proponit Charidemum, idem esse videtur cuius mentionem fecit Plutarchus vit. Phocion. c. XVI. Neque alius est quem memorat Dinarch. or. adv. Demosth. p. 156, Beck. *ἀπῆρε Χαρίδημος πρὸς τὸν Περσῶν βασιλέα χρήσιμος ὑμῖν οὐ λόγοις ἀλλ' ἔργοις βουλόμενος γενέσθαι καὶ τοῖς αὐτοῦ κινδύνοις ὑμῖν καὶ τοῖς ἄλλοις Ἕλλησι βουλόμενος τὴν σωτηρίαν παρασκευάσαι.*

C. XI. *ἐν Αἰγαῖς διέθηκε τὰ Ὀλύμπια*] Rursus dissentit Diodorus XVII, 16 *θυσίας μεγαλοπρεπεῖς τοῖς θεοῖς συνετέλεσεν ἐν Δίῳ τῆς Μακεδονίας καὶ σκηνικοὺς ἀγῶνας Διῒ καὶ Μούσαις, οὓς Ἀρχέλαος ὁ προβασιλεύσας πρῶτος κατέδειξε.* Cf. Wessel. ad Diod.

*γαῖς διέθηκε τὰ Ὀλύμπια· οἱ δὲ καὶ ταῖς Μούσαις λέ-
γουσιν ὅτι ἀγῶνα ἐποίησε. Καὶ ἐν τούτῳ ἀγγέλλεται τὸ* 2
*Ὀρφέως τοῦ Οἰάγρου τοῦ Θρᾳκὸς ἄγαλμα τὸ ἐν Πιερίδι
ἱδρῶσαι ξυνεχῶς. Καὶ ἄλλοι ἄλλα ἐπεθείαζον τῶν μάν-* 3
*τεων· Ἀρίστανδρος δὲ ἀνὴρ Τελμισσεὺς μάντις θαῤῥεῖν
ἐκέλευσεν Ἀλέξανδρον· δηλοῦσθαι γὰρ ὅτι ποιηταῖς ἐπῶν τε
καὶ μελῶν καὶ ὅσοι ἀμφὶ ᾠδὴν ἔχουσι πολὺς πόνος ἔσται ποι-
εῖν τε καὶ ᾄδειν Ἀλέξανδρον καὶ τὰ Ἀλεξάνδρου ἔργα. Ἅμα* 4
*δὲ τῷ ἦρι ἀρχομένῳ ἐξελαύνει ἐφ' Ἑλλησπόντου, τὰ μὲν κατὰ
Μακεδονίαν τε καὶ τοὺς Ἕλληνας Ἀντιπάτρῳ ἐπιτρέψας, αὐ-
τὸς δὲ ἄγων πεζοὺς μὲν σὺν ψιλοῖς τε καὶ τοξόταις οὐ πολλῷ
πλείους τρισμυρίων, ἱππέας δὲ ὑπὲρ τοὺς πεντακισχιλίους.
Ἦν δὲ αὐτῷ ὁ στόλος παρὰ τὴν λίμνην τὴν Κερκινῖτιν ὡς* 5

XVI, 56, ubi conferri iussit Ulp. in Dem. orat. de fals. leg. p. 242 *τὰ Ὀλύμπια δὲ πρῶτος Ἀρχέλαος ἐν Δίῳ τῆς Μακεδονίας κατέδειξε*, et Dion. Chrysost. or. II, p. 18, C *ἐν Δίῳ τῆς Πιερίας ἔθυον ταῖς Μούσαις*. Sed certamina publica etiam Aegis instituta esse idem Diodorus auctor est XVI, 92.

2. *ἱδρῶσαι ξυνεχῶς*] Hoc semper fere mali ominis habitum est. Cum Alexander Thebas aggrederetur, *οἱ κατὰ τὴν ἀγορὰν ἀνδριάντες*, uti tradit Diod. XVII, 10, *ἐφάνησαν ἱδρῶτας ἀφιέντες καὶ μεγάλων μεστοὶ σταλαγμῶν*. Vide Wessel. ad h. l.

3. *ὅσοι ἀμφὶ ᾠδὴν ἔχουσι*] In suum usum convertit haec verba Bergl. ad Alciphr. p. 116. Similiter dicit Himer. Orat. XVI, p. 690 *καὶ φίλον ἐστὶ τοῖς θεοῖς ἐν ᾠδαῖς τε εἶναι καὶ κρούμασι*. Et Or. XVII, p. 699 *οἶδα δ' ἐγὼ καὶ τοὺς ἀμφὶ μουσικὴν σπουδάζοντας*; ubi non cum Wernsdorfio scripserim *τὴν μουσικήν*. Cf. Plat. Phaed. p. 60, E *μουσικὴν ποίει καὶ ἐργάζου*. Himer. Or. III, p. 440 *μουσικὴν δὲ καὶ ἡμᾶς κελεύεις ἐργάζεσθαι*.

4. *ἐξελαύνει ἐφ' Ἑλλησπόντου*] Sic iam coniecit scribendum esse Palmer. Exercc. p. 236 pro vulgato editionum veterum *ἀφ' Ἑλλησπόντου*, nisi quod accusativum dedit pro genitivo. Hunc praebuere omnes codices quos inspexit Gronovius. Eundem errorem notavimus ad VI, 23, 4. Ceterum utrumque casum recte habere iam monuit Gronovius et pluribus exemplis demonstratum est nobis in ann. ad III, 25, 6.

καὶ τοὺς Ἕλληνας] Vulcanius in codice Augustano vidit *καὶ τοὺς ἄλλους Ἕλληνας*. Non male. Vide ann. ad III, 30, 15.

5. *τὴν Κερκινῖτιν*] Ed. Bas. *τὴν Κερκινίτην*, ex nota vocalium

ἐπ' Ἀμφίπολιν καὶ τοῦ Στρυμόνος ποταμοῦ τὰς ἐκβολάς.
6 Διαβὰς δὲ τὸν Στρυμόνα παρήμειβε τὸ Πάγγαιον ὄρος τὴν ὡς ἐπ' Ἄβδηρα καὶ Μαρώνειαν πόλεις Ἑλληνίδας ἐπὶ θαλάσσῃ ᾠκισμένας. Ἔνθεν δὲ ἐπὶ τὸν Ἕβρον ποταμὸν
7 ἀφικόμενος, διαβαίνει καὶ τὸν Ἕβρον εὐπετῶς. Ἐκεῖθεν δὲ διὰ τῆς Παιτικῆς ἐπὶ τὸν Μέλανα ποταμὸν ἔρχεται. Διαβὰς δὲ καὶ τὸν Μέλανα ἐς Σηστὸν ἀφικνεῖται ἐν εἴκοσι ταῖς πάσαις ἡμέραις ἀπὸ τῆς οἴκοθεν ἐξορμήσεως.
8 Ἐλθὼν δὲ ἐς Ἐλαιοῦντα θύει Πρωτεσιλάῳ ἐπὶ τῷ τάφῳ

---

ἄλλων· καὶ παίσας ἐς τὸ πρόσωπον τῷ δόρατι καταβάλ-
11 *λει τὸν Μιθριδάτην. Ἐν δὲ τούτῳ Ῥοισάκης μὲν ἐπελαύ-*
νει τῷ Ἀλεξάνδρῳ καὶ παίει Ἀλεξάνδρου τὴν κεφαλὴν
τῇ κοπίδι, καὶ τοῦ μὲν κράνους τι ἀπέθραυσε, τὴν πλη-
γὴν δὲ ἔσχε τὸ κράνος· καὶ καταβάλλει καὶ τοῦτον Ἀλέ-
ξανδρος, παίσας τῷ ξυστῷ διὰ τοῦ θώρακος ἐς τὸ στέρ-
12 *νον. Σπιθριδάτης δὲ ἀνετέτατο μὲν ἤδη ἐπ' Ἀλέξανδρον*
ὄπισθεν τὴν κοπίδα, ὑποφθάσας δὲ αὐτὸν Κλεῖτος ὁ
Δρωπίδου παίει κατὰ τοῦ ὤμου καὶ ἀποκόπτει τὸν ὦ-
μον τοῦ Σπιθριδάτου ξὺν τῇ κοπίδι· καὶ ἐν τούτῳ ἐπεκ-
βαίνοντες ἀεὶ τῶν ἱππέων ὅσοις προὐχώρει κατὰ τὸν πο-
ταμὸν, προσεγίγνοντο τοῖς ἀμφ' Ἀλέξανδρον.

XVI. *Καὶ οἱ Πέρσαι παιόμενοί τε πανταχόθεν ἤδη ἐς τὰ πρόσωπα αὐτοί τε καὶ οἱ ἵπποι τοῖς ξυστοῖς καὶ πρὸς*

ὥσπερ ἔμβολον τῶν ἱππέων tanquam appositionem referret ad *Μιθριδάτην*. Qua ratione vero id apte fierit possit, nemo sane intelligat. Unde non erat dubitandum quin e codice F. insererentur quae nunc vides, verba *καὶ ἐπάγοντα*. Bene enim tum fluit oratio. Praeter locos a Gronovio allatos I, 17, 4. I, 22, 5 et I, 29, 5 cf. I, 6, 20 *τούς τε ὑπασπιστὰς ἅμαι οἷ ἄγων*. III, 23, 14 *ἅμα οἷ — ἦγε*. V, 11, 8 *εἰ δὲ — ἅμα οἷ ἄγει*. VI, 8, 11 *ας δὴ ἅμα οἷ ἦγε*. VI, 16, 3 *ἅμα οἷ ἦγε*. VI, 27, 6 *ἅμα οἷ ἄγων*. VII, 16, 1 *ναυπηγοὺς ἅμα οἷ ἄγοντα*. Hist. Ind. IV, 9 *ἐπάγων ἅμα οἷ*.

11. *Ῥοισάκης*] Sic scriptum vidimus hoc nomen apud Plut. vid. Alex. c. XVI. Diodoro Siculo XVII, 20 audit *Ῥωσάκης*, nisi forte et ibi rectius scribendum est *Ῥοισάκης*. Quae de Spithridatis et Roesacis morte narrantur, paulo aliter tradunt Diodorus et Plutarchus ll. ll.

12. *Σπιθριδάτης*] Ed. Basil. *Μιθριδάτης*, perperam, ut infra *Μιθριδάτου*. Vid. ad I, 12, 13.

ὄπισθεν τὴν] Formam *ὄπισθεν* omnes tuentur editiones. Vid. Lobeck. ad Phryn. p. 284. Cf. Siebel. ad Paus. I, 18, 6 *ὄπισθεν τοῦ ναοῦ*. Et nuperrime Lobeck. in Prolegg. ad Indic. lectt. Acad. Alb. 18$\frac{3}{3}\frac{0}{1}$ contra Schaef. App. ad Dem. II, p. 273.

C. XVI. *αὐτοί τε καὶ οἱ ἵπποι*] Ed. Bas., articulo deficiente, *καὶ ἵπποι*.

2. *ἀπέθανον εἰς χιλίους*] »Ex mendi occasione tantillum numerum

τῶν ἱππέων ἐξωθούμενοι, πολλὰ δὲ καὶ πρὸς τῶν ψιλῶν ἀναμεμιγμένων τοῖς ἱππεῦσι βλαπτόμενοι, ἐγκλίνουσι ταύτῃ πρῶτον ᾗ Ἀλέξανδρος προεκινδύνευεν. Ὡς δὲ τὸ μέσον ἐνε- 2
δεδώκει αὐτοῖς, παρεῤῥήγνυτο δὴ καὶ τὰ ἐφ' ἑκάτερα τῆς ἵππου· καὶ ἦν δὴ φυγὴ καρτερά. Τῶν μὲν δὴ ἱππέων τῶν Περσῶν ἀπέθανον εἰς χιλίους. Οὐ γὰρ πολλὴ ἡ δίωξις ἐγένετο, 3
ὅτι ἐξετράπη Ἀλέξανδρος ἐπὶ τοὺς ξένους τοὺς μισθοφόρους, ὧν τὸ στῖφος ᾗ τὸ πρῶτον ἐτάχθη, ἐκπλήξει μᾶλλόν τι τοῦ παραλόγου ἢ λογισμῷ βεβαίῳ ἔμενε. Καὶ τούτοις τήν 4
τε φάλαγγα ἐπαγαγὼν καὶ τοὺς ἱππέας πάντῃ προσπεσεῖν κελεύσας, ἐν μέσῳ δι' ὀλίγου κατακόπτει αὐτούς· ὥστε διέφυγε μὲν οὐδεὶς ὅτι μὴ διέλαθέ τις ἐν τοῖς νεκροῖς, ἐζωγρήθησαν δὲ ἀμφὶ τοὺς δισχιλίους. Ἔπεσον δὲ 5
καὶ οἱ ἡγεμόνες τῶν Περσῶν, Νιφάτης τε καὶ Πετίνης· καὶ Σπιθριδάτης ὁ Λυδίας σατράπης καὶ ὁ τῶν Καπ-

---

hic forte haesisse notat Freinshemius ad Curt. III, 11, 27. Neque contra nitimur, nisi quod cum veteres libri tantopere conspirent in vulgatum, id potius intelligendum sit de iis modo equitibus, qui post praelium in ipsa fuga interfecti sunt. Sed quodcunque hic acciderit, possemus facile credere scripsisse auctorem *εἰς δισχιλίους*, ut literae illae *δις* fuerint absorptae ab praecedentibus *εἰς*, et sic conveniret Arrianus cum Diodoro: sed non placet suspecta habere, quae sana sunt; et hic loquitur auctor tantum de Persis occisis, praeter quos alii ex mercenariis multi ceciderunt, quos et infra recensuit Arrianus, etsi interciderint, vel praetermisit.« *Gronov.* Numeri militum sive in acie expositorum, sive caesorum saepe ambigui sunt. Vid. ann. ad III, 15, 15. III, 18, 3.

4. *ἐν μέσῳ — κατακόπτει*] In edd. ante Gronovium verba *ἐν μέσῳ*, commate poste ea posito, relata erant ad *προσπεσεῖν*. Unde factum videtur, ut Vulcanius ea in versione omnino neglexerit. Gronovius loci sensum recte reddidit ita: *parvo temporis spatio omnes in medio trucidat.*

ὅτι μὴ διέλαθέ τις] Sensus verborum hic est: *adeo ut nemo effugeret, exceptis iis qui inter cadavera delitescerent.* Cf. VI, 24, 3 *ὅτι οὔπω τις — διεσώθη, ὅτι μὴ Σεμίραμις διέφυγε*, ubi vide ann.

5. *Νιφάτης τε καὶ Πετίνης*] Edd. ante Schmiederum *Πετήνης*. At vide ann. ad I, 12, 13. Ceterum mire dissentit Diodorus in nominibus ducum ab Alexandri militibus trucidatorum, scribens

παδοκῶν ὕπαρχος Μιθροβουζάνης καὶ Μιθριδάτης ὁ τοῦ Δαρείου γαμβρὸς καὶ Ἀρβουπάλης ὁ Δαρείου τοῦ Ἀρταξέρξου παῖς καὶ Φαρνάκης, ἀδελφὸς οὗτος τῆς Δα-
6 ρείου γυναικὸς, καὶ ὁ τῶν ξένων ἡγεμὼν Ὠμάρης. Ἀρσίτης δὲ ἐκ μὲν τῆς μάχης φεύγει ἐς Φρυγίαν, ἐκεῖ δὲ ἀποθνήσκει αὐτὸς πρὸς αὑτοῦ, ὡς ὁ λόγος, ὅτι αἴτιος ἐδόκει Πέρσαις γενέσθαι τοῦ ἐν τῷ τότε πταίσματος.
7 Μακεδόνων δὲ τῶν μὲν ἑταίρων ἀμφὶ τοὺς εἴκοσι καὶ πέντε ἐν τῇ πρώτῃ προσβολῇ ἀπέθανον· καὶ τούτων χαλκαῖ εἰκόνες ἐν Δίῳ ἑστᾶσιν, Ἀλεξάνδρου κελεύσαντος Λύσιππον ποιῆσαι ὅσπερ καὶ Ἀλέξανδρον μόνος προκριθεὶς ἐποίει· τῶν δὲ ἄλλων ἱππέων ὑπὲρ τοὺς ἑξήκοντα,
8 πεζοὶ δὲ ἐς τοὺς τριάκοντα. Καὶ τούτους τῇ ὑστεραίᾳ

XVII, 21 *μετὰ δὲ ταῦτα καὶ τῶν ἄλλων ἡγεμόνων παρ' αὐτὸν ἐν τοῖς Πέρσαις ἔπεσον πλείους· ὧν ἦσαν ἐπιφανέστατοι Ἀτιζύης καὶ Φαρνάκης ὁ τῆς Δαρείου γυναικὸς ἀδελφὸς, ἔτι δὲ Μιθροβουζάνης ὁ Καππαδοκῶν ἡγούμενος* (ubi plurimi codd. *Μιθροβαρζάνης*). Sed qui Diodoro memoratur *Ἀτιζύης*, hic locum habere non potest. Periit enim ille in pugna ad Issum commissa, ut colligere est ex Arr. II, 11, 10. Curt. III, 11, 10 et e Diodoro ipso XVII, 34, ubi pro vulgato *Ἀντιξύης* scribendum esse *Ἀτιζύης* iam monuit Wesselingius.

καὶ Ἀρβουπάλης] Gronovio scribendum censenti *Ἀρτοιβάρης* editorum recentiorum nemo obsecutus est. Et quis est qui in tanta nominum propriorum perversitate, ubi omnes codices conspirant, quidquam temere mutare aggrediatur?

7. *ἐν τῇ πρώτῃ προσβολῇ*] Sic cod. F. In rell. codd et edd. vett. male omissa est praepositio. Cf. I, 15, 3 *ἐκακοπάθουν ἐν τῇ πρώτῃ προσβολῇ*. II, 2, 11 *Δατάμης — ἐν τῇ πρώτῃ προσμίξει — ἀπεσώθη*. II, 24, 7 *ἐν τῇ τότε προσβολῇ*. VI, 7, 5 *ὅσοι γε μὴ ἐν τῇ προσβολῇ διεφθάρησαν*. Et variata paululum oratione II, 22, 2 *ὑπὸ τῇ πρώτῃ ἐμβολῇ*, et IV, 2, 8 *ἐπὶ τῇ πρώτῃ προσβολῇ*. Sic etiam Xen. Anab. III, 4, 2 *ἐν τῇ πρόσθεν προσβολῇ*. Vulgatam ex parte tuentur haec IV, 16, 11 *καὶ τῇ μὲν πρώτῃ προσβολῇ τήν τε λείαν — ἀφείλοντο αὐτούς*.

ὅσπερ καὶ — ἐποίει] Cf. Plut. Alex. c. IV *τὴν μὲν οὖν ἰδέαν τοῦ σώματος οἱ Λυσίππειοι μάλιστα τῶν ἀνδριάντων ἐμφαίνουσιν, ὑφ' οὗ μόνου καὶ αὐτὸς ἠξίου πλάττεσθαι*. Plura de Lysippo habet Himerius, ut Ecl. XIV, 1 *δεινὸς δ' ἦν ἄρα οὐ χεῖρα μόνον, ἀλλὰ*

ἔθαψεν Ἀλέξανδρος ξὺν τοῖς ὅπλοις τε καὶ ἄλλῳ κόσμῳ· γονεῦσι δὲ αὐτῶν καὶ παισὶ τῶν τε κατὰ τὴν χώραν ἀτέλειαν ἔδωκε καὶ ὅσαι ἄλλαι ἢ τῷ σώματι λειτουργίαι, ἢ κατὰ τὰς κτήσεις ἑκάστων εἰσφοραί. Καὶ τῶν τετρωμένων δὲ πολλὴν πρόνοιαν ἔσχεν, ἐπελθών τε αὐτὸς ἑκάστους καὶ τὰ τραύματα ἰδὼν, καὶ ὅπως τις ἐτρώθη ἐρόμενος καὶ ὅτι πράττων, εἰπεῖν τε καὶ ἀλαζονεύσασθαί οἱ παρασχών. 9 Ὁ δὲ καὶ τῶν Περσῶν τοὺς ἡγεμόνας ἔθαψεν. 10 Ἔθαψε δὲ καὶ τοὺς μισθοφόρους Ἕλληνας οἳ ξὺν τοῖς πολεμίοις στρατεύοντες ἀπέθανον· ὅσους δὲ αὐτῶν αἰχμαλώτους ἔλαβε, τούτους δὲ δήσας ἐν πέδαις εἰς Μακεδονίαν ἀπέπεμψεν ἐργάζεσθαι, ὅτι παρὰ τὰ κοινῇ δόξαντα τοῖς Ἕλλησιν Ἕλληνες ὄντες ἐναντία τῇ Ἑλλάδι ὑπὲρ

καὶ γνώμην ὁ Λύσιππος. Ecl. XXXI, p. 286 ὥστε δὴ καὶ νειμάμενοι τὴν μορφὴν αὐτοῦ (sc. Ἀλεξάνδρου) Λύσιππος καὶ Ἀπελλῆς, ὁ μὲν φαρμάκοις, ὁ δὲ χαλκῷ τὴν φύσιν τοῦ βασιλέως ἡρμήνευσαν. Cf. Or. XIV, p. 634, ibique Wernsdorfium. Epigramma, quod ab Himerio memoratur, servatum est in Anthol. Palat. t. II, p. 661.

τῶν δὲ ἄλλων] Pro puncto maiusculo rectius iudicavimus ante haec verba ponere punctum minusculum. In ed. Basil. comma scriptum erat. Mox autem post τριάκοντα plene distinximus.

9. ἐρόμενος] Ed. Basil. ἐρώμενος. Mox eadem ἔνθα δέ pro ἔθαψε δέ, quod solum recte habet. Cf. III, 5, 7 νόσῳ ἀπέθανεν· ἀπέθανε δὲ καὶ Ἀντίοχος. Vid. ann. ad III, 3, 7.

10. εἰς Μακεδονίαν ἀπέπεμψεν] Edd. vett. cum quattuor codd. Gronovii ἔπεμψεν. Schmiederus e cod. F. ἀπέπεμψεν, quod recepimus. Cf. II, 15, 1 ὅσα ἀποπεπόμφει — Δαρεῖος εἰς Δάμασκον. II, 15, 6 τὰ ὀστᾶ ἐς τὰς Ἀθήνας — ἀπέπεμπε. III, 5, 1 καὶ οὐκ ἔστιν ὅντινα ἀτυχήσαντα ὧν ἐδεῖτο ἀπέπεμψεν. Saepa etiam pleonastice apponitur ὀπίσω, ut II, 16, 11 τοὺς μὲν πρέσβεις ὀπίσω ἀπέπεμψεν. V, 20, 6 ἀποπέμψει ὀπίσω ἐς τὰ ἤθη. VI, 8, 2 τὸν ἱππάρχην — ὀπίσω ἀπέπεμψεν. Atque illo adverbio adiecto simplex quoque verbum reperitur, ut III, 16, 13 καὶ ταύτας Ἀθηναίοις πέμπει ὀπίσω. V, 8, 7 Κοῖνον — πέμψας ὀπίσω. Verba πέμψαι, ἀποπέμψαι et ἀναπέμψαι confusa vide apud Xen. Cyrop. III, 1, 24. Cf. Dorv. ad Char. p. 610. Praepositio absorpta videtur praegressa syllaba αν. Nam ν et π a librariis confusa esse docuit Bastius comm. palaeogr. p. 747.

11 τῶν βαρβάρων ἐμάχοντο. Ἀποπέμπει δὲ καὶ εἰς Ἀθήνας τριακοσίας πανοπλίας Περσικὰς ἀνάθημα εἶναι τῇ Ἀθηνᾷ ἐν τῇ πόλει· καὶ ἐπίγραμμα ἐπιγραφῆναι ἐκέλευσε τόδε· ἈΛΕΞΑΝΔΡΟΣ ΦΙΛΙΠΠΟΥ ΚΑΙ ΟἹ ἙΛΛΗΝΕΣ ΠΛΗΝ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ, ἈΠΟ ΤΩΝ ΒΑΡΒΑΡΩΝ ΤΩΝ ΤΗΝ ἈΣΙΑΝ ΚΑΤΟΙΚΟΥΝΤΩΝ.

XVII. Καταστήσας δὲ Κάλαν σατραπεύειν ἧς Ἀρσίτης ἦρχε, καὶ τοὺς φόρους τοὺς αὐτοὺς ἀποφέρειν τάξας οὕσπερ Δαρείῳ ἔφερον, ὅσοι μὲν τῶν βαρβάρων κατιόντες ἐκ τῶν ὀρῶν ἐνεχείριζον σφᾶς, τούτους μὲν ἀπαλλάτ-
2 τεσθαι ἐπὶ τὰ αὑτῶν ἑκάστους ἐκέλευε. Ζελείτας δὲ ἀφῆκε τῆς αἰτίας, ὅτι πρὸς βίαν ἔγνω συστρατεῦσαι τοῖς

---

11. *ἀνάθημα εἶναι*] Ita omnes editiones ante Borheckium, qui primus scripsit *ἀναθήματα εἶναι.* Secutus eum est Schmiederus, ne monito quidem lectore, cur vulgatam scripturam mutarit. Quamquam, si omnes editiones pluralem praeberent, non esset quod obiiceretur. Cf. Pausan. I, 12, 3 *ἔχοντα ἐπίγραμμα ἔργων ὑπομνήματα εἶναι.* Arr. II, 3, 10 *τὴν ἅμαξαν — ἀναθεῖναι χαριστήρια τῷ Διΐ.* Vid. ann. ad I, 7, 2 et Bernh. Wiss. Synt. p. 64, not. 9. At tu confer Arr. V, 20, 8 *χρήματά τε κομίζοντα καὶ ἐλέφαντας τεσσαράκοντα, δῶρον Ἀλεξάνδρῳ.*

ἐν τῇ πόλει] Articulum servarunt edd. vett. et unus vel duo codd. Gronovii. Unde eum reiicere noluimus. Gronovii verba: »Postea in illis *τῇ Ἀθηνᾷ ἐν τῇ πόλει* plerique codices vetusti omittunt posterius *τῇ,* si quid hoc ad rem pertinet. III, 16, 13 *ᾗ ἄνιμεν ἐς πόλιν:«* ambigua sunt et incertae fidei. Nam quot et quales codices articulum ignorent, ex istis certo colligi non potest. Nec sane, etiamsi de acropoli sermo sit, inde articulus omittatur necesse est. Cf. Xen. Anab. VII, 1, 27 *ὑπαρχόντων δὲ πολλῶν χρημάτων ἐν τῇ πόλει,* ubi vide Kruegeri annotationem.

ἈΠΟ ΤΩΝ ΒΑΡΒΑΡΩΝ] Praepositionem *ἀπό* in rebus dedicatis solennem esse monuit Valckenarius ad Herod. V, 59 et post eum Siebel. ad Paus. I, 14, 4. Cf. Paus. I, 28, 2 *ἄγαλμα Ἀθηνᾶς ἀπὸ Μήδων τῶν ἐς Μαραθῶνα ἀποβάντων.*

C. XVII. *Καταστήσας δὲ Κάλαν*] De huius vocis varia pronunciatione vide ann. ad II, 4, 1.

ἀπαλλάττεσθαι — ἐκέλευε] Ita, ut videtur, omnes codd. Gronovii, ita edit. Basil. *ἐκέλευσε* edd. Vulc. Blanc. Raphel. Borheck. Utrumque probum esse nemo diffitebitur. Sed codicibus erat

βαρβάροις. Δασκύλιον δὲ παραληψόμενον Παρμενίωνα ἐκπέμπει· καὶ παραλαμβάνει Δασκύλιον Παρμενίων ἐκλιπόντων τῶν φρουρῶν. Αὐτὸς δὲ ἐπὶ Σάρδεων προὐχώ- 3
ρει, καὶ ἀπέχοντος αὐτοῦ ὅσον ἑβδομήκοντα σταδίους Σάρδεων, ἧκον παρ' αὐτὸν Μιθρίνης τε ὁ φρούραρχος τῆς ἀκροπόλεως τῆς ἐν Σάρδεσι καὶ Σαρδιανῶν οἱ δυνατώτατοι, ἐνδιδόντες οἱ μὲν τὴν πόλιν, ὁ δὲ Μιθρίνης τὴν ἄκραν καὶ τὰ χρήματα. Ἀλέξανδρος δὲ αὐτὸς μὲν κατε- 4
στρατοπέδευσεν ἐπὶ τῷ Ἕρμῳ ποταμῷ· ἀπέχει δὲ ὁ Ἕρμος ἀπὸ Σάρδεων σταδίους ὅσον εἴκοσιν. Ἀμύνταν δὲ τὸν Ἀνδρομένους τὴν ἄκραν παραληψόμενον ἐκπέμπει ἐς Σάρδεις· καὶ Μιθρίνην μὲν ἐν τιμῇ ἅμα οἷ ἦγε, Σαρδια-

---

obtemperandum. Imperfectum vide I, 27, 10 *στρατοπεδεύεσθαι — ἐκέλευε.* III, 30, 9 *Ἀλέξανδρος δὲ ἐπὶ τοῖσδε μαστιγοῦν ἐκέλευεν αὐτόν*, ubi ed. Bas. habet *ἐκέλευσεν*. VII, 7, 1 *ἄγειν ἐκέλευε.* VII, 17, 3 *χοῦν ἐκφέρειν ἐκέλευε.* Aoristum habes I, 17, 11 *τοὺς δὲ φόρους — ξυντελεῖν ἐκέλευσε.* II, 15, 3 *πέμπειν ἐκέλευσε*, ubi praecesserat *φυλάσσειν ἐκέλευε.* III, 8, 1 *ἕπεσθαι ἐκέλευσεν.* III, 10, 1 *ἀναπαύεσθαι ἐκέλευσε.* VII, 12, 7 *ἄγειν — ἐκέλευσεν.* Sic variatur imperfectum et aoristus apud Pausan. I, 41, 4 apud Diod. Sic. XVII, 54, apud Arr. III, 9, 1 et VII, 3, 3. Vide Schaef. ad Plutarch. t. IV, p. 346; vv. ll. ad Thucyd. IV, 114. VII, 31. Jacobs. ad Achill. Tat. p. 612.

2. *ὅτι ἔγνω — συστρατεῦσαι*] Ed. Bas. et Venet. cum tribus codd. Gronovii *σὺν στρατεῦσαι.* Ed. Vulc. et Blancard. *ἔγνωσαν συστρατεῦσαι*, perperam. Verum servavit cod. F. cum uno alio. Vid. ann. ad V, 5, 3.

3. *Μιθρίνης*] Edd. vett. *Μιθρήνης.* Ex vet. cod. Stephani ad marginem editionis Vulcanianae enotatum est *Μιθρόνης.* Genuinam nominis formam suppeditarunt codices Gronovii. Cf. Diod. Sic. XVII, 21, ubi pro vulgato *Μιθρίνου* in all. codd. legebatur *Μιθράνους* et *Μιθρίνους.* Vide praeterea ann. ad I, 12, 13.

4. *σταδίους ὅσον εἴκοσιν*] Edd. ante Gronovium omnes et post eum ed. Raphel. et Borheck. omiserunt *ὅσον*, quod quamquam quattuor codd. Gronovii ignorant, tamen recepi ex auctoritate codicis F. Cf. IV, 25, 11 *ἀλλὰ ἀπέχων ὅσον εἴκοσι σταδίους*, et exempla ad I, 4, 5 allata.

Μιθρίνην] Edd. vett. *Μιθρήνην.* Mox omnes edd. *ἅμα οἱ.*

νοὺς δὲ καὶ τοὺς ἄλλους Λυδοὺς τοῖς νόμοις τε τοῖς πά-
λαι Λυδῶν χρῆσθαι ἔδωκε καὶ ἐλευθέρους εἶναι ἀφῆκεν.
5 Ἀνῆλθε δὲ καὶ αὐτὸς εἰς τὴν ἄκραν ἵνα τὸ φρούριον ἦν
τῶν Περσῶν· καὶ ἔδοξεν αὐτῷ ὀχυρὸν τὸ χωρίον· ὑπερύ-
ψηλόν τε γὰρ ἦν καὶ ἀπότομον πάντῃ καὶ τριπλῷ τείχει
πεφραγμένον· αὐτὸς δὲ ἐπὶ τῇ ἄκρᾳ ναόν τε οἰκοδομῆσαι
6 Διὸς Ὀλυμπίου ἐπενόει καὶ βωμὸν ἱδρύσασθαι. Σκο-
ποῦντι δὲ αὐτῷ τῆς ἄκρας ὅπερ ἐπιτηδειότατον χωρίον,
ὥρᾳ ἔτους ἐξαίφνης χειμὼν ἐπιγίγνεται καὶ βρονταὶ σκλη-

ἐλευθέρους εἶναι ἀφῆκεν] Sic placuit Arriano scribere I, 19, 9 *ἀφῆκε καὶ ἐλευθέρους εἶναι ἔδωκεν.* Omisso verbo substantivo dixit III, 27, 7 *ἐλευθέρους ἀφῆκε.*

5. *ἀνῆλθε δὲ καὶ αὐτός*] Edd. vett. particula *καί* carent. E Gronovii verbis: »Dein necessario scribendum *ἀνῆλθε δὲ καὶ αὐτός,* ubi vulgo omittitur *καί,*« colligo, codicem, quem vocat, Optimum ita plene exhibuisse hunc locum. Quomodo enim, si mera tantum illa accessio niteretur coniectura, tam distincte loqui potuisset Gronovius? Ceterum non dubito quin particula ista ab Arriani manu sit profecta. Cf. II, 14, 3. III, 29, 11. IV, 21, 1. VII, 6, 1 et multos alios locos, ubi ex uno vel altero codice particula *καί* quae vulgo deerat, restituta est. Ad nostrum locum cf. V, 20, 9 *ἧκον δὲ καί* et quae ibi adscripsimus similia exempla.

6. *καὶ βρονταὶ σκληραί*] Similem narrationis colorem vide apud Herodot. VIII, 12 *ἐγίνετο δὲ ὕδωρ ἄπλετον — καὶ βρονταὶ σκληραί.* Cf. Plutarch. vit. Timol. c. XXVIII *βρονταὶ φοβεραὶ καὶ πυρώδεις ἀστραπαὶ ξυνεξέπιπτον.* Fragm. incert. apud Suid. s. v. *σκληρὰ βροντή· καὶ ἐν τούτῳ βροντάς τε σκληρὰς κτυπεῖν καὶ ὕδωρ ἐξ οὐρανοῦ ἐμπίπτον χαλάσαι τοῖς βαρβάροις τὰς νευράς.* Adiectivo *σκληρός* de vento tempestuoso usus est Arrianus I, 26, 3 *ἐκ νότων σκληρῶν,* et Ael. vv. histt. IX, 14 *ἄνεμοι σκληροί.* Cf. Arr. II, 6, 3 *χειμὼν ἐπιγίγνεται σκληρός.*

7. *Ἀλεξάνδρῳ δὲ ἔδοξεν*] Edd. Vulc. et Blanc. *Καὶ ἐντεῦθεν Ἀλεξάνδρῳ ἔδοξεν.* »Veneta et Basileensis editiones cum codice Perusino et uno Florentino *καὶ ἐντεῦθεν Ἀλεξάνδρῳ διέδοξεν,* idemque notavit ex Augustano Vulcanius. Duo reliqui *Ἀλεξάνδρῳ διέδοξεν* omissis duabus prioribus voculis. Unde et quo ista omnia? nisi ut appareat Arriani manum esse *Ἀλεξάνδρῳ δὲ ἔδοξεν,* quae plane exstat in Optimo et alio Florentino, ad quam alii alludunt.« *Gronov.* Voces *καὶ ἐντεῦθεν* profectae videntur a librario, qui,

ραί, καὶ ὕδωρ ἐξ οὐρανοῦ πίπτει οὗ τὰ τῶν Λυδῶν βασίλεια. Ἀλεξάνδρῳ δὲ ἔδοξεν ἐκ θεοῦ σημανθῆναι ἵνα 7 *χρὴ οἰκοδομεῖσθαι τῷ Διὶ τὸν νεὼν, καὶ οὕτως ἐκέλευσε. Κατέλιπε δὲ τῆς μὲν ἄκρας τῆς Σάρδεων ἐπιμελητὴν Παυ-* 8 *σανίαν τῶν ἑταίρων, τῶν δὲ φόρων τῆς συντάξεώς τε καὶ ἀποφορᾶς Νικίαν, Ἄσανδρον δὲ τὸν Φιλώτου Λυδίας καὶ τῆς ἄλλης τῆς Σπιθριδάτου ἀρχῆς, δοὺς αὐτῷ ἱππέας τε καὶ ψιλοὺς ὅσοι ἱκανοὶ πρὸς τὰ παρόντα ἐδόκουν. Κάλαν δὲ* 9 *καὶ Ἀλέξανδρον τὸν Ἀερόπου ἐπὶ τὴν χώραν τὴν Μέ-*

---

cum in manuscripto suo reperiret *Ἀλεξάνδρῳ διέδοξεν*, ut nexus cum praegresso enunciato restitueretur, hac ratione orationem plenam reddere voluit. Verbum *διαδοκεῖν* Graecis inauditum olim etiam legebatur apud Herodot. V, 124, pro quo nunc recte editur *διέδεξε*. In contrarium peccavit editor Basileensis I, 21, 10 *δ' ἐφύλαξε* scribens pro *διεφύλαξε* et VII, 22, 5 *δὲ ἤνεγκε* admittens pro *διήνεγκε*.

8. *Παυσανίαν τῶν ἑταίρων*] Edd. ante Gronovium *τὸν ἑταῖρον*, quod, etsi defendi possit, tamen ab Arriani stilo alienum est. Genitivum suppeditarunt cod. F. et unus ex reliquis codd. Florr. Cf. III, 6, 12 *Μένανδρον τῶν ἑταίρων*. III, 25, 4 *Ἀνάξιππον τῶν ἑταίρων*. III, 29, 2 *Ἀρχέλαον τὸν Ἀνδρόκλου τῶν ἑταίρων*. VI, 23, 11 *Τήλεφον κατέπεμψε τῶν ἑταίρων*. VII, 24, 8 *Μήδιον δὲ αὐτῷ ἐντυγχάνοντα τῶν ἑταίρων*. Et solent hi nudi genitivi, qui vere sunt partitivi, omisso *εἷς* sive *τὶς* explicari, quod haud raro et ipsum additum videmus, ut I, 12, 12 *Πανηγόρῳ — ἑνὶ τῶν ἑταίρων*. III, 26, 5 *Πολυδάμαντα ἕνα τῶν ἑταίρων*. IV, 12, 3 *Λεοννάτον δὲ ἕνα τῶν ἑταίρων*. VI, 9, 7 *Ἀβρέας τῶν διμοιριτῶν τις στρατευομένων*. Cf. Siebel. ad Paus. I, 34, 3, cui vix credideris, tales dicendi formas esse contractas ex Herodoteo (V, 97) *Μέλανθον ἄνδρα τῶν ἀστῶν* et similibus.

τὸν Φιλώτου] Malim *τὸν Φιλώτα*, qua forma Arrianus uti solet, ut III, 11, 16 et III, 29, 13.« *Schmied.* Quibus locis adde III, 26, 6. Et exstant sane haud pauci loci, ubi Arrianus genitivum in *α* alteri in *ου* praetulisse videtur. Cf. II, 13, 9 *Κερδίμμα*. III, 6, 12 *Ἀρίμμα*. III, 5, 7 *Ἀῤῥύβα*. V, 19, 6 *Βουκεφάλα*. Sed certum quidquam de talibus formis statui posse vix puto. Vide quae de genitivis *Ὀρόντου* et *Ὀρόντα* monuit Bornem. ad Xen. Anab. III, 4, 13. Cf. Math. Gr. Gr. ub. p. 147. — Mox pro *Σπιθριδάτου* ed. Bas., ut supra, *Μιθριδάτου*.

μνονος ἐκπέμπει ἄγοντας τούς τε Πελοποννησίους καὶ τῶν ἄλλων ξυμμάχων τοὺς πολλοὺς πλὴν Ἀργείων· οὗτοι δὲ ἐν Σάρδεσι κατελείφθησαν τὴν ἄκραν φυλάττειν. Ἐν τούτῳ δὲ ὡς τὰ τῆς ἱππομαχίας ἐξηγγέλθη, οἵ τε τὴν Ἔφεσον φρουροῦντες μισθοφόροι ᾤχοντο φεύγοντες, δύο τριή-

---

9. *ἄγοντας*] Ita codd. Gronovii omnes et ed. Basil. *ἄγοντα* ed. Vulc. et Blancard. At cf. II, 17, 2 *Αἴγυπτον καὶ Κύπρον ἐχομένας*, ubi rursus edd. plures habent *ἐχομένην*. Vid. ann. ad h. l.

οὗτοι δέ] Exspectabas potius *οὗτοι γάρ*. »Sed ubi quid in reddenda ratione sic affertur, ut id partem aliquam rei, de qua sermo est, constituat, plane ut in quavis narratione, ubi novum praecedentibus praedicatum accedit, *δέ* et *autem* locum habent, quippe ob id ipsum, quod novum quid accedit, oppositionem quandam fieri indicantes.« Herm. ad Vig. p. 845. Cf. Goell. ad Thuc. I, 77.

10. *τὰ τῆς ἱππομαχίας*] Bene ita cod. F. *τὰ ὑπὲρ τῆς ἱππομαχίας* edd. vett. cum rell. codd. Gronovii. Quam scripturam non tam propterea alteri posthabui, quod falsam eam censeam, quam quod eius nullum, alterius multa in promtu habeo exempla. Vide I, 25, 5 *τὰ δὲ τῆς ἐπιβουλῆς ἐξηγγέλθη ὧδε*. II, 2, 5 *τὰ τῆς εὐνοίας*. II, 19, 10 *τὰ τῆς πολιορκίας*. IV, 8, 3 *τὰ τῶν πότων*. IV, 11, 15 *τὰ τῶν τιμῶν*. IV, 12, 4 *τὰ τῆς προσκυνήσεως*. IV, 12, 10 *τὰ τῆς ἐπιβουλῆς*. IV, 17, 6 *τὰ τῆς φυγῆς*. V, 11, 4 *τὰ τῆς διαβάσεως*. VI, 10, 5 *τὰ τῆς προσβολῆς*. VI, 12, 3 *τὰ τῆς ἀξιώσεως*. VII, 17, 7 *τά γε τῆς ἐπιστροφῆς*. Vid. ann. ad VII, 20, 7. Est enim *τὰ τῆς ἱππομαχίας, τὰ τῆς ἐπιβουλῆς* nil fere nisi *ἡ ἱππομαχία, ἡ ἐπιβουλή*. Ad vulgatam defendendam afferat quis Plat. Phaed. p. 57, E *οὐδὲ τὰ περὶ τῆς δίκης ἄρα ἐπύθεσθε* et quae ad h. l. dixit Heindorfius p. 5. Nihil huc facit quod Gronovius, ut vulgatae scripturae patrocinium susciperet, attulit exemplum II, 6, 5 *φράζει αὐτοῖς τὰ ἐξηγγελμένα ὑπὲρ Δαρείου τε καὶ τῆς στρατείας*. Quomodo enim in tali verborum coniunctione Arrianus aliter scribere potuit?! Cf. I, 13, 8. IV, 5, 1. IV, 8, 3. VI, 1, 5 etc.

ἐκ Μακεδονίας Ἀλέξανδρον] Hanc scripturam firmant omnes codices quos consuluit Gronovius, et ed. Bas. *ὡς Ἀλέξανδρον* ed. Vulc. et Blanc. Unde coniecit Palmerius Exercc. p. 237 *ἀπ' Ἀλεξάνδρου*, parum feliciter. Postea etiam in cod. Aug. vocem *ὡς* deesse ipse notavit Vulcanius, locum recte ita interpretatus: *qui ex Macedonia ab Alexandro se subduxerat.* Simile mendum, occasione data, tollo ex Diod. Sic. XVII, 110, ubi in vulgato *Ἀλέξανδρος*

ρεις τῶν Ἐφεσίων λαβόντες, καὶ ξὺν αὐτοῖς Ἀμύντας ὁ Ἀντιόχου ὃς ἔφυγεν ἐκ Μακεδονίας Ἀλέξανδρον, παθὼν μὲν οὐδὲν πρὸς Ἀλεξάνδρου, δυσνοίᾳ δὲ τῇ πρὸς Ἀλέξανδρον καὶ αὐτὸς ἀπαξιώσας τι παθεῖν πρὸς αὐτοῦ ἄχαρι. Τετάρτῃ δὲ ἡμέρᾳ ἐς Ἔφεσον ἀφικόμενος, τούς τε 11

εἰς τὸν τῶν ἀπολελυμένων ἀριθμὸν ἀνεπλήρωσεν ἐκ τῶν Περσῶν, non dubito quin cum Stephano praepositio εἰς, ex praegressi vocabuli ultima syllaba male orta, reiicienda sit.

καὶ αὐτὸς ἀπαξιώσας] Sic codd. Gronovii praeter cod. F. omnes, sic omnes edd. vett., ut iure dubites an voces καὶ αὐτός recte omiserit Schmiederus. Cf. I, 9, 7 ἥ τε προσβολὴ πρὸς τὴν Σπάρτην καὶ αὐτή — III, 27, 7 καὶ τούτους Ἀλέξανδρος — καὶ αὐτὸς καταμαθών. III, 2, 7 τὰς ἄλλας πόλεις καὶ αὐτὰς προσηγάγετο. II, 11, 9 ἐπιστρέψας καὶ αὐτός. V, 4, 3 ὅτι Δέλτα ποιεῖ καὶ αὐτὸς ἐν τῇ Ἰνδῶν γῇ. Videntur autem illa verba καὶ αὐτός opposita quasi esse praecedentibus δυσνοίᾳ δὲ τῇ πρὸς Ἀλέξανδρον.

ἀπαξιώσας] Tres codices Gronovii habent ἐπαξιώσας, quod, si Arrianeum esset vocabulum, haud ineptum praeberet sensum: *quod putabat se damno quodam affectum iri ab Alexandro.* Cf. Sophocl. Electr. v. 648, Herm. τὰ δ᾽ ἄλλα πάντα, καὶ σιωπώσης ἐμοῦ, ἐπαξιῶ σε δαίμον᾽ ὄντ᾽ ἐξειδέναι. Sed altera forma ἀπαξιώσας, quam tuentur edd. vett. cum cod F. et uno alio codd. Florr., Arriani manum indicat. Pertinet enim hoc verbum ad ea quae Arriano valde sunt adamata. Cuius prima eaque constans fere apud eum significatio est *indignum aliquem habendi, dedignandi* s. *aspernandi*, ut I, 12, 7 οὐκ ἀπαξιώσας ἐμαυτὸν φανερὰ καταστήσειν ἐς ἀνθρώπους τὰ Ἀλεξάνδρου ἔργα. I, 23, 12 καὶ τὸ ὄνομα τοῦ παιδὸς οὐκ ἀπηξίωσεν. II, 24, 11 διὰ τοῦτο καὶ ἐγὼ αὐτὸ ἀναγράψαι ἀπηξίωσα. IV, 12, 8 ὅτῳ τις ξυνεῖναι οὐκ ἀπηξίωσεν. IV, 15, 4 εἰ δ᾽ ἀπαξιοῖ τὴν Σκυθῶν βασίλισσαν γῆμαι Ἀλέξανδρος. IV, 19, 9 ἀλλὰ γῆμαι γὰρ οὐκ ἀπαξιῶσαι. V, 19, 7 ὅτι τοὺς ἄλλους πάντας ἀπηξίου ἀμβάτας. VI, 29, 3 ὅτι οὐκ ἀπηξίωσεν αὐτὸν — διαφυλάξαι. VII, 20, 3 οὔκουν ἀπαξιοῦν καὶ αὐτὸν τρίτον ἂν νομισθῆναι — θεόν. Restant duo tantum loci, ubi dubius haereas, num eandem explicandi rationem admittant, an non. Unus est qui totius huius disputationis ansam dedit, quem Vulcanius et post eum Gronovius interpretatus est: *indignum ratus, si aliquo ab Alexandro incommodo afficeretur*; Raphelius vero, quem secutum video Schmiederum, sic vertit: *veritus, ne quo incommodo ab Alexandro afficeretur*, comparatis quae leguntur I, 29, 9 — ὅσοι ἐναντία τῇ Ἑλλάδι στρατεύεσθαι ὑπὲρ τῶν

φυγάδας ὅσοι δι' αὐτὸν ἐξέπεσον τῆς πόλεως, κατήγαγε καὶ τὴν ὀλιγαρχίαν καταλύσας δημοκρατίαν κατέστησε· τοὺς δὲ φόρους ὅσους τοῖς βαρβάροις ἀπέφερον, τῇ Ἀρ-
12 τέμιδι ξυντελεῖν ἐκέλευσεν. Ὁ δὲ δῆμος ὁ τῶν Ἐφεσίων, ὡς ἀφῃρέθη αὐτοῖς ὁ ἀπὸ τῶν ὀλίγων φόβος, τούς τε Μέμνονα ἐπαγομένους καὶ τοὺς τὸ ἱερὸν συλήσαντας τῆς Ἀρτέμιδος καὶ τοὺς τὴν εἰκόνα τοῦ Φιλίππου τὴν ἐν τῷ ἱερῷ καταβαλόντας καὶ τὸν τάφον ἐκ τῆς ἀγορᾶς ἀνορύξαντας τὸν Ἡροπύθου τοῦ ἐλευθερώσαντος τὴν πόλιν ὥρ-
13 μησαν ἀποκτεῖναι. Καὶ Σύρφακα μὲν καὶ τὸν παῖδα αὐτοῦ Πελάγοντα καὶ τοὺς τῶν ἀδελφῶν τοῦ Σύρφακος παῖδας ἐκ τοῦ ἱεροῦ ἐξαγαγόντες κατέλευσαν· τοὺς δὲ ἄλλους διεκώλυσεν Ἀλέξανδρος προσωτέρω ἐπιζητεῖν καὶ τιμωρεῖσθαι, γνοὺς ὅτι ὁμοῦ τοῖς αἰτίοις καὶ οἱ ξὺν δίκῃ τι-

---

βαρβάρων οὐκ ἀπηξίωσαν, ubi ipse Vulcanius interpretationem adscripsit hancce: *qui adversus Graeciam pro barbaris militari veriti non fuissent.* Sed si omnia exempla supra citata perlustraveris, mecum, spero, utrumque locum ad reliquorum normam diriges atque miraberis, cur Vulcanio prioris loci sensum recte intelligenti in posteriori placuerit novam quandam verbi significationem inducere, quae Arriano ignota fuisse videtur. Alterum exemplum, quod dubium relinquat verbi *ἀπαξιῶσαι* significatum, legitur V, 2, 2 *οὐδ' ἂν Μακεδόνας τὸ πρόσω ἀπαξιῶσαι συμπονεῖν οἷ ἔτι κατὰ ζῆλον τῶν Διονύσου ἔργων.* Sed et ibi, missis variis variorum interpretum conatibus, hunc esse verborum sensum existimo: *neque milites putabat Alexander dedignaturos ex aemulatione quadam rerum a Dionyso gestarum novos suscipere labores.*

11. *δι' αὐτόν*] Sic recte cod. F. Edd. ante Gronovium cum rell. codd. *δι' αὐτῶν*, ex nota illarum literarum confusione. Vide ad I, 17, 8 et III, 30, 12. Conferri iubet Gronovius III, 6, 9 *κατελθόντες ἀπὸ τῆς φυγῆς ὅσοι δι' αὐτὸν ἔφυγον.*

12. *τούς τε Μέμνονα ἐπαγομένους*] Non multum abfuit quin scriberem *ἐπαγαγομένους*. Nam solum hoc participium praesentis inter multa aoristi offendebat. Cf. III, 3, 4 *ὅτι δὴ ὁ δῆμος ἐπηγάγετο σφᾶς βίᾳ τῶν κατεχόντων τὴν πόλιν.* Neque comparanda est temporum enallage VI, 7, 8, *μεταβαλλόμενοι καὶ ξυστραφέντες — ἐξέωσαν.* Sed tamen nolui mutare quod omnes edd. et codd. tuebantur. Participium praesentis pro imperfecto positum de co-

νὰς τοὺς μὲν κατ᾽ ἔχθραν, τοὺς δὲ κατὰ ἁρπαγὴν χρημάτων ἀποκτενεῖ, ξυγχωρηθὲν αὐτῷ, ὁ δῆμος. Καὶ εἰ δή 14
τῳ ἄλλῳ καὶ τοῖς ἐν Ἐφέσῳ πραχθεῖσιν Ἀλέξανδρος ἐν τῷ τότε εὐδοκίμει.

XVIII. Ἐν τούτῳ δὲ ἐκ Μαγνησίας τε καὶ Τράλλεων παρ᾽ αὐτὸν ἧκον ἐνδιδόντες τὰς πόλεις· καὶ ὃς πέμπει Παρμενίωνα, δοὺς αὐτῷ δισχιλίους καὶ πεντακοσίους πεζοὺς τῶν ξένων καὶ Μακεδόνας παραπλησίους, ἱππέας δὲ τῶν ἑταίρων ἐς διακοσίους. Ἀντίμαχον δὲ τὸν Ἀγα- 2
θοκλέους ἐπὶ τὰς Αἰολίδας τε πόλεις ξὺν δυνάμει οὐκ ἐλάττονι ἐξέπεμψε καὶ ὅσαι Ἰωνικαὶ ὑπὸ τοῖς βαρβάροις ἔτι ἦσαν. Καὶ τὰς μὲν ὀλιγαρχίας πανταχοῦ καταλύειν 3
ἐκέλευσε, δημοκρατίας δέ τε ἐγκαθιστάναι καὶ τοὺς νόμους τοὺς σφῶν ἑκάστοις ἀποδοῦναι, καὶ τοὺς φόρους

---

natu dictum est. Vid. Herm. ad Soph. Aiac. v. 1105. Krueg. ad Xen. Anab. I, 3, 1. Unde hic est loci sensus: *qui Memnona inducere in animo habebant.*

τὸν τάφον — ἀνορύξαντας] Suspicetur quis scribendum esse *τοὺς τὸν τ. ἀνορ.* Praecesserunt enim tria participia articulo omnia instructa. De simili articuli omissione vid. ann. ad I, 22, 9.

14. *καὶ εἰ δή τῳ ἄλλῳ*] Sic recte ed. Vulc. et Raphel. *εἰ δὴ τῷ ἄλλῳ* edd. Blanc. Gron. Schmied. *εἰ δή πω ἄλλῳ* ed. Basil.

C. XVIII. 2. *Ἀντίμαχον δέ*] Edd. ante Gronov. cum duobus codd. Florr. *Ἀλκίμαλον.* Duo codd. *Ἀλκύμαλον.* Verum praebuit cod. F. — Paulo supra in ed. Bas. erat *ἐκμαγνησίας.* Vid. ad I, 12, 8.

3. *δέ τε ἐγκαθιστάναι*] Edd. Venet. et Basil. *δὲ τί* (sic). Edd. Vulc. et Blanc. *δέ γε*, sine codicum auctoritate. Quorum unus habebat *δὲ τότε*, tres alii cum cod. F. *δέ τε*, cui lectioni nemo non favebit. De confusione particularum *δέ* et *γὲ* multi dixerunt multa. Nomina eorum adscripsisse satis est. Vid. Locell. ad Xen. Ephes. p. 201. Herm. ad Soph. Oed. Reg. v. 562. ad Oed. Col. v. 418. Fritzsch. Qu. Lucc. p. 122, 166, 199, 212. Math. ad Eurip. Orest. v. 192.

ἑκάστοις ἀποδοῦναι] Ita omnes edd. ante Schmiederum et omnes codd. praeter cod. F., in quo est *ἑκάστοισιν*, quam formam in textum recipere non dubitassem, si plura eius exempla apud Arrianum invenissem. Etiam Atticis scriptoribus illam haud raro usurpari post Dorv. ad Char. p. 343 docuerunt intpp. ad Greg. Corinth. p.

4 ἀνεῖναι ὅσους τοῖς βαρβάροις ἀπέφερον. Αὐτὸς δὲ ὑπο-
μείνας ἐν Ἐφέσῳ θυσίαν τε ἔθυσε τῇ Ἀρτέμιδι καὶ πομ-
πὴν ἔπεμψε ξὺν τῇ στρατιᾷ πάσῃ ὡπλισμένῃ τε καὶ ὡς
5 ἐς μάχην ξυντεταγμένῃ. Τῇ δ' ὑστεραίᾳ ἀναλαβὼν τῶν
τε πεζῶν τοὺς λοιποὺς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶ-
νας καὶ τοὺς Θρᾷκας ἱππέας καὶ τῶν ἑταίρων τήν τε βα-
σιλικὴν ἴλην καὶ πρὸς ταύτῃ τρεῖς ἄλλας, ἐπὶ Μιλήτου
ἐστέλλετο· καὶ τὴν μὲν ἔξω καλουμένην πόλιν ἐξ ἐφόδου
ἔλαβεν ἐκλιπούσης τῆς φυλακῆς· ἐνταῦθα δὲ καταστρα-
6 τοπεδεύσας ἔγνω ἀποτειχίζειν τὴν εἴσω πόλιν. Ἡγησί-
στρατος γὰρ ὅτῳ ἡ φρουρὰ ἡ Μιλησίων ἐκ βασιλέως ἐπε-
τέτραπτο, πρόσθεν γράμματα παρ' Ἀλέξανδρον ἔπεμπεν
ἐνδιδοὺς τὴν Μίλητον· τότε δὲ ἀναθαῤῥήσας ἐπὶ τῷ Περ-
σῶν στρατῷ οὐ μακρὰν ὄντι, διασώζειν τοῖς Πέρσαις ἐπε-

---

375 sqq. Ast ad Plat. Legg. t. II, p. 11. Schneid. ad Plat. Civit. III, 389, B. p. 222. De Pausania vide quae dixit Siebel. ad Paus. t. I, praef. p. XXI, et ad X, 25, 2.

4. ὑπομείνας] Codd. plerique cum cod. F. Edd. ante Schmied. ἐπιμείνας, quod et ipsum bene habet. Cf. II, 3, 3 καὶ ἐπιμεῖναι — καθήμενον. At altera forma apud Arrianum longe frequentior est. Vide modo IV, 5, 7. III, 25, 6. V, 18, 7. V, 28, 5. VI, 5, 15. VI, 22, 5. Hist. Ind. XIX, 3. XXI, 3. Eadem verba confusa offendimus apud Paus. I, 7, 2. Et praepositiones ὑπό et ἐπί quam crebro in codd. et edd. confusae sint dici vix potest. Vid. Wernsd. ad Himer. Or. XIV, p. 670. Passov. ad Parthen. Erott. XVII, 4. XVIII, 1. Soph. Aiac. v. 294. Fritzsch. Qu. Lucc. p. 187.

πομπὴν ἔπεμψε] De hac locutione vid. Wernsd. ad Himer. Ecl. XVI, p. 252. Meinek. ad Menandr. frgmm. p. 166. Goell. ad Thuc. VI, 56.

5. τὴν μὲν ἔξω καλουμένην πόλιν] Edd. Venet. Basil. Vulc. ἔξωδα (sic). Cod. vet. Steph. et cod. Aug. ἔξοδον. Codd. Gronovii omnes ἔξωδον, nisi quod in cod. Perusino legebatur ἔξω τῶν. Quod dedimus cum Schmiedero, Gronovius iam scripsit e coniectura Freinshemii in Suplemm. Curtt. II, 7, 12. »Illa Milesia ἐξώπολις (?) videtur esse, quam scribit Strabo ex Ephoro (Strab. XIV, p. 165, ed. ster.) κτίσμα Κρητικῶν, (l. Κρητικόν, ut hodie recte scribitur. E.) ὑπὲρ θαλάττης τετειχισμένον, ὅπου νῦν ἡ παλαιὰ πόλις Μίλητός ἐστι.« Gronov.

νόει τὴν πόλιν. Νικάνωρ δὲ τὸ Ἑλληνικὸν ναυτικὸν ἄγων 7
ὑποφθάνει τοὺς Πέρσας, τρισὶν ἡμέραις πρότερος κατα-
πλεύσας ἢ τοὺς Πέρσας Μιλήτῳ προσχεῖν· καὶ ὁρμίζε-
ται ναυσὶν ἑξήκοντα καὶ ἑκατὸν ἐν τῇ νήσῳ τῇ Λάδῃ·
κεῖται δὲ αὕτη ἐπὶ τῇ Μιλήτῳ. Αἱ δὲ τῶν Περσῶν νῆες 8
ὑστερήσασαι, ἐπειδὴ ἔμαθον οἱ ναύαρχοι τῶν ἀμφὶ Νι-
κάνορα τὴν ἐν τῇ Λάδῃ προκαταγωγὴν, πρὸς τῇ Μυκάλῃ
τῷ ὄρει ὡρμίσθησαν. Τὴν γὰρ Λάδην τὴν νῆσον προ- 9
κατειλήφει Ἀλέξανδρος οὐ τῶν νεῶν μόνον τῇ ἐγκαθορ-
μίσει, ἀλλὰ καὶ τοὺς Θρᾷκας καὶ τῶν ἄλλων ξένων ἐς τε-
τρακισχιλίους διαβιβάσας ἐς αὐτήν. Ἦσαν δὲ τῶν βαρβά- 10
ρων αἱ νῆες ἀμφὶ τὰς τετρακοσίας. Παρμενίων μὲν δὴ
καὶ ὣς παρῄνει Ἀλεξάνδρῳ ναυμαχεῖν, τά τε ἄλλα κρα-
τήσειν τῷ ναυτικῷ τοὺς Ἕλληνας ἐλπίζων, καί τι καὶ

ἐνταῦθα δέ] Sic scripsimus ex auctoritate trium codd. Florr., quorum lectionem memoravit Gron. ad III, 5, 2, et edd. Basil. atque Vulc. Particulam adversativam minus recte neglexit Blancardus. Neque habuisse eam videntur qui reliqui sunt duo codices Gronovii. Ceterum vide ann. ad III, 5, 2.

7. *κεῖται δὲ αὕτη*] »Sunt ipsa verba Herodoti VI. 7 *ἡ δὲ Λάδη ἐστὶ νῆσος μικρὴ ἐπὶ τῇ πόλι τῇ Μιλησίων κειμένη.* At Strabo l. XIV (p. 167, ed. Ster.) *πρόκειται δὲ ἡ Λάδη νῆσος πλησίον.* Pausanias in Atticis (I, 35, 5) *ἐστὶ δὲ Μιλησίοις πρὸ τῆς πόλεως Λάδη νῆσος.*« *Gronov.* In ed. Basil. minus apte expressum est *αὐτή.* Vide I, 19, 9 *ἦσαν δὲ οὗτοι.* IV, 21, 2 *καλεῖται δὲ αὕτη,* ubi Vulcanius primus dedit *αὐτή.* — Supra pro *πρότερος* noli scriptum *πρότερον.* cf. quae diximus ad II, 9, 1.

10. *ἐλπίζων*] Omnes edd. ante Schmiederum et quattuor codd. Gron. compositum habent *ἐπελπίζων.* Solus cod. F. praebuit *ἐλπίζων,* quod, cum alterum nuspiam apud Arrianum invenerim, haud cunctanter recepi. Nihilominus tamen etiam verbum *ἐπελπίζειν* h. l. ferri possit. Vide quae circumspecte disseruit de huius verbi usu ac significatione Hemsterhusius ad Luc. t. II, p. 418 sq. Cf. Valck. ad Amm. p. 66. Itpp. ad Thom. Mag. p. 298. Goell. ad Thucyd. VIII, 1. Sieb. ad Pausan. IV, 26, 3. Aut enim dictum esse possit pro simplici *ἐλπίζειν*, aut in hunc modum verba convertantur: *cum aliis de causis superiores navali proelio Graecos fore spem faciens, tum augurio maxime persuasus.*

θεῖον ἀνέπειθεν αὐτὸν, ὅτι ἀετὸς ὤφθη καθήμενος ἐπὶ
11 τοῦ αἰγιαλοῦ κατὰ πρύμναν τῶν Ἀλεξάνδρου νεῶν. Καὶ
γὰρ δὴ νικήσαντας μὲν μεγάλα ὠφεληθήσεσθαι ἐς τὰ ὅλα,
νικηθεῖσι δὲ οὐ παρὰ μέγα ἔσεσθαι τὸ πταῖσμα· καὶ ὣς
γὰρ θαλαττοκρατεῖν τοὺς Πέρσας· καὶ αὐτὸς δὲ ἔφη ἐπι-
12 βῆναι ἐθέλειν τῶν νεῶν καὶ τοῦ κινδύνου μετέχειν. Ἀλέξ-
ανδρος δὲ τῇ τε γνώμῃ ἁμαρτάνειν ἔφη Παρμενίωνα καὶ
13 τοῦ σημείου τῇ οὐ κατὰ τὸ εἰκὸς ἐξηγήσει. Ὀλίγαις τε
γὰρ ναυσὶ πρὸς πολλῷ πλείους ξὺν οὐδενὶ λογισμῷ ναυ-
μαχήσειν, καὶ οὐ μεμελετηκότι τῷ σφῶν ναυτικῷ πρὸς
ἠσκημένον τὸ τῶν Κυπρίων τε καὶ Φοινίκων· τήν τε ἐμ-

---

11. *Καὶ γὰρ δή*] Ita cod. F. Edd. vett. cum rell. codd. Gronovii *καὶ δή*. Sed particula causalis ut necessaria hoc loco iam Schmiedero in suum locum est restituta. Eandem verborum coniunctionem vide VI, 24, 4 *ἐλθεῖν γὰρ δὴ καὶ Κῦρον ἐς τοὺς χώρους τούτους*.

ἐς τὰ ὅλα] Hanc scripturam probavit iam Gronovius, cum in eam conspirarent cod. F. cod. Aug. Vulc. et tres alii codd. Florr. In uno codice vidit Gr. *ἐς τὰ πολλά*. Edd. ante Gronovium etiam perversius *ἐς τὰ ἄλλα*. Cf. ad V, 6, 10. — Mox ed. Basil. *καὶ ὡς θαλασσοκρατεῖν*.

12. *τῇ οὐ κατὰ τὸ εἰκὸς ἐξηγήσει*] In edd. vett. et quattuor codd. Gron. legebatur *τῇ — ξυμβλήσει*, quod, si non melius, tamen altero non deterius est. Id vero apparet, alterutrum pro glossa habendum esse. Et cum verbum *ἐξηγεῖσθαι*, et substantiva *ἐξήγησις* et *ἐξηγητής* constanti fere usu frequententur de rerum divinarum interpretatione (vid. Ruhnk. ad Tim. p. 109 sqq. Sieb. ad Paus. VII, 25, 6), nolui mutare, quod Schmiederus cod. F. obsecutus receperat. Utrumque substantivum apud Arrianum non nisi hoc loco reperi. Verbo *συμβαλεῖν* usus est I, 20, 2 *καὶ τὸν ἀετὸν ταύτῃ συνέβαλλεν*. II, 3, 9 *τοὺς δὲ ξυμβαλόντας τὸ μαντεῖον — τοῦτον ἐκεῖνον γνῶναι ὄντα ὅντινα ὁ θεὸς αὐτοῖς ἔφραζεν* —. De usu verbi *ἐξηγεῖσθαι* plura diximus ad III, 3, 11.

13. *πρὸς ἠσκημένον*] Ed. Basil. *προησκημένον*. Infra §. 14 eadem minus apte *πρὸ τοῦ ναυτικοῦ*.

14. *τὴν ἐπαγγελίαν*] Inviti prope hanc scripturam intactam reliquimus, quamvis omnes codd. Gron. et cod. Aug. Vulc. eam tueantur cum edd. Venet. et Basil. Neminem enim novi veterum scriptorum, qui istud substantivum usurpaverit de nuntio allato.

πειρίαν τῶν Μακεδόνων καὶ τὴν τόλμαν ἐν ἀβεβαίῳ χω-
ρίῳ οὐκ ἐθέλειν παραδοῦναι τοῖς βαρβάροις· καὶ ἡττη- 14
θεῖσι τῇ ναυμαχίᾳ οὐ μικρὰν τὴν βλάβην ἔσεσθαι ἐς τοῦ
πολέμου τὴν πρώτην δόξαν τά τε ἄλλα καὶ τοὺς Ἕλλη-
νας νεωτεριεῖν πρὸς τοῦ ναυτικοῦ πταίσματος τὴν ἐπαγ-
γελίαν ἐπαρθέντας. Ταῦτα μὲν τῷ λογισμῷ ξυντιθεὶς 15
οὐκ ἐν καιρῷ ἀπέφαινε ναυμαχεῖν, τὸ θεῖον δὲ αὐτὸς ἄλλῃ
ἐξηγεῖσθαι· εἶναι μὲν γὰρ πρὸς αὐτοῦ τὸν ἀετὸν, ἀλλ'
ὅτι ἐπὶ γῆς καθήμενος ἐφαίνετο, δοκεῖν οἱ μᾶλλόν τι
σημαίνειν ὅτι ἐκ γῆς κρατήσει τοῦ Περσῶν ναυτικοῦ.

XIX. Καὶ ἐν τούτῳ Γλαύκιππος ἀνὴρ τῶν δοκίμων

Quae causa fuisse videtur, cur Vulcanius de suo dederit *ἀπαγγελίαν*. Sic recte legitur apud Demosth. de fals. leg. p. 313, Beck. *δός δέ μοι τὸ προβούλευμα ὃ πρὸς τὴν ἐμὴν ἀπαγγελίαν ἐψηφίσαθ' ἡ βουλή*, licet, monente Beckero, septem codices habeant *ἐπαγγελίαν*. Vide ad I, 19, 2 et Jacobs. ad Achill. Tat. p. 807.

15. *ἐπὶ γῆς καθήμενος*] Sic edd. vett. et unus codd. Florr. *ἐπὶ γῇ* rell. codd. Gronovii. Vulgatam nolui mutare. Cf. I, 18, 10 *καθήμενος ἐπὶ τοῦ αἰγιαλοῦ*. III, 7, 7 *ἐπὶ τοῦ Τίγρητος ποταμοῦ κάθηται.* I, 11, 13 *θῦσαι δὲ αὐτὸν ἐπὶ τοῦ βωμοῦ.* Xen. Anab. III, 2, 19 *ἡμεῖς δ' ἐπὶ τῆς γῆς βεβηκότες — ἰσχυρότερον παίσομεν.* Similiter confusae sunt formulae *ἐπὶ θαλάττης* et *ἐπὶ θαλάττῃ* apud Pausan. I, 1, 3. I, 31, 1. Qui dativum defendere velint, afferant VII, 14, 6 *ἐῤῥίφθαι ἐπὶ τῷ σώματι*, praesertim cum paulo ante dictum esset *ἐῤῥιμμένον ἐπὶ τοῦ σώματος.*

ὅτι ἐκ γῆς κρατήσει] Ex omnium fere codicum auctoritate hanc scripturam recepimus. *ἐκ τῆς γῆς* edd. vett. cum uno cod. Gronovii, quod aeque bene habet. Cf. I, 20, 2 *ὅτι ἐσήμηνεν αὐτῷ ἐκ τῆς γῆς κρατήσειν.* Alteri favent simillima talia. I, 19, 4 *παρὰ γῆν.* III, 4, 3 *ἐκ γῆς.* II, 1, 2 *ἐκ θαλάττης.* II, 1, 6 *ἀπὸ θαλάττης.* VII, 10, 4 *διὰ πάσης γῆς καὶ θαλάσσης.* Vide, si plura cupis, Siebel. ad Paus. I, 27, 9. Heind. ad Plat. Gorg. p. 265, ad Phaedon. p. 249. Krueg. ad Xen. Anab. VII, 1, 30 et V, 3, 2. Comparari possunt quoque similes dicendi formulae, ubi pariter articulum modo omissum modo additum videmus, ut *διὰ θυρῶν* et *διὰ τῶν θυρῶν*, de quo vide Passov. ad Parthen. p. 54, Jacobs. ad Ach. Tat. p. 565. Krueg. ad Xen. Anab. II, 5, 31. Sic dicitur *ἅμα τῇ ἡμέρᾳ* Xen. Anab. II, 1, 2. IV, 1, 5 etc., sed *ἅμα ἡμέρᾳ* Arr. III, 9, 3. VI, 6, 3 etc.

ἐν Μιλήτῳ, ἐκπεμφθεὶς παρὰ Ἀλέξανδρον παρὰ τοῦ δήμου τε καὶ τῶν ξένων τῶν μισθοφόρων, οἷς μᾶλλόν τι ἐπετέτραπτο ἡ πόλις, τά τε τείχη ἔφη ἐθέλειν τοὺς Μιλησίους καὶ τοὺς λιμένας παρέχειν κοινοὺς Ἀλεξάνδρῳ καὶ Πέρσαις· καὶ τὴν πολιορκίαν ἐπὶ τούτοις λύειν ἠξίου.
2 Ἀλέξανδρος δὲ Γλαυκίππῳ μὲν προστάσσει ἀπαλλάττεσθαι κατὰ τάχος ἐς τὴν πόλιν, καὶ Μιλησίοις ἐπαγγέλ-
3 λειν παρασκευάζεσθαι ὡς μαχουμένους ἔσωθεν. Αὐτὸς δ' ἐπιστήσας τῷ τείχει μηχανάς, καὶ τὰ μὲν καταβαλὼν δι' ὀλίγου τῶν τειχῶν, τὰ δὲ κατασείσας ἐπὶ πολὺ, προσῆγε τὴν στρατιὰν ὡς ἐπιβησομένους ᾗ κατερήριπτο ἢ ἐσεσάλευτο τὸ τεῖχος, ἐφομαρτούντων καὶ μόνον οὐ θεω-

---

C. XIX. ἐκπεμφθείς] Ed. Basil. ἐκπεμφείς, quod vitium non sustulit Vulcanius.

2. ἐπαγγέλλειν] Ita omnes codd. Gronovii. ἀπαγγέλλειν edd. ante Schmied. Sed ut supra ἀπαγγελία rectius videbatur, quam ἐπαγγελία, ita hoc loco ἀπαγγέλλειν sine dubio alteri formae ἐπαγγέλλειν posthabendum est. Aliud enim est ἀπαγγέλλειν, aliud ἐπαγγέλλειν. Cf. II, 4, 15 πείθεσθαι ὅσα ἐπαγγέλλοιτο. IV, 1, 7 ὅτι ἐς ἕνα ξύλλογον ἐπηγγέλκει Ἀλέξανδρος ξυνελθεῖν. Nimirum ἐπαγγέλλειν omnino est *denuntiare, imperare.* Contra ἀπαγγέλλειν simpliciter tantum est *nuntiare*, ut I, 5, 17. I, 7, 8. II, 16, 10. II, 25, 3. III, 2, 4. IV, 24, 16. VII, 13, 5.

ὡς μαχουμένους ἔσωθεν] In edd. Vulc. et Blanc. legitur ὡς μαχουμένους ἕωθεν, nisi quod in ed. Blanc. ex errore typographi expressum est μαχομένους. Veram scripturam agnoscunt codd. Gronovii cum edd. Venet. et Basil. Futurum illud in eadem verborum coniunctione vid. I, 13, 3 συνέταττεν ὡς μαχουμένους. III, 9, 11 — ὡς ἐν τῇδε τῇ μάχῃ — μαχουμένους, ubi sola ed. Basil. ὡς μαχομένους. IV, 25, 7 παρεσκευάσθαι ὡς μαχουμένους. Vid. ann. ad III, 9, 3, et Jacobs. ad Achill. Tat. p. 413. Futuri et praesentis participia confusa habes apud Xen. Hist. Gr. VII, 5, 10. Diodor. Sic. XVI, 77. Cf. Jacobs. ad Achill. Tat. p. 649. Cur autem Vulcanio in mentem venerit ἕωθεν scribere pro vulgato ἔσωθεν, ne coniectura quidem assequi licet.

3. δι' ὀλίγου] Ed. Basil. διολίγου. Vid. ad I, 12, 8. Mox pro μόνον οὐ edd. praeter Borheck. et Schmied. μονονού. Sed ipse Schmiederus, qui hoc loco voces disiunctas dedit, I, 21, 12 admisit μονονού. De tota huius enunciati conformatione cf. Diod. Sic.

μένων˙ τῶν Περσῶν ἀπὸ τῆς Μυκάλης πολιορκουμένους
τοὺς φίλους σφῶν καὶ ξυμμάχους. Ἐν τούτῳ δὲ καὶ οἱ 4
ἀμφὶ Νικάνορα ἀπὸ τῆς Λάδης τὴν ὁρμὴν τῶν ξὺν Ἀλεξ-
άνδρῳ κατιδόντες, ἐς τὸν λιμένα ἐπέπλεον τῶν Μιλη-
σίων παρὰ γῆν τὴν εἰρεσίαν ποιούμενοι, καὶ κατὰ τὸ
στόμα τοῦ λιμένος ᾗπερ τὸ στενώτατον ἦν, ἀντιπρώρους
βύζην τὰς τριήρεις ὁρμίσαντες ἀποκεκλείκεσαν τῷ μὲν
Περσικῷ ναυτικῷ τὸν λιμένα, τοῖς Μιλησίοις δὲ τὴν
ἐκ τῶν Περσῶν ὠφέλειαν. Ἔνθα οἱ Μιλήσιοί τε καὶ 5
οἱ μισθοφόροι, πανταχόθεν ἤδη προσκειμένων σφίσι τῶν
Μακεδόνων, οἱ μὲν αὐτῶν ῥιπτοῦντες σφᾶς ἐν τῇ θαλάσσῃ
ἐπὶ τῶν ἀσπίδων ὑπτίων ἐς νησῖδά τινα ἀνώνυμον τῇ πό-

XVI, 74 ὁμοίως δὲ καὶ διὰ κριῶν σαλεύων τὰ τείχη καὶ ὑπορύττων ἐπὶ πολύ, μέρος τοῦ τείχους κατέβαλεν, ubi cave ne cum Wesselingio omissa praepositione ἐπί transferas πολύ ad sequens μέρος. Si qua mutatione opus esset, scriberem ὑπορύττων ἐπὶ πολὺ μέρος — κατέβαλεν. Cf. Diod. XVI, 49 ἐπὶ πολὺ δὲ μέρος πεσόντων τῶν τειχῶν.

4. ᾗπερ τὸ στενώτατον ἦν] Non satis accurate Suidas affert haec verba s. v. βύζην˙ κατὰ τὸ στόμα τοῦ λιμένος, ᾗ στενότατον ἦν (sic), βύζην τὰς τριήρεις ὁρμίζοντες. Articulum ante στενώτατον omitti non potuisse ab Arriano in aperto ponent quae dicta sunt ad IV, 23, 6. De forma στενότατον vid. ann. ad I, 22, 4.

ἀποκεκλείκεσαν] Offendit fere hic plusquamperfectum, praesertim cum praecesserit imperfectum ἐπέπλεον. Unde coniicias Arrianum scripsisse ἀπέκλεισαν, (cf. ann. ad I, 27, 5. III, 20, 3. III, 30, 10) nisi forte praestat plusquamperfectum accipere loco aoristi positum. Cf. I, 27, 7 ἀνέζευξεν ἐς Πέργην κἀκεῖθεν ἐς Φρυγίαν ὥρμητο. Vide praeterea ann. ad IV, 27, 10.

5. ἐν τῇ θαλάσσῃ] In edd. vulgaribus post ultimam vocem comma positum erat, quod sustulimus, ut aptior fieret verborum nexus. Vide quae de similibus constructionibus diximus ad III, 2, 8.

ἐς νησῖδά τινα] Vulgo ἐς νησίδα τινά. At vide Spohn. de extr. Odyss. parte p. 169 sqq. Spitzneri prosod. p. 38, d, not., et de vers. Graecc. heroic. p. 49, not. Schaef. ad Plut. vitt. t. V, p. 265. Quae nuperrime Bernh. ad Dionys. Perieg. p. 649 de accentu huius nominis dixit, me non satis intellexisse libere confiteor. Cf. Passov. ad Jambl. fragmm. p. 78.

λει ἐπικειμένην διενήχοντο, οἱ δὲ ἐς κελήτια ἐμβαίνοντες καὶ ἐπειγόμενοι ὑποφθάσαι τὰς τριήρεις τῶν Μακεδόνων ἐγκατελήφθησαν ἐν τῷ στόματι τοῦ λιμένος πρὸς τῶν τριηρῶν, οἱ δὲ πολλοὶ ἐν αὐτῇ τῇ πόλει ἀπώλλυντο.
7 Ἀλέξανδρος δὲ, ἐχομένης ἤδη τῆς πόλεως, ἐπὶ τοὺς ἐς τὴν νῆσον καταπεφευγότας ἐπέπλει αὐτὸς, κλίμακας φέρειν ἐπὶ τὰς πρώρας τῶν τριηρῶν κελεύσας, ὡς κατὰ τὰ ἀπότομα τῆς νήσου καθάπερ πρὸς τεῖχος ἐκ τῶν νεῶν τὴν
8 ἀπόβασιν ποιησόμενος. Ὡς δὲ διακινδυνεύειν ἐθέλοντας τοὺς ἐν τῇ νήσῳ ἑώρα, οἶκτος λαμβάνει αὐτὸν τῶν ἀνδρῶν, ὅτι γενναῖοί τε καὶ πιστοὶ αὐτῷ ἐφαίνοντο· καὶ σπένδεται πρὸς αὐτοὺς ἐπὶ τῷδε ὡς αὐτῷ ξυστρατεύειν.

---

7. *κλίμακας φέρειν*] Edd. ante Gron. et quattuor codd. Florr. *καὶ βάκας φέρειν*, vitio aperto. Solus cod. F. verum servavit, quod cum Schmiedero dedimus; quamquam ante *κλίμακας* a mala manu insertum habet *καί*, ortum, ut recte coniecit Gronovius, ex diversa lectione. Sed digna est Gronovii annotatio, quae memoriae tradatur. »Praeterea, inquit, passim in Mss. reperitur forma literae talis $\overline{\mu}$, quae interdum pro $\overline{\beta}$, modo pro $\overline{\mu}$, nunc pro $\overline{\varkappa}$ accipienda est, unde non paucae in antiquorum libris maculae et aberrationes. Hinc libro II (? III, 23, 17. E) pro *Ἀνδρονίκου* in aliis iveni *Ἀνδρονίμου*, hinc c. 21 (imo I, 20, 15. E) *εὐδομήκοντα* pro *ἑβδομήκοντα*, hinc c. 24 (I, 23, 11) *ἐσκαλόντι* pro *ἐσβαλόντι*, quorum illud mihi obvenit in Msstis secundae notae omnibus. Hinc orta variatio in nomine *Ἀρσάμης*, *Ἀρσάκης*, *Ἀρσάβης*, hinc in Indicis (I, 8) *Βάσσακα* pro *Μάσσακα*, et initio libri III (1, 3) *Μαζάκης*, *Μαζάβης*.« Vide ann. ad III, 25, 10. III, 29, 9. IV, 7, 2. De literis $\overline{\mu}$ et $\overline{\beta}$ saepissime in codicibus confusis vide Bast. comm. palaeogr. p. 708, de $\overline{\alpha}$ et $\overline{\lambda}$ Schaef. Mell. critt. p. 94. ad Gregor. Cor. p. 428. Bast. l. l. p. 704.

τῶν τριηρῶν] Ita omnes edd. Unde non ausus sum sollicitare. Rationes dedi ad II, 19, 7. Eodem modo notatum est substantivum supra §. 6.

10. *τῶν ἐκβολῶν*] Edd. ante Schmiederum omnes et quattuor codd. Gronovii *τῶν εἰσβολῶν*. Schmiederus e cod. F. recte *ἐκβολῶν*. Cf. I, 3, 2 *ἔστε ἐπὶ τὰς ἐκβολάς*. I, 11, 5 *τοῦ Στρυμόνος — τὰς ἐκβολάς*. V, 6, 8 *ἐπὶ τῇ ἐκβολῇ τοῦ Αἰγύπτου ποταμοῦ*. VI, 18, 5 *ἔστε ἐπὶ τὴν ἐκβολήν*. VI, 19, 6 *τοῦ ποταμοῦ τὴν ἐκβολήν*. VII, 1, 1 *τὰς ἐκβολὰς τὰς εἰς τὸν πόντον*. Adde VI, 28, 9. VII,

Ἦσαν δὲ οὗτοι μισθοφόροι Ἕλληνες ἐς τριακοσίους· αὐ- 9
τοὺς δὲ Μιλησίους ὅσοι μὴ ἐν τῇ καταλήψει τῆς πόλεως
ἔπεσον, ἀφῆκε καὶ ἐλευθέρους εἶναι ἔδωκεν. Οἱ δὲ βάρ- 10
βαροι ἀπὸ τῆς Μυκάλης ὁρμώμενοι ταῖς μὲν ἡμέραις
ἐπέπλεον τῷ Ἑλληνικῷ ναυτικῷ, προκαλέσασθαι ἐς ναυ-
μαχίαν ἐλπίζοντες, τὰς δὲ νύκτας πρὸς τῇ Μυκάλῃ οὐκ
ἐν καλῷ ὡρμίζοντο ὅτι ὑδρεύεσθαι ἀπὸ τοῦ Μαιάνδρου
ποταμοῦ τῶν ἐκβολῶν διὰ μακροῦ ἠναγκάζοντο. Ἀλέξ- 11
ανδρος δὲ ταῖς μὲν ναυσὶ τὸν λιμένα ἐφύλαττε τῶν Μι-
λησίων, ὡς μὴ βιάσαιντο οἱ βάρβαροι τὸν ἔσπλουν· ἐκ-
πέμπει δ' ἐς τὴν Μυκάλην Φιλώταν ἄγοντα τούς τε ἱπ-
πέας καὶ τῶν πεζῶν τάξεις τρεῖς, παραγγείλας εἴργειν

7, 3. VII, 20, 6. VII, 21, 7, 8. Cf. Oudend. ad Thom. Mag. p. 279. De confusione vocum εἰσβολή, ἐμβολή et ἐκβολή vide Locell. ad Xen. Eph. p. 249. Praeposs. εἰς et ἐκ in codd. saepe commutari docuit Bast. ad Greg. Cor. p. 244 sqq. et comm. palaeogr. p. 720 sqq. Cf. Sieb. ad Paus. I, 32, 6. Bernh. ad Dionys. Perieg. p. 924.

11. *εἴργειν τῆς ἀποβάσεως τοὺς ἀπὸ τῶν νεῶν*] Sic plenius cod. F. cum tribus aliis codd. Florr. et cod. Aug. Vulc. Edd. ante Schmiederum et unus cod. Gron. *εἴργειν τ. ἀ. αὐτούς*, omissis tribus ultimis vocibus. Utraque lectio cum habeat quo sese tueatur, dubium esse possit, utra sit praeferenda. Verba *τοὺς ἀπὸ τῶν νεῶν* a glossatoris manu profecta esse possunt, qui, cum haud satis apertum esset, quinam essent illi *αὐτούς*, margini adscripsit *τοὺς ἀπὸ τῶν νεῶν*, scilicet, *qui in navibus erant Persae.* At nititur illa dicendi formula tam multis non solum Arriani, sed etiam aliorum scriptorum similibus locutionibus, ut satis Graeca et Arriano haud indigna habenda sit. Cf. I, 13, 2 *οἱ ἀπὸ τῶν σκοπῶν σπουδῇ ἐλαύνοντες ἀπήγγελλον.* III, 5, 10 *καὶ μηδένα τῶν ἀπὸ βουλῆς ἐπὶ τῷδε ἐκπέμπειν.* II, 11, 1 *αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τάξεις.* VI, 20, 4 *ἰχθύες ἤδη — τῶν ἀπὸ θαλάσσης ἐφαίνοντο.* Xen. Cyrop. VII, 5, 23. *φεύγειν τοὺς ἀπὸ τῶν οἰκιῶν.* Paus. I, 28, 9 *οὐκ ἐπιστάμενον οὐδὲ τοῦτον τοὺς ἀπὸ τῶν νεῶν ὡς εἰσὶν Ἀργεῖοι.* Himer. Or. XXIII, p. 778 *τὸν ἀφ' ἑστίας οὐκ ἐτηρήσατε*, ubi vide Wernsd. ann. Locus a Gronovio citatus II, 22, 5 *οἱ δὲ ἀπὸ τοῦ τείχους τόν τε ἐπίπλουν τῶν πολεμίων κατιδόντες*, etiam aliam admittit explicandi rationem. Nec sane multis probatum iri puto Gronovii coniecturam *τῆς ἀποβάσεως τῆς ἀπὸ τῶν νεῶν.* Vetant enim similia

12 τῆς ἀποβάσεως τοὺς ἀπὸ τῶν νεῶν. Οἱ δὲ ὕδατός τε σπάνει καὶ τῶν ἄλλων ἐπιτηδείων οὐδὲν ἄλλο ὅτι μὴ πολιορκούμενοι ἐν ταῖς ναυσὶν ἐς Σάμον ἀπέπλευσαν· ἐκεῖ-
13 θεν δὲ ἐπισιτισάμενοι αὖθις ἐπέπλεον τῇ Μιλήτῳ. Καὶ τὰς μὲν πολλὰς τῶν νεῶν πρὸ τοῦ λιμένος ἐν μετεώρῳ παρέταξαν, εἴ πη ἐκκαλέσαιντο ἐς τὸ πέλαγος τοὺς Μακε-
14 δόνας· πέντε δὲ αὐτῶν εἰσέπλευσαν εἰς τὸν μεταξὺ τῆς τε ἄλλης νήσου καὶ τοῦ στρατοπέδου λιμένα, ἐλπίσαντες κενὰς καταλήψεσθαι τὰς Ἀλεξάνδρου ναῦς, ὅτι τοὺς ναύτας ἀποσκεδάννυσθαι τὸ πολὺ ἀπὸ τῶν νεῶν τοὺς μὲν

---

haecce III, 18, 3 ὡς εἴργειν τῆς παρόδου Ἀλέξανδρον. VI, 8, 5 ὡς εἴρξοντες τοῦ πόρου Ἀλέξανδρον. Formula vero οἱ ἀπὸ τῶν νεῶν quasi per attractionem posita est propter praegressum τῆς ἀποβάσεως. Nam quomodo aliter dici possit, ex ipso Arriano cognoscitur, ut qui scripserit II, 20, 12 οἱ δὲ ἐν ταῖς ναυσὶν οὐ χαλεπῶς ἀπενήξαντο. Vide tamen Herm. ad Vig. p. 893 et ad Soph. Electr. v. 135. Idem fere attractionis genus conspicitur in formula οἱ ἐκ τῆς πόλεως I, 5, 7. I, 7, 1. I, 20, 11. IV, 1, 1. IV, 15, 1. IV, 24, 8. VII, 15, 5. Adde I, 2, 8 ἐκ τῆς ἄνωθεν Μακεδονίας. III, 30, 12 ἀναπληρώσας τὸ ἱππικὸν ἐκ τῶν αὐτόθεν ἵππων. Vulgarem scripturam si omnes codices tuerentur, non adeo improbarem. Licet enim αὐτούς paulo obscurius dictum sit de Persis, tamen haud raro sic loquuntur ut Graeci, ita Romani scriptores. Cf. Arr. II, 4, 7, 8. ad VI, 1, 3. Caesar. b. Gall. III, 29. Liv. XXI, 27.

13. εἴ πη ἐκκαλέσαιντο] Codd. Gron. et cod. Aug. Vulc. ὅπη edd. vett. Recte conferri iussit Gronovius II, 21, 3 εἴ πη ἄλλῃ αἱ μηχαναὶ προσήγοντο. IV, 17, 5 καὶ εἴ πη — ξυλλαβεῖν. V, 10, 1 εἴ πη λάθοι ὑφαρπάσας.

14. τῆς τε ἄλλης νήσου] Palmer. Exercc. p. 237 coniecit τῆς τε Λάδης νήσου. Et in eandem coniecturam incidit nuperrime Schaeferus ad Plut. vitt. t. VI, p. 504. Nec multum abest quin mihi ea probetur. At vide Arr. I, 19, 5 et ann. ad III, 30, 15.

τὸ πολὺ ἀπὸ τῶν νεῶν] Sic codd. quattuor Gronovii inter eosque cod. F. In edd. vett. legebatur ἐπὶ πολύ, quod ex parte tuetur unus codd. Florr. praebens ἐπὶ τὸ πολύ. Neutrum cum omnino condemnandum sit, videamus cur τὸ πολύ nobis praeplacuerit. Primum quidem quod Gronovius contendit, ἐπὶ πολύ iam propterea minus probum esse, quod Arriano sit *in longum tempus*

ἐπὶ φρυγανισμῷ, τοὺς δὲ ἐπὶ ξυγκομιδῇ τῶν ἐπιτηδείων, τοὺς δὲ καὶ εἰς προνομὰς ταττομένους, πεπυσμένοι ἦσαν.
Ἀλλὰ μέρος μέν τι ἀπῆν τῶν ναυτῶν· ἐκ δὲ τῶν παρόν- 15
των ξυμπληρώσας Ἀλέξανδρος δέκα ναῦς ὡς προσπλεού-
σας τὰς πέντε τῶν Περσῶν κατεῖδε, πέμπει ἐπ' αὐτὰς
κατὰ σπουδὴν ἐμβάλλειν ἀντιπρώρους κελεύσας. Οἱ δὲ 16
ἐν ταῖς πέντε ναυσὶ τῶν Περσῶν ὡς παρ' ἐλπίδα ἀναγο-
μένους τοὺς Μακεδόνας ἐπὶ σφᾶς εἶδον, ὑποστρέψαντες
ἐκ πολλοῦ ἔφευγον πρὸς τὸ ἄλλο ναυτικόν. Καὶ ἡ μὲν 17
Ἰασσέων ναῦς ἁλίσκεται αὐτοῖς ἀνδράσιν ἐν τῇ φυγῇ οὐ

---

id ex parte tantum verum est. Nam ut *temporis* notionem continet illa formula in his I, 23, 1 *ἐπὶ πολὺ ἀντέχειν τῇ πολιορκίᾳ*. V, 1, 5 *πεσόντας ἐς γῆν ἐπὶ πολὺ σιγὴν ἔχειν*. V, 10, 6 *ὡς δὲ ἐπὶ πολὺ τοῦτο ἐγένετο*. V, 13, 5 *ὄμβρος ἐπὶ πολὺ τῆς νυκτὸς κατασχών*: ita sine ullo dubio de *loco*, de *loci spatio* dicitur I, 19, 3 *τὰ δὲ κατασείσας ἐπὶ πολύ*. II, 18, 10 *προκεχωρήκει ἐπὶ πολὺ τῆς θαλάσσης*. IV, 26, 10 *ἀνέστελλον ἐπὶ πολὺ τοὺς Ἰνδούς*. VI, 5, 4 *οὐκ ἐπὶ πολὺ ἔξω ἔχουσαι τοῦ ὕδατος*. VII, 20, 15 *ἄκραν τε ἀνέχειν ἐπὶ πολὺ τῆς μεγάλης θαλάσσης*. Et VI, 3, 5 *ἐπὶ πολὺ ἐφωμάρτουν*, esse potest *per longum tempus sequebantur*, et, ut vulgo vertunt, *per longum spatium*. Neque aliter locutus est Xenophon, ut Anab. I, 8, 8. VII, 5, 12. Unde si *ἐπὶ πολύ* mordicus teneat aliquis, quid impediat, quominus locum sic interpretemur: *quod barbari nautas compererant procul a navibus dispergi solitos esse* (non, ut Vulcanius, *dispersos esse*; hoc enim foret *ἀπεσκεδάσθαι* s. *ἀπεσκεδασμένους εἶναι*). At vero Persarum non tam intererat, remiges *procul* a navibus abesse, quam *plerumque* eos naves relinquere, id quod significat *τὸ πολύ*, ut III, 18, 9 *καὶ ταύτην δρόμῳ τὸ πολὺ ἦγε*. VI, 25, 6 *οἷα δὴ νυκτὸς τὸ πολὺ τὰς πορείας ποιούμενοι*. VI, 25, 13 *Ἀλέξανδρος τὰς στρατοπεδείας — τὸ πολὺ ἐποιεῖτο*. VII, 7, 9 *οὐ γὰρ ὕεται τὸ πολὺ ἡ γῆ αὕτη ἐξ οὐρανοῦ*. Atque eo magis verisimile est, hoc dicere voluisse Arrianum, quod inde explicantur quae paulo supra narrata sunt, barbaros sperasse fore ut naves *κενάς* comprehenderent. Formula *ἐπὶ τὸ πολύ*, quam unus codex habet, Arrianus in simili verborum compositione usus est VII, 20, 14 *καίτοι ἐπὶ τὸ πολὺ παραπλεύσας τὴν Ἀράβων γῆν*.

16. *τὸ ἄλλο ναυτικόν*] Edd. ante Schmiederum omnes *τὸ ἄλλον ναυτικόν*. Cf. I, 27, 9. Supra ed. Basil. *παρελπίδα*.

8 γον. Ἐπὶ τούτοις μὲν δὴ ἡ ξύμβασις τοῖς Μιτυληναίοις πρὸς τοὺς Πέρσας ξυνέβη. Φαρνάβαζος δὲ καὶ Αὐτοφραδάτης, ὡς παρῆλθον ἅπαξ εἴσω τῆς πόλεως, φρουράν τε ἐς αὐτὴν εἰσήγαγον, καὶ φρούραρχον ἐπ᾽ αὐτῇ Λυκομήδην Ῥόδιον καὶ τύραννον ἐγκατέστησαν τῇ πόλει Διογένην ἕνα τῶν φυγάδων, χρήματά τε εἰσέπραξαν τοὺς Μιτυληναίους, τὰ μὲν βίᾳ ἀφελόμενοι τοὺς ἔχοντας, τὰ δὲ ἐς τὸ κοινὸν ἐπιβαλόντες.

---

sexcentis devotis (—) *cum his Adcantuannus.* Vid. Ramsh. Gr. Lat. p. 702 sqq. — Paulo supra edd. vett. et quattuor codd. Gronov. *Δαρεῖον ὅτι.* Solus cod. F. *Δαρεῖόν τι.*

7. *πρὸς βασιλέα [Δαρεῖον]* »Nihil certius est, quam pacem istam cum Artaxerxe factam esse (vid. Xen. Hist. Gr. V, 1, 31. E), non cum Dario Ocho vel adeo Codomanno. Unde si hoc tantum loco nomen Darii adiectum esset, pro glossemate id haberem. At cum etiam II, 2, 4 repetitum sit *ἣν ἐπὶ Ἀνταλκίδου Δαρείῳ συνέθεντο*, error potius Arriani esse videtur. Nomen tamen Darii utroque loco uncis includendum curavi.« *Schmied.* Nobis non dubitandum videtur quin nomen proprium ab inscito quodam glossatore intrusum sit. Idem nomen male illatum vide III, 11, 9. Cf. quae de glossarum vestigiis apud Arrianum diximus in praefatione.

ἐπὶ τοῖς ἡμίσεσι] Quod Vulcanius in his verbis sibi visus est videre: *ut exulum dimidia pars revertatur*, id iam correxit Gronovius, et post eum paulo accuratius Raphelius ita interpretatus est: *ut exules ipsorum redirent, ea conditione ut ipsis dimidia pars bonorum restitueretur, quae tunc erant, cum fugerent.*

8. *ὡς παρῆλθον ἅπαξ*] Eadem fere verborum structura dixit II, 27, 9 *ὡς δὲ ἅπαξ παρῆλθόν τινες ἐντὸς τοῦ τείχους.* Cf. Suid. s. v.

II. *Ταῦτα δὲ διαπραξάμενοι Φαρνάβαζος μὲν ἔπλει ἐπὶ Λυκίας, ἄγων τοὺς ξένους τοὺς μισθοφόρους, Αὐτοφραδάτης δὲ ἐπὶ τὰς ἄλλας νήσους. Καὶ ἐν τούτῳ κα-* 2
ταπέμπει Δαρεῖος Θυμώνδαν τὸν Μέντορος, αὐτὸν μὲν τοὺς ξένους παρὰ Φαρναβάζου παραληψόμενον καὶ ἀνάξοντα, παρὰ βασιλέως Φαρναβάζῳ δὲ ἐροῦντα ἄρχειν ὅσων Μέμνων ἦρχε· καὶ παραδοὺς τούτῳ τοὺς ξένους Φαρνάβαζος ἔπλει παρ' Αὐτοφραδάτην ἐπὶ τὰς ναῦς. Ὡς 3
δὲ ὁμοῦ ἐγένοντο, δέκα μὲν ναῦς στέλλουσιν ἐπὶ τὰς Κυκλάδας νήσους Δατάμην ἄνδρα Πέρσην ἄγοντα, αὐτοὶ δὲ ναυσὶν ἑκατὸν ἐπὶ Τενέδου ἔπλευσαν. Κατακομισθέν- 4
τες δὲ τῆς Τενέδου εἰς τὸν Βόρειον καλούμενον λιμένα, πέμπουσι παρὰ τοὺς Τενεδίους καὶ κελεύουσι τὰς στήλας τὰς πρὸς Ἀλέξανδρον καὶ τοὺς Ἕλληνας γενομένας σφίσι, ταύτας μὲν καθελεῖν, πρὸς Δαρεῖον δὲ ἄγειν τὴν εἰρήνην ἣν ἐπὶ Ἀνταλκίδου [Δαρείῳ] συνέθεντο. Τενε- 5
δίοις δὲ τὰ μὲν τῆς εὐνοίας ἐς Ἀλεξανδρόν τε καὶ τοὺς

ἅπαξ· ἐπειδὴ ἅπαξ ἐκ τοῦ φρουρίου αὐτοὺς ἐκπεπτωκέναι ἔμαθεν, ἀφικνεῖται πρὸς αὐτούς.

τοὺς ἔχοντας] Ita absolute vocantur divites, quasi *οἱ ἔχοντες τὰ χρήματα*, quomodo locutus est Paus. III, 8, 2, ubi vide Siebelisium. Exempla illius locutionis adscribere post egregias curas Valckenarii ad Phoenn. v. 408, ad Herod. VII, 22, Schaeferi ad Bos. Ell. p. 538 et Astii ad Plat. Legg. V, p. 172, vanus esset labor. — Mox pro *ἐπιβαλόντες* ed. Basil. *ἐπιβαλλόντες* (sic).

C. II. 2. *παρὰ Φαρναβάζου — ἐροῦντα*] »Ita sine perfecto sensu haec haerebant in lacuna, quam explevi ex illis, quae vulgaveram in Supplementis.« *Gronov.* Haec Gronovii verba referenda sunt ad ea quae scripsit in libro admodum raro, quem edidit Lugduni Batavorum ann. 1675, ita inscriptum: *Supplementa lacunarum in Aenea Tactico, Dione Cassio et Arriano de expeditione Alexandri*, p. 165 sqq. Nimirum in edd. Bas. Vulcan. et Blanc. omissa fuere verba *παραληψόμενον καὶ ἀνάξοντα, παρὰ βασιλέως Φαρναβάζῳ δέ.* Similem lacunarum originem vide II, 11, 8. III, 16, 1.

3. *δέκα μὲν ναῦς ἄγοντα*] De hac perversa verborum coniunctione vide quae diximus ad I, 14, 9.

4. *ἣν ἐπὶ Ἀνταλκίδου [Δαρείῳ] συνέθεντο*] Nomen Darii uncis

Ἕλληνας ἐποίει μᾶλλον· ἐν δὲ τῷ παρόντι ἄπορον ἄλλως ἐδόκει ὅτι μὴ προσχωρήσαντας τοῖς Πέρσαις σώζεσθαι, ἐπεὶ οὐδὲ Ἡγελόχῳ ὅτῳ προσετέτακτο ὑπ' Ἀλεξάνδρου αὖθις ξυναγαγεῖν δύναμιν ναυτικὴν, τοσαύτη ξυνηγμένη ἦν ὥς δι' ὀλίγου προσδοκᾶν ἔσεσθαι ἄν σφισι παρ' αὐ-
6 τοῦ τινα ὠφέλειαν. Οὕτω μὲν δὴ οἱ ἀμφὶ Φαρνάβαζον τοὺς Τενεδίους φόβῳ μᾶλλον ἢ ἐθέλοντας παρεστήσαντο.
7 Ἐν δὲ τούτῳ Πρωτέας ὁ Ἀνδρονίκου ἐτύγχανε μὲν ξυναγαγὼν ἐξ Εὐβοίας τε καὶ Πελοποννήσου ναῦς μακρὰς,

---

inclusimus, ut a glossatoris manu profectum. Ne quis dativum in hac formula necessarium putet, videat IV, 1, 2 κατὰ πρεσβείαν φιλίαν ξυνθησομένους. Xen. de rep. Ath. II, 17 ἅττα δ' ἄν ὁ δῆμος συνθῆται.

5. τὰ μὲν τῆς εὐνοίας — ἐποίει μᾶλλον] Ut in pluribus aliis, ita in his imitatus videtur Arrianus Thucydidem, qui dixit II, 8 ἡ δὲ εὔνοια παρὰ πολὺ ἐποίει τῶν ἀνθρώπων μᾶλλον ἐς τοὺς Λακεδαιμονίους. Vide Goell. ad h. l. Cf. Luc. diall. deorr. c. 6 καὶ τὸ αἰσχρὸν ἐπ' ἐμὲ ποιήσει, et Schaef. ad Plut. vitt. t. VI, p. 504.

προσετέτακτο ὑπ' Ἀλεξάνδρου] Mutare nolui quod Schmiederus dedit e cod. F. Vulgatae παρὰ Ἀλεξάνδρου favent duo codd. Gronovii. In duobus rell. codd. praepositio omnino non comparet. Vide ann. ad V, 12, 7. V, 14, 8. VI, 29, 15. Cf. Xen. Memorr. I, 3, 4 παρὰ τὰ ὑπὸ τοῦ θεοῦ σημαινόμενα, ubi vulgata fuit παρὰ τοῦ θεοῦ.

ὡς — προσδοκᾶν ἔσεσθαι ἄν] Dubius haerere possis, num particula ἄν ad praesentis infinitivum, an futuri sit referenda, praesertim cum haud raro apud Arrianum illa particula suam sibi propriam sedem non obtineat, ut VI, 6, 4 οἱ δὲ οὔποτ' ἄν οἰηθέντες διὰ τῆς ἀνύδρου ἐλθεῖν. VII, 4, 5 ὅτι καὶ τὰ μεγάλα ἄν ἐδόκουν — ἐξεργάσασθαι. Mihi quidem ἔσεσθαι ἄν cohaerere videntur. Cf. Schaef. ad Greg. Cor. p. 66; appar. crit. ad Demosth. t. I, p. 604. At vix puto multos apud Atticos scriptores inventum iri locos, ubi ἄν indicativo futuri appositum sit. V. Schaef. ad Dem. t. IV, p. 243. Scriptoribus senescentis Graecitatis hoc ipsum non displicuit. Cf. Xen. Ephes. p. 66, 11 οὐδ' ἄν εἰς φῶς ἐλεύσομαι. Himer. Orat. VII, p. 538 οὕτω γὰρ ἄν αἴσθησιν ἡ πόλις λήψεται. Adde Jacobs. ad Ach. Tat. p. 780.

6. φόβῳ μᾶλλον ἢ ἐθέλοντας] Ed. Bas. et Vulc. ἐθελοντάς. Utrumque habet quo defendatur. Vid. ann. ad VI, 8, 3. — Mox ed. Bas. ἐξ Ἀγρίας pro Εὐβοίας.

ὑπὸ Ἀντιπάτρου τεταγμένος, ὡς εἶναί τινα ταῖς τε νήσοις φυλακὴν καὶ αὐτῇ τῇ Ἑλλάδι, εἰ, καθάπερ ἐξηγγέλλετο, ἐπιπλέοιεν οἱ βάρβαροι· πυθόμενος δὲ Δατάμην περὶ Σίφνον ὁρμεῖν δέκα ναυσὶν, αὐτὸς ἔχων πεντεκαίδεκα νυκτὸς ἀνάγεται ἐπὶ Χαλκίδος τῆς ἐπὶ τῷ Εὐρίπῳ. Καὶ 8
προσχὼν ἕωθεν Κύθνῳ τῇ νήσῳ τὴν μὲν ἡμέραν αὐτοῦ αὐλίζεται, ὡς σαφέστερόν τε διαπυθέσθαι τὰ περὶ τῶν δέκα νεῶν καὶ ἅμα ἐν νυκτὶ φοβερώτερον προσπεσεῖν τοῖς Φοίνιξιν. Ὡς δὲ ἔμαθε σαφῶς τὸν Δατάμην ξὺν 9

---

7. ἐτύγχανε μὲν — οἱ βάρβαροι] Inepte has voces Schmiederus in parenthesi posuit. Verba enim ἐτύγχανε μέν respondent iis, quae infra sequuntur πυθόμενος δὲ — ἀνάγεται, constructione Arriano familiari et adamata, de qua vide ad I, 22, 9. Imperfectum cum praesenti coniunctum in narratione vide I, 23, 10. IV, 5, 4. VI, 9, 1. Cf. ann. ad IV, 16, 7. VII, 24, 7.

πυθόμενος δὲ — περὶ Σίφνον ὁρμεῖν] »Mss. duo ὁρμᾷ. Videntur propius accedere ad scripturam codicis Optimi παρὰ Σίφνον ὁρμεῖν. Et videtur vulgatum ὁρμοῦντα ex inferiore versu huc quoque transductum.« *Gronov.* Edd. vett. cum duobb. codd. Gronovii ὁρμοῦντα. Quidni igitur ὁρμᾷ a librariis pro ὁρμοῦντα per compendium scriptum existimare liceat? Cum autem saepe discrimen fere nullum videatur esse inter participium et infinitivum post verba sentiendi, sive vulgatam seu codicis F. scripturam adhibeas, idem erit. Cf. III, 25, 8 ἐπειδὰν προκεχωρηκότα πύθηται. II, 4, 7 ὡς δὲ ὑπερβεβληκότα ἤδη ἐπύθετο Ἀλέξανδρον. II, 6, 8 ὅπου ἂν πύθηται Δαρεῖον ὄντα. IV, 17, 1 ὡς ἐπύθοντο — ἐπελαύνοντα. IV, 20, 3 ὡς ζώσας ἐπύθετο. Sed III, 19, 1 ἐκεῖ γὰρ ἐπυνθάνετο Δαρεῖον εἶναι. III, 29, 10 ἵνα Βῆσσον εἶναι ἐπυνθάνετο. V, 18, 12 ὅτι φίλον εἶναι ἔμαθε. — Deinde Schmiederus dedit παρὰ Σίφνον e cod. F., quantum e Gronovii annotatione colligi potest. Sed factum etiam potest esse, ut Gronovius inter scribendum erraverit. Nobis certe vulgatam sollicitare nulla fuit satis idonea causa. Conferas I, 9, 2 τὰ μὲν γὰρ περὶ Σικελίαν ξυνενεχθέντα. I, 25, 1 ἔτι δὲ αὐτῷ περὶ τὴν Φασηλίδα ὄντι ἐξαγγέλλεται.

8. φοβερώτερον προσπεσεῖν τοῖς Φοίνιξιν] Nisi praecederet σαφέστερον, suspicari quis posset Arrianum scripsisse φοβερωτέροις, plane ut III, 10, 2 ἀπροσδοκήτοις τε γὰρ καὶ ἀνατεταραγμένοις καὶ ἅμα ἐν νυκτὶ φοβερωτέροις ἐπιθήσεσθαι. Et sic saepe cum vi passiva, ut III, 14, 3. V, 23, 6. V, 24, 10. At vero etiam activam

ταῖς ναυσὶν ἐν Σίφνῳ ὁρμοῦντα, ἐπιπλεύσας ἔτι νυκτὸς ὑπ᾽ αὐτὴν τὴν ἕω καὶ ἀπροσδοκήτοις ἐπιπεσὼν ὀκτὼ μὲν ναῦς αὐτοῖς ἀνδράσιν ἔλαβε· Δατάμης δὲ μετὰ δυοῖν τριηροῖν ἐν τῇ πρώτῃ προσμίξει τῶν ἅμα Πρωτέᾳ νεῶν ὑπεκφυγὼν ἀπεσώθη πρὸς τὸ ἄλλο ναυτικόν.

III. Ἀλέξανδρος δὲ ὡς ἐς Γόρδιον παρῆλθε, πόθος λαμβάνει αὐτὸν ἀνελθόντα ἐς τὴν ἄκραν, ἵνα καὶ τὰ βασίλεια ἦν τοῦ Γορδίου καὶ τοῦ παιδὸς αὐτοῦ Μίδου, τὴν

---

habet hoc adiectivum significationem. Cf. V, 27, 15 οἷς τὰ τοῦ πολέμου οὐ φοβερά. Adde I, 9, 5. I, 22, 7. III, 9, 12.

10. ὑπ᾽ αὐτὴν τὴν ἕω] Ita edd. vett. et quattuor codd. Gronovii. Schmiederus e cod. F. ἐπ᾽ αὐτὴν τ. ἕω. Favere videtur huic scripturae unus locus III, 18, 11 ὥστε ἔλαθεν ἐπὶ τὴν ἕω ἐπιπεσών. Sed ibi sine dubio scribendum est ὑπὸ τὴν ἕω. Error enim ab editore Basileensi propagatus a nemine correctus est. Cf. IV, 6, 6, ubi iam Vulcanius pro ἐπὶ τὴν ἕω scriptura editionis Basileensis recte dedit ὑπὸ τὴν ἕω. Sic etiam Hist. Ind. XLI, 2 e cod. F. et duobb. all. codd. Schmiederus dedit ὑπὸ τὴν ἕω, cum vulgo legeretur ἐπὶ τὴν ἕω. Vulgatam scripturam tuentur praeterea hi fere loci: I, 4, 2. I, 6, 20. II, 8, 3. III, 21, 14. IV, 6, 6. IV, 19, 4. IV, 23, 6. IV, 29, 13. V, 4, 6. V. 12, 7. VI, 3, 1. Hist. Ind. XXXIII, 9. Quibuscum confer II, 22, 2 ὑπ᾽ αὐτὴν τὴν βοήν. Praepositiones ἐπί et ὑπό saepe confusas esse docent Schaef. Mell. critt. p. 83. Sieb. ad Paus. I, 23, 3. Fritzsch. Qu. Lucc. p. 136. Ac notandum est, praepositionem ἐπί in eiusmodi tantum locis apud Arrianum legi, ubi facile a verbo sive praegresso, sive sequente, cui eadem adhaerebat praepositio, poterat repeti; de cuius corruptelae genere vide Fritzsch. Qu. Lucc. p. 13 sqq. Adde ann. critt. ad IV, 3, 5. VI, 5, 3. VII, 23, 11. — Post ἔτι νυκτός vulgo insertum legebatur οὔσης, non inepte quidem; sed ab Arriani more loquendi alienum est illud participium genitivo temporis additum. Cf. I, 20, 14. VII, 15, 2 etc. Appositum est quod Gronovius protulit e Polyb. III, c. 101 ἔτι νυκτὸς ἀποστείλας. Ceterum animadverte duo participia sine copula composita, ἐπιπλεύσας — ἐπιπεσών, de quo scribendi genere plura vide ad VI, 22, 8. Totius enunciati hic est sensus: *Cum autem certior factus esset, Datamen ad Siphnum in statione esse cum navibus suis, nocte iam navibus appropinquavit et sub ipsam auroram hostes nihil tale exspectantes adortus octo naves cepit.*

C. III. πόθος — λαμβάνει αὐτόν] Pertinet haec dicendi for-

ἅμαξαν ἰδεῖν τοῦ Γορδίου καὶ τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν. Λόγος δὲ περὶ τῆς ἁμάξης ἐκείνης παρὰ τοῖς 2
προσχώροις πολὺς κατεῖχε, Γόρδιον εἶναι τῶν πάλαι Φρυγῶν ἄνδρα πένητα καὶ ὀλίγην εἶναι αὐτῷ γῆν ἐργάζεσθαι καὶ ζεύγη βοῶν δύο· καὶ τῷ μὲν ἀροτοιᾶν, τῷ δὲ ἁμαξεύειν τὸν Γόρδιον. Καί ποτε ἀροῦντος αὐτοῦ ἐπιπτῆ- 3
ναι ἐπὶ τὸν ζυγὸν ἀετὸν καὶ ἐπιμεῖναι ἔστε ἐπὶ βουλυτὸν καθήμενον· τὸν δὲ ἐκπλαγέντα τῇ ὄψει ἰέναι κοινώσοντα

mula ad ea, quae Arriano adamata saepe in eius opere repetuntur. Ut ex ingenti numero pauca tantum afferam exempla, vide I, 3, 6 *καὶ ἅμα πόθος ἔλαβεν αὐτόν.* III, 1, 8 *πόθος οὖν λαμβάνει αὐτὸν τοῦ ἔργου.* IV, 28, 7 *Ἀλέξανδρον πόθος λαμβάνει ἐξελεῖν.* V, 2, 7 *Ἀλέξανδρον δὲ πόθος ἔλαβεν ἰδεῖν.* Paulo aliter dixit VII, 1, 1 *πόθος καταλαμβάνει αὐτόν.* VII, 16, 2 *πόθος εἶχεν αὐτόν.* Vide de substantivorum *πόθος, ἔρως, ἵμερος* et simill. significatione et usu Herm. ad Soph. Oed. Col. v. 368. Siebel. ad Paus. I, 43, 6. cf. Xenoph. Hist. Graec. V, 3, 19 *ἔρως αὐτὸν τότ' ἔσχε τῶν τε σκιερῶν σκηνημάτων.*

2. *λόγος δὲ — πολὺς κατεῖχε*] Fere ut Sophocl. Oed. Col. v. 378 *ὡς καθ' ἡμᾶς ἔσθ' ὁ πληθύων λόγος.* Et v. 1565 *λόγος αἰὲν ἀνέχει,* ubi vide Reisig. Similiter saepe locutum videmus Arrianum. I, 11, 10 *ὁ πλείων λόγος κατέχει.* III, 3, 10 *ὁ πλείων λόγος ταύτῃ κατέχει.* VI, 11, 6 *ὁ πᾶς λόγος κατέχει.* Hist. Ind. V, 8 *Διονύσου πέρι πολλὸς λόγος κατέχει.* Cf. II, 12, 10 *λόγος ἔχει* et ann. ad IV, 13, 4.

3. *ἐπιπτῆναι ἐπὶ τὸν ζυγόν*] Sic scripsimus ex certissima emendatione cl. Lobeckii ad Phryn. p. 255 pro vulgata *ἐπιστῆναι,* quam nuperrime Bernhard. Wiss. Synt. p. 251 sustentare conatus est. Frustra. Erroris ansam dedit quod legitur IV, 13, 10 *ἀλλ' εἶναι γὰρ τῇ Σύρᾳ πρόσοδον πρὸς τὸν βασιλέα καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ καθεύδοντι πολλάκις ἐπιστῆναι* (cf. II, 3, 9). Namque verbum *ἐπιστῆναι* non solum saepe dicitur *de iis, quae quis sibi videtur per quietem videre* (vid. Sieb. ad Paus. I, 21, 2), sed etiam *de iis quae subito apparent* sive *adveniunt,* ut apud Arr. ll. ll. cum ann. Gronovii, et *de somnio ipso obiecto,* ut Hom. Il. XXIII, 105. Herod. I, 34, 38 apud Siebel. ad Paus. l. l. cf. Iacobs. ad Achill. Tat. p. 414. Quod cum ita esset, facile fieri poterat, ut a librariis huius significationis memoribus *ἐπιστῆναι* satis vulgatum cognitumque pro *ἐπιπτῆναι* paulo minus usitato intruderetur. Eadem verba confusa notarunt duumviri celeberrimi Iacobs. et Schaef. ad Anthol. Pal. t. III, p. 601. Adde Goell. ad Timaei fragm. p. 302. — De

4 ὑπὲρ τοῦ θείου παρὰ τοὺς Τελμισσέας τοὺς μάντεις· εἶ-
ναι γὰρ τοὺς Τελμισσέας σοφοὺς τὰ θεῖα ἐξηγεῖσθαι,
καί σφισιν ἀπὸ γένους δεδόσθαι αὐτοῖς καὶ γυναιξὶ καὶ
5 παισὶ τὴν μαντείαν· προσάγοντα δὲ κώμῃ τινὶ τῶν Τελ-
μισσέων ἐντυχεῖν παρθένῳ ὑδρευομένῃ, καὶ πρὸς ταύτην
6 εἰπεῖν ὅπως οἱ τὸ τοῦ ἀετοῦ ἔσχε. Τὴν δὲ (εἶναι γὰρ
καὶ αὐτὴν τοῦ μαντικοῦ γένους) θύειν κελεῦσαι τῷ Διὶ
7 τῷ βασιλεῖ, ἐπανελθόντα εἰς τὸν τόπον αὐτόν. Καὶ δεη-
θῆναι γὰρ αὐτῆς Γόρδιον τὴν θυσίαν ξυνεπισπομένην οἱ
αὐτὴν ἐξηγήσασθαι, θῦσαί τε ὅπως ἐκείνη ὑπετίθετο τὸν
Γόρδιον καὶ ξυγγενέσθαι ἐπὶ γάμῳ τῇ παιδὶ καὶ γενέ-
8 σθαι αὐτοῖν παῖδα Μίδαν ὄνομα. Ἤδη τε ἄνδρα εἶναι
τὸν Μίδαν καλὸν καὶ γενναῖον, καὶ ἐν τούτῳ στάσει πιέ-

---

duplici forma ἀροῦν et ἀροτριᾶν vide Lob. ad Phryn. p. 254 sqq. — Mox ed. Bas. Τελμισέας et Τελμισέων.

5. τὸ τοῦ ἀετοῦ] Recte in his singulari usus est, plane ut I, 25, 11 οὐ φαῦλον ποιησάμενος τὸ τῆς χελιδόνος. Apud Plut. vit. Brut. c. 21 malim scriptum ὅταν παρακμάσῃ καὶ μαρανθῇ τὰ τῆς ὀργῆς, pro vulgato τὸ τῆς ὀργῆς. Vid. ad I, 17, 10.

6. εἰς τὸν τόπον αὐτόν] Edd. vett. αὐτῶν, quod firmant tres codd. Gronovii. Nos cum Schmiedero, annuente iam Gronovio, recepimus scripturam duorr. rell. codd. αὐτόν. Sensus enim loci, ut clarum, hic est: *illam autem eum iussisse reversum ad illum ipsum locum* (h. e. ad eum locum, ubi aquila ad iugum plaustri advolaverat) *Iovi regi sacrificare.* Erravit Gronovius vertens, *ad eundem locum*; hoc enim foret ἐς τὸν αὐτὸν τόπον. Pronomen, ut hoc loco, postpositum vide I, 7, 12. II, 7, 14. II, 23, 7. V, 17, 7. VI, 3, 6. Hist. Ind. I, 5 recte hodie legitur καὶ τὴν πόλιν αὐτὴν Νῦσαν. In edd. vett. scriptum est τὴν πόλιν αὐτῶν.

7. καὶ δεηθῆναι γάρ] Sic distractae leguntur particulae I, 18, 11 καὶ ὡς γάρ. Saepius multo iunctas eas vides, ut I, 14, 6. II, 14, 9 IV, 14, 3. Particulam γάρ semper habere quod significet, docuerunt Math. Gr. Gr. ub. p. 1241 sqq. Fritzsch. Qu. Lucc. p. 143.

Μίδαν ὄνομα] Constans fere est in hac dicendi formula usus omittendi articulum. Vid. VII, 2, 5 Δάνδαμις ὄνομα. VII, 11, 9 Καλλίνης ὄνομα. Xen. Anab. I, 2, 23 ῥεῖ ποταμὸς Κύδνος ὄνομα. V, 10, 3 Λύκος ὄνομα. Hist. Gr. II, 1, 15 ὄνομα Κεδρείαις. Ael. vv. hh. I, 34 γένει Μάρδος, ὄνομα Ῥακώκης. Lucianus tamen Somn. c. 14 scripsit Ἀριμύλος τοὔνομα. De omisso articulo ante nomen ἐπίκλησιν

ζεσθαι ἐν σφίσι τοὺς Φρύγας, καὶ γενέσθαι αὐτοῖς χρησμὸν ὅτι ἅμαξα ἄξει αὐτοῖς βασιλέα καὶ ὅτι οὗτος αὐτοῖς καταπαύσει τὴν στάσιν. Ἔτι δὲ περὶ αὐτῶν τούτων 9
βουλευομένοις ἐλθεῖν τὸν Μίδαν ὁμοῦ τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ ἐπιστῆναι τῇ ἐκκλησίᾳ αὐτῇ ἁμάξῃ· τοὺς δὲ ξυμβαλόντας τὸ μαντεῖον τοῦτον ἐκεῖνον γνῶναι ὄντα ὅντινα ὁ θεὸς αὐτοῖς ἔφραζεν ὅτι ἄξει ἡ ἅμαξα· καὶ καταστῆσαι μὲν αὐτοὺς βασιλέα τὸν Μίδαν. Μίδαν δὲ αὐ- 10
τοῖς τὴν στάσιν καταπαῦσαι καὶ τὴν ἅμαξαν τοῦ πατρὸς ἐν τῇ ἄκρᾳ ἀναθεῖναι χαριστήρια τῷ Διὶ τῷ βασιλεῖ ἐπὶ τῇ τοῦ ἀετοῦ πομπῇ. Πρὸς δὲ δὴ τούτοις καὶ τόδε περὶ 11
τῆς ἁμάξης ἐμυθεύετο· ὅστις λύσειε τοῦ ζυγοῦ τῆς ἁμάξης τὸν δεσμόν, τοῦτον χρῆναι ἄρξαι τῆς Ἀσίας. Ἦν δὲ

---

vide Siebel. ad Paus. I, 18, 7. Ceterum uno loco placuit Arriano variare orationem, scribenti IV, 19, 8 *παρθένος ἐν ὥρᾳ γάμου, Ῥωξάνη ὀνόματι*, in quibus Xenophontem imitatus esse potest Anab. I, 4, 11 *Θάψακος ὀνόματι.* Hist. Gr. I, 6, 29 *Σάμιος, ὀνόματι Ἱππεύς.* Negligentiam scribendi, quam in his nuperrime vidit Bernhardyus Wiss. Synt. p. 119, equidem non assequor. Vide ann. ad V, 25, 2.

9. *καὶ ἐπιστῆναι τῇ ἐκκλησίᾳ*] »Sumitur pro *subito advenire, adesse, apparere.* Plut. in Erott. p. 773 *καὶ χωροῦντες διὰ τῆς Βοιωτίας ἐπέστησαν πάλιν τῇ τοῦ Σκεδάσου οἰκίᾳ.* Ael. vv. hh. II, 10 *ἐπιστάντα τὸν Τιμόθεον.*« *Gronov.* cf. Lucian. Somn. c. 3 *λαθόντα ἐπιστῆναι τῇ Ἀφροδίτῃ.*

καὶ καταστῆσαι] Hanc veram esse scripturam iam sequentes statim aoristi aperte indicant, *καταπαῦσαι* et *ἀναθεῖναι.* In ed. Bas. et Vulc. legebatur *καταστήσειν*, in Vulc. etiam *καταπαύσειν.* Quam vero Schmiederus Blancardi fecit coniecturam, primum scribentis *καταστῆσαι* pro *καταστήσειν*, eam sive Vulcanii, sive Stephani esse ex annotatione margini editionis Vulcanianae adscripta perspici potest. Totius erroris causa fuisse potest I, 25, 6 *αὐτὸν βασιλέα καταστήσειν τῆς Μακεδονίας.*

11. *τοῦτον χρῆναι ἄρξαι*] *huic imperium destinatum esse.* Saepe enim *χρῆναι* dicitur de iis *quae ex deorum nutu et voluntate fiunt.* Herodot. I, 8 *χρῆν γὰρ Κανδαύλῃ γενέσθαι κακῶς.* Paus. II, 29, 6 *χρῆναι δὲ Αἰακὸν τὸν ἱππεύσοντα εἶναι.* Eurip. Phoeniss. 1618 *χρῆν γάρ θανεῖν νιν ἐξ ἐμοῦ.* Arr. II, 6, 10 *ἐχρῆν γὰρ ἤδη καὶ Πέρσας πρὸς Μακεδόνων ἀφαιρεθῆναι τῆς Ἀσίας τὴν ἀρχήν.* VII, 16, 10 — *ᾗ παρελθόντα ἐχρῆν ἤδη τελευτῆσαι.* Vid. Siebel. ad

ὁ δεσμὸς ἐκ φλοιοῦ κρανέας· καὶ τούτου οὔτε τέλος οὔτε
12 ἀρχὴ ἐφαίνετο. Ἀλέξανδρος δὲ ὡς ἀπόρως μὲν εἶχεν
ἐξευρεῖν λύσιν τοῦ δεσμοῦ, ἄλυτον δὲ περιιδεῖν οὐκ ἤθελε,
μή τινα καὶ τοῦτο ἐς τοὺς πολλοὺς κίνησιν ἐργάσηται, οἱ
μὲν λέγουσιν ὅτι παίσας τῷ ξίφει διέκοψε τὸν δεσμὸν
13 καὶ λελύσθαι ἔφη. Ἀριστόβουλος δὲ λέγει, ἐξελόντα τὸν
ἕστορα τοῦ ῥυμοῦ ὃς ἦν τύλος διαβεβλημένος διὰ τοῦ ῥυ-
μοῦ διαμπὰξ ξυνέχων τὸν δεσμὸν, ἐξελκῦσαι ἔξω τοῦ ῥυ-
14 μοῦ τὸν ζυγόν. Ὅπως μὲν δὴ ἐπράχθη τὰ ἀμφὶ τῷ δε-
σμῷ τούτῳ Ἀλεξάνδρῳ, οὐκ ἔχω ἰσχυρίσασθαι. Ἀπηλ-

Pausan. I, 19, 5. Respexit fortasse Arriani locum Suidas s. v. *κάθαμμα λύεις.*

δεσμὸς ἐκ φλοιοῦ] Ad significandam materiam ex qua quid factum, semper fere utitur Arrianus praepositione *ἐκ.* III, 4, 7 *ἐς κοιτίδας πλεκτὰς ἐκ φοίνικος.* IV, 19, 2 *καλωδίοις ἐκ λίνου ἰσχυροῖς.* IV, 21, 10 *πλέγματα ἐκ λύγων.* V, 7, 8 *πλέγματα ἐκ λύγου πυραμοειδῆ.* VII, 17, 2 *ἐκ πλίνθου ὀπτῆς.* Nam alius generis sunt quae adscripsimus ad VI, 24, 6. Nudum genitivum vide VI, 29, 7 *λίθου τετραπέδου — πεποιῆσθαι.* VI, 29, 9 *ἐνώτια χρυσοῦ τε καὶ λίθου κολλητά.*

13. *τὸν ἕστορα*] Vocis *ἕστωρ* dubia est origo. Videtur idem fere significare quod statim sequens *τύλος.* Cf. Plut. vit. Alex. c. XVIII *ἐξελόντι τοῦ ῥυμοῦ τὸν ἕστορα καλούμενον, ᾧ ξυνείχετο τὸ ζυγόδεσμον,* ubi Plutarchus, quia addebat *καλούμενον,* ipse de origine illius substantivi dubius haesisse videtur. — Paulo infra cod. vet. Vulc. *τοῦ ζυγοῦ τὸν ῥυμόν.*

14. *οἱ ἀμφ' αὐτόν*] Ed. Bas. *ἀμφ' αὐτόν.* — Mox cod. vet. Vulc. perverse *τοῦ τῇ ἐπιλύσει.* — De *δὲ οὖν,* praegressa particula *μέν,* vide Valck. ad Herod. III, 80. Sieb. ad Paus. I, 30, 4. cf. Hermann. ad Lucian. Quom. hist. sit conscr. p. 254 sq.

15. *ἐπεσήμηναν*] Interpretantur: *Quod quidem et tonitrua et fulgura ea nocte excitata satis declararunt.* Subaudiendum tum foret *τοῦτο,* quod additur VII, 30, 4 *καὶ ταῦτα χρησμοί τε ἐπισημῆναι — λέγονται.* Nonne autem intransitiva potestas vindicari possit verbo *ἐπεσήμηναν,* ut sit *apparuerunt?* Cf. Pausan. VII, 24, 6 *τοῦτο δὲ ἀλλαχοῦ τε τοῦ σώματος ἐπισημαίνει καὶ ἐν ταῖς χερσίν.* Lucian. v. v. h. h. II, c. 41 *τέρατα ἡμῖν μεγάλα — ἐπεσήμαινεν.* — Verba sequentia *τοῖς φήνασι θεοῖς* cet. Xenophontea sunt Anab. IV, 3, 13 *εὔχεσθαι τοῖς φήνασι θεοῖς τά τε ὀνείρατα καὶ τὸν πόρον.*

C. IV. *ἐπ' Ἀγκύρας τῆς Γαλατικῆς*] Verbo monendum hic est, Mathiaeum, cum Gr. Gr. ub. p. 629 contendebat, nomen regionis in

λάγη δ' οὖν ἀπὸ τῆς ἁμάξης αὐτός τε καὶ οἱ ἀμφ' αὐτόν, ὡς τοῦ λογίου τοῦ ἐπὶ τῇ λύσει τοῦ δεσμοῦ ξυμβεβηκότος. Καὶ γὰρ καὶ τῆς νυκτὸς ἐκείνης βρονταί τε καὶ σέλας ἐξ οὐρανοῦ ἐπεσήμηναν· καὶ ἐπὶ τούτοις ἔθυε τῇ ὑστεραίᾳ Ἀλέξανδρος τοῖς φήνασι θεοῖς τά τε σημεῖα καὶ τοῦ δεσμοῦ τὴν λύσιν.

IV. *Αὐτὸς δὲ τῇ ὑστεραίᾳ ἐπ' Ἀγκύρας τῆς Γαλατικῆς ἐστέλλετο· κἀκεῖ αὐτῷ πρεσβεία ἀφικνεῖται Παφλαγόνων, τό τε ἔθνος ἐνδιδόντων καὶ ἐς ὁμολογίαν ξυμβαινόντων, ἐς δὲ τὴν χώραν ξὺν τῇ δυνάμει μὴ ἐσβαλεῖν*

---

qua urbs sita sit, a Graecis scriptoribus anteponi solere ipsi urbis nomini, forte tantum in eiusmodi locos incidisse, ubi hoc factum est. Saepe enim ut apud Atticos, ita apud recentiores scriptores nomen regionis postpositum offendimus. Thucyd. I, 30 *περὶ τὸ Χειμέριον τῆς Θεσπρωτίδος*. Xen. Anab. VI, 4, 38 *ἐς Χρυσόπολιν τῆς Καλχηδονίας*. Hist. Gr. I, 2, 12 *ἐν Μεθύμνῃ τῆς Λέσβου*. I, 4, 7 *ἐς Κίον τῆς Μυσίας*. Diod. Sic. XVI, 92 *ἐν Αἰγαῖς τῆς Μακεδονίας*. XVII, 11 *ἐπὶ Ταίναρον τῆς Λακωνικῆς*. XVII, 16 *ἐν Δίῳ τῆς Μακεδονίας*. XVII, 36 *ἐν Ἰσσῷ τῆς Κιλικίας*. XVII, 63 *εἰς Ἐκβάτανα τῆς Μηδίας*. Arr. I, 7, 6 *εἰς Πελλίναν τῆς Θετταλίας*. I, 26, 6 *ἐκ Κύμης τῆς Αἰολίδος*. II, 13, 2 *ἐς Τρίπολιν τῆς Φοινίκης*. III, 1, 1 *ἐς Πηλούσιον τῆς Αἰγύπτου*. III, 25, 3 *καὶ Σουσίαν πόλιν τῆς Ἀρείας*. VI, 11, 11 *ἐπ' Ἀρτεμισίῳ τῆς Εὐβοίας*. VI, 29, 1 *τὴν ἐπὶ Πασαργάδας τῆς Περσίδος*. Semel tantum inverso verborum ordine dixit II, 1, 4 *τῆς Τενέδου εἰς τὸν Βόρειον καλούμενον λιμένα*. Vides iam ex his quae attulimus exemplis, Graecos cuiusvis aetatis minime secutos esse certam dicendi normam, sed verba ita collocasse, ut ipsis optimum videretur. Neque contenderim cum Kruegero ad Xen. Anab. II, 2, 6 genitivum regionis tum postponi, cum oppidi notio sit primaria.

ἐς δὲ τὴν χώραν] Saepe ita particulam adversativam, non praegresso *μέν*, poni docuit iam Locella ad Xen. Ephes. p. 226. Cf. Arr. II, 17, 3, 4. III, 26, 3. IV, 20, 7. V, 6, 12. V, 11, 6. V, 19, 7. VI, 28, 1. — Infra pro *ἐδέοντο* exspectabas potius participium *δεομένων*. At haud raro Graeci a participio transeunt ad tempus finitum (v. Fritzsch. Qu. Lucc. p. 112 sqq. Schaef. ad Demosth. t. II, p. 75) et versa vice a tempore finito ad participium (v. Wernsd. ad Himer. p. 302. Sieb. ad Paus. I, 9, 1 et X, 32, 5). Cf. Arr. I, 25, 4 *στρατηγόν τε στείλας καὶ ἐπειδὴ — ἐξεπέμφθη αὐτὸν ἀπέδειξεν*. V, 8, 8 *καὶ ξυνετμήθη τὰ πλοῖα —, ὅσα*

2 ἐδέοντο. Τούτοις μὲν δὴ προστάσσει Ἀλέξανδρος ὑπακούειν Κάλᾳ τῷ σατράπῃ τῆς Φρυγίας. Αὐτὸς δὲ ἐπὶ τῆς Καππαδοκίας ἐλάσας ξύμπασαν τὴν ἐντὸς Ἅλυος ποταμοῦ προσηγάγετο καὶ ἔτι ὑπὲρ τὸν Ἅλυν πολλήν· καταστήσας δὲ Καππαδοκῶν Σαβίκταν σατράπην αὐτὸς
3 προῆγεν ἐπὶ τὰς πύλας τῆς Κιλικίας. Καὶ ἀφικόμενος ἐπὶ τὸ Κύρου τοῦ ξὺν Ξενοφῶντι στρατόπεδον ὡς κατεχομένας τὰς πύλας φυλακαῖς ἰσχυραῖς εἶδε, Παρμενίωνα μὲν αὐτοῦ καταλείπει σὺν ταῖς τάξεσι τῶν πεζῶν ὅσοι
4 βαρύτερον ὡπλισμένοι ἦσαν. Αὐτὸς δὲ ἀμφὶ πρώτην φυλακὴν ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας, προῆγε τῆς νυκτὸς ἐπὶ τὰς πύλας,
5 ὡς οὐ προσδεχομένοις τοῖς φύλαξιν ἐπιπεσεῖν. Καὶ προσάγων μὲν οὐκ ἔλαθεν, ἐς ἴσον δὲ αὐτῷ κατέστη ἡ τόλμα.

μὲν βραχύτερα, διχῇ διατμηθέντα, αἱ τριακόντοροι δὲ τριχῇ ἐτμήθησαν. Vid. ann. ad I, 6, 22 et ad IV, 9, 4.

Κάλᾳ τῷ σατρ.] Constans est huius nominis proprii haec forma apud Arrianum, ut I, 14, 4. I, 17, 1. Apud Diodorum XVII, 7 et XVII, 17 scriptum reperi *Κάλλας.* Curtius III, 1, fin. in scribendo hoc nomine consentit cum Arriano.

2. *καταστήσας δὲ — σατράπην*] Sic dixit III, 16, 6 *σατράπην δὲ κατέστησε Βαβυλῶνος Μαζαῖον.* IV, 28, 10 *τῆς χώρας — σατράπην κατέστησε.* Verbo pro substantivo usus est I, 17, 1 *καταστήσας δὲ Κάλαν σατραπεύειν ἧς Ἀρσίτης ἦρχε.* III, 19, 5 *σατραπεύειν ἔταξεν αὐτῶν.* VI, 27, 1 *Θόαντα δὲ σατραπεύειν τῶν ταύτῃ ἔταξε.* cf. Ael. vv. hh. II, 8 *εἵλοντο στρατηγεῖν.* Vide de hac duplici loquendi ratione quae dixit Siebel. ad Paus. I, 6, 8. — De pylis Ciliciae accurate egit Krueg. ad Xen. Anab. I, 2, 21. De nomine satrapae vide Gronovium ad h. l. et Freinshem. ad Curt. III, 4, 1. — Pro *τῆς Κιλικίας* ed. Bas. *τὰς Κιλικίας.*

4. *ἀμφὶ πρώτην φυλακήν*] Ex nostro loquendi more articulum ante *πρώτην* additum exspectabamus. Sed nunquam in hac loquendi formula et similibus apud Graecos scriptores legitur articulus. Cf. Krueg. ad Xenoph. Anab. VII, 8, 12. Arr. I, 23, 2 *ἀμφὶ δευτέραν φυλακήν.* III, 19, 9 *ἐς πέμπτην ἡμέραν.* V, 23, 7 *ἀμφὶ δευτέραν φυλακήν.* Cf. I, 20, 10 *ἀμφὶ μέσας νύκτας.* Unde nescio an apud Diod. Sic. XIX, 95 pro vulgato *περὶ μέσας τὰς νύκτας,* codicem Reg. I secuti rectius scribamus *περὶ μέσας νύκτας,* quomodo legitur apud eundem XVII, 37. XVII, 50 et passim

Οἱ γὰρ φύλακες αἰσθόμενοι Ἀλέξανδρον αὐτὸν προσάγοντα, λιπόντες τὴν φυλακὴν ᾤχοντο φεύγοντες. Τῇ δὲ ὑστεραίᾳ 6
ἅμα τῇ ἕῳ ξὺν τῇ δυνάμει πάσῃ ὑπερβαλὼν τὰς πύλας κατέβαινεν ἐς τὴν Κιλικίαν. Καὶ ἐνταῦθα ἀγγέλλεται αὐ- 7
τῷ Ἀρσάμης ὅτι πρόσθεν μὲν ἐπενόει διασώζειν Πέρσαις τὴν Ταρσόν· ὡς δὲ ὑπερβεβληκότα ἤδη τὰς πύλας ἐπύθετο Ἀλέξανδρον, ἐκλιπεῖν ἐν νῷ εἶχε τὴν πόλιν· δεδιέναι οὖν τοὺς Ταρσεῖς μὴ ἐφ' ἁρπαγὴν τραπεὶς οὕτω τὴν ἀπόλειψιν τῆς Ταρσοῦ ποιήσηται. Ταῦτα ἀκούσας δρό- 8
μῳ ἦγεν ἐπὶ τὴν Ταρσὸν τούς τε ἱππέας καὶ τῶν ψιλῶν ὅσοι κουφότατοι, ὥστε ὁ Ἀρσάμης μαθὼν αὐτοῦ τὴν ὁρμὴν σπουδῇ φεύγει ἐκ τῆς Ταρσοῦ παρὰ βασιλέα Δαρεῖον, οὐδὲν βλάψας τὴν πόλιν. Ἀλέξανδρος δὲ, ὡς μὲν 9
Ἀριστοβούλῳ λέλεκται, ὑπὸ καμάτου ἐνόσησεν· οἱ δὲ εἰς

---

alibi. Cum his non est comparandum quod habet Arrianus III, 4, 4 *καὶ ἀπὸ τῆς ἑσπέρας ἔτι θερμότερον ἔστε ἐπὶ μέσας τὰς νύκτας.* Ibi enim non minus recte articulus positus est, quam in talibus: V, 28, 11 *ἐν μέσοις τοῖς πολεμίοις.* VI, 8, 8 *σὺν μόνῃ τῇ ἵππῳ.* I, 14, 8 *ἐπ' ἄκρου τοῦ ποταμοῦ.*

ὡς οὐ προσδεχομένοις — ἐπιπεσεῖν] *ut inopinantes pylarum praesides invaderet.* I, 22, 1 *ᾗ οὐδὲ πάνυ τι προσδεχομένοις τοῖς Μακεδόσιν ἦν.* IV, 16, 7 *καὶ τῷ τε φρουράρχῳ οὐδὲν πολέμιον προσδεχομένῳ ἐπιπεσόντες.* Eiusdem stirpis et potestatis est *προσδοκᾶν* VI, 6, 5 *οὐ προσδοκήσασιν ἐπιπεσών.* Nec multum distat *ὑποτοπῆσαι* IV, 16, 11 *οὐδὲν ὑποτοπήσασι τοῖς Σκύθαις ἐπιπεσόντες.*

5. *ἐς ἴσον δὲ κατέστη ἡ τόλμα*] ›Vult dicere, eo ipso, quod deprehensus auderet nihilominus progredi, tantum effecisse, quantum efficere poterat, si latuisset. Plut. Thes. p. 20 (t. I, p. 51, Reisk.) *τοῖς ἄλλοις δὲ πολίταις ὥσπερ εἰς ἴσον κατέστησε, δόξῃ μὲν εὐπατριδῶν, χρείᾳ δὲ γεωμόρων.*‹ *Gronov.*

6. *τῇ δὲ ὑστεραίᾳ*] Sic ed. Bas. *τῇ δ' ὑστεραίᾳ* Vulcanius et ex eo omnes recentiores editores. At vide VI, 7, 1 et ann. ad II, 1, 3. V, 21, 10.

7. *τὴν Ταρσόν*] Hanc formam vulgarem nominat Krueg. ad Xenoph. Anab. I, 2, 23, ubi *Ταρσούς* excudi iussit. Vide Schneid. apud Bornem. ad Xen. l. l. De duplici forma *Ἰσσός* et *Ἰσσοί* vid. annot. ad VI, 11, 8. De formis *Πλάταια* et *Πλαταιαί* consule Goell. ad Thucyd. II, 7, p. 232.

τὸν Κύδνον ποταμὸν λέγουσι ῥίψαντα νήξασθαι ἐπιθυμήσαντα τοῦ ὕδατος ἱδροῦντα καὶ καύματι ἐχόμενον. Ὁ δὲ Κύδνος ῥεῖ διὰ μέσης τῆς πόλεως· οἷα δὲ ἐκ τοῦ Ταύρου ὄρους τῶν πηγῶν οἱ ἀνισχουσῶν, καὶ διὰ χώρου καθαροῦ ῥέων, ψυχρός τέ ἐστι καὶ τὸ ὕδωρ καθαρός· σπασμῷ τε οὖν ἔχεσθαι Ἀλέξανδρον καὶ θέρμαις ἰσχυραῖς καὶ

---

9. *τὸν Κύδνον ποταμόν*] Ed. Bas. *τὸν Κ. τὸν ποταμόν.* Articulum posteriorem primus omissit Vulcanius. Secuti sunt recentiores editores. Ac sane, cum in hunc usum articuli apud Arrianum paulo accuratius inquisierim, ex huius scriptoris more loquendi omittendus est ille articulus. Posuit enim duplicem articulum, quando nomen fluvii secundum locum obtinet; contra praegresso nomine proprio alterum articulum semper fere omissum videbis. Utriusque generis haec considera exempla. I, 3, 1 *τὸν ποταμὸν τὸν Ἴστρον.* II, 5, 11 *τὸν ποταμὸν τὸν Πύραμον.* III, 15, 8 *τὸν ποταμὸν τὸν Λύκον.* IV, 3, 1 *τοῦ ποταμοῦ τοῦ Ταναΐδος.* IV, 15, 13 *τῷ ποταμῷ τῷ Ὤξῳ.* IV, 30, 14 *τῷ ποταμῷ τῷ Ἰνδῷ.* VI, 1, 6 *τῷ ποταμῷ τῷ Ἰνδῷ.* VI, 3, 1 *τῷ ποταμῷ τῷ Ὑδάσπῃ.* VI, 17, 4 *τοῦ ποταμοῦ τοῦ Ἰνδοῦ.* VI, 20, 2 et Hist. Ind. II, 5 *ὁ ποταμὸς ὁ Ἰνδός.* Sed *τὸν Νέσον ποταμόν* I, 1, 9. *τὸν Εὐφράτην ποταμόν* II, 13, 1. *τὸν Εὐφράτην ποταμόν* III, 7, 5. Adde I, 12, 10. V, 6, 8. V, 26, 2. VI, 4, 2. VI, 7, 1. Hist. Ind. VI, 5. XLII, 4. cet. Et his, puto, in aperto positum est hoc loquendi genus, quamquam tres vel quattuor supersunt loci qui priorem animadsionis partem dubiam reddant. De quibus vide ann. ad II, 8, 8. Praeterea vero id moneo, cetera appositionis genera Arrianum ad eandem normam non direxisse. Sic dixit v. c. I, 1, 7 *ἐπὶ τὸ ὄρος τὸν Αἷμον.* III, 28, 8, 13 *τὸ ὄρος ὁ Καύκασος.* Sed I, 1, 6 *τὸν Ὄρβηλον τὸ ὄρος.* I, 18, 8 *τῇ Μυκάλῃ τῷ ὄρει.* VII, 1, 2 *τὸν Ἄτλαντα τὸ ὄρος.* III, 28, 6 *τὸν Καύκασον τὸ ὄρος.* III, 28, 9 *τὸν Ταῦρον τὸ ὄρος.* Et II, 4, 10 *τοῦ Ταύρου ὄρους.* Sic dixit I, 18, 7 *τὴν νῆσον τὴν Λάδην.* VI, 18, 6 *τὴν νῆσον τὰ Πάτταλα.* Sed I, 18, 9 *τὴν Λάδην τὴν νῆσον.* II, 2, 8, *Κύθνῳ τῇ νήσῳ.* Sic V, 24, 8 *Λυσίμαχος ὁ σωματοφύλαξ.* VI, 30, 3 *Πευκέσταν τὸν σωματοφύλακα.* Contra III, 30, 14 *ὁ Ἡρόδοτος ὁ λογοποιός.* VII, 16, 9 *τοῦ Εὐριπίδου τοῦ ποιητοῦ.* Sic III, 1, 4 *Μέμφιν πόλιν.* Sed IV, 27, 10 *τὰ Ὦρα τὴν πόλιν.* Et VI, 20, 2 *τῇ πόλει τοῖς Παττάλοις.* Vid. ann. ad I, 1, 6. I, 22, 9. II, 15, 3, coll. Krueg. ad X. Anab. VI, 2, 13.

ῥίψαντα] sc. *ἑαυτόν.* Ac solet Arrianus huic verbo pronomen adiungere. I, 19, 5 *οἱ μὲν αὐτῶν ῥιπτοῦντες σφᾶς — διενήχοντο.*

ἀγρυπνίᾳ ξυνεχεῖ. Καὶ τοὺς μὲν ἄλλους ἰατροὺς οὐκ οἴε- 11
σθαι εἶναι βιώσιμον, Φίλιππον δὲ Ἀκαρνᾶνα ἰατρὸν
ξυνόντα Ἀλεξάνδρῳ, καὶ τά τε ἀμφὶ ἰατρικὴν ἐς τὰ μάλι-
στα πιστευόμενον καὶ τὰ ἄλλα οὐκ ἀδόκιμον ἐν τῷ στρα-
τῷ ὄντα καθῆραι ἐθέλειν Ἀλέξανδρον φαρμάκῳ, καὶ τὸν
κελεύειν καθῆραι· τὸν μὲν δὴ παρασκευάζειν τὴν κύλικα· 12

III, 30, 19 κατὰ τῶν πετρῶν σφᾶς ῥίψαντες. IV, 30, 7 ῥίψαντες σφᾶς. VI, 10, 7 ἐνρίπτει ἑαυτόν. Hist. Ind. XXIV, 7 ἐῤῥίπτουν ἑωυτούς. Utriusque constructionis patronum habemus Xenophontem, qui cum Cyneg. V, 8 dixisset ἐν τῇ θαλάττῃ διαῤῥιπτῶν, et ibid. IX, 20 ῥιπτοῦσι δὲ καὶ εἰς τὴν θάλατταν, tamen scripsit Cyrop. III, 1, 25 οἱ μὲν ῥιπτοῦντες ἑαυτούς. Cf. Bergl. ad Alciphr. t. I, p. 3. Wernsd. ad Himer. p. 398. Dorv. ad Charit. p. 387. Heind. ad Plat. Phaed. p. 242. Lobeck. ad Soph. Aiac. v. 245. Dindorf. ad Arist. Eqq. 430. — De forma ἱδροῦντα conferas Struvii lectt. Luciann. p. 223. Xen. H. Gr. IV, 5, 7. cf. Ruf. ad Tim. II.

10. ὁ δὲ Κύδνος — πόλεως] Iisdem fere de eadem re Xenophon utitur verbis Anab. I, 2, 23 διὰ μέσης δὲ τῆς πόλεως ῥεῖ ποταμὸς, Κύδνος ὄνομα.

οἷα δὲ — ἀνισχουσῶν] Fuit cum scriptum mallem οἷα δὲ δὴ —, quia semper fere οἷα δή cum participio iunctum videram, ut I, 6, 19. I, 9, 10. I, 20, 11. I, 28, 8. II, 21, 6. III, 15, 4. III, 29, 6. IV, 3, 2. IV, 5, 8. IV, 21, 3. V, 1, 8. V, 23, 2. VI, 6, 5. VI, 10, 3. Neque δὲ δή iuncta quidquam habebant offensionis, coll. IV, 12, 4. VII, 10, 8; ann. ad V, 7, 9. Nunc tamen nihil mutatum volo. Cf. I, 4, 11 οἷα γὰρ πόῤῥω τε ᾠκισμένοι.

11. οὐκ εἶναι βιώσιμον] *non habere vitae spem.* VI, 11, 1 οὔπω γιγνώσκοντες βιώσιμον ὄντα. VI, 12, 6 εἰ δὲ καὶ βιώσιμός ἐστιν. VII, 27, 4 αἰσθόμενος οὐ βιώσιμον ὄντα. Aliud est βιωτός. Vid. IV, 13, 6 φράσαι — ὅτι οὐ βιωτόν οἱ ἐστιν, *dixisse, se vivere non posse,* sive *vitam sibi non placere,* ut Soph. Oed. Col. v. 1692 ὁ μέλλων βίος οὐ βιωτός. — Mox pro vulgato τὰ ἄλλα ed. Bas. τἄλλα. Vide ad II, 5, 5.

καθῆραι] Magis Attica forma hic usus est Arrianus, quamquam καθᾶραι ipsis Atticis scriptoribus dictum esse docuerunt Sturz. Lex. Xen. t. II, p. 601 et cl. Lobeck. ad Phryn. p. 25 sqq. Cf. Krueg. ad Xen. Anab. V, 7, 35. Formam καθάραντα vide apud Arr. Ind. hist. VIII, 8, et ex eodem apud Phot. p. 69, a, Beck., si lectio ibi salva est. — Ceterum cf. Xenoph. Cyrop. I, 3, 9 καὶ τὸν κελεῦσαι δοῦναι.

ἐν τούτῳ δὲ Ἀλεξάνδρῳ δοθῆναι ἐπιστολὴν παρὰ Παρμενίωνος, φυλάξασθαι Φίλιππον· ἀκούειν γὰρ διεφθάρθαι ὑπὸ Δαρείου χρήμασιν, ὥστε φαρμάκῳ ἀποκτεῖναι Ἀλέξ-
13 ανδρον. Τὸν δὲ ἀναγνόντα τὴν ἐπιστολὴν καὶ ἔτι μετὰ χεῖρας ἔχοντα αὐτὸν μὲν λαβεῖν τὴν κύλικα ἐν ᾗ ἦν τὸ φάρμακον, τὴν ἐπιστολὴν δὲ τῷ Φιλίππῳ δοῦναι ἀναγνῶναι· καὶ ὁμοῦ τόν τε Ἀλέξανδρον πίνειν καὶ τὸν Φίλιπ-
14 πον ἀναγινώσκειν τὰ παρὰ τοῦ Παρμενίωνος. Φίλιππον δὲ εὐθὺς ἔνδηλον γενέσθαι ὅτι καλῶς οἱ ἔχει τὰ τοῦ φαρμάκου· οὐ γὰρ ἐκπλαγῆναι πρὸς τὴν ἐπιστολήν, ἀλλὰ τοσόνδε μόνον παρακαλέσαι Ἀλέξανδρον, καὶ ἐς τὰ ἄλλα οἱ πείθεσθαι ὅσα ἐπαγγέλλοιτο· σωθήσεσθαι γὰρ πειθόμε-
15 νον. Καὶ τὸν μὲν καθαρθῆναί τε καὶ ῥαΐσαι αὐτῷ τὸ νόσημα, Φιλίππῳ δὲ ἐπιδεῖξαι ὅτι πιστός ἐστιν αὐτῷ φίλος· καὶ τοῖς ἄλλοις δὲ τοῖς ἀμφ' αὐτὸν ὅτι αὐτοῖς τε

---

12. *ἀκούειν γὰρ διεφθάρθαι*] Praesens verbi *ἀκούειν* s. *κλύειν* Graecis pro praeterito usurpatum esse monuerunt Dorv. ad Char. p. 562, Locell. ad Xenoph. Ephes. p. 213, et quos excitavit testes Math. Gr. Gr. ub. §. 504, 2.

14. *ὅσα ἐπαγγέλλοιτο*] Ed. Bas. *ἀγγέλοιτο*, nota tum temporum, tum verborum confusione. Vid. ad I, 19, 2, et de verbi *ἀγγέλλειν* aoristo secundo ad II, 15, 9.

15. *εἰς τὸ ἀνύποπτον*] Vocabulum hoc esse Xenophonteum iam observavit Pollux Onomast. II, 57. Cf. Sturz. Lex. Xen. s. v. — Verbum *ῥαΐσαι* illustravit Piers. ad Moer. p. 334. cf. Iacobs. ad Achill. Tat. p. 739. De significatione et constructione participii *ἐῤῥωμένος* vide Wernsd. ad Himerii Orat. XXIII, p. 773. — Paulo supra ed. Bas. *ἀμφ' αὐτόν*, non male.

C. V. 2. *ὕστερον ἄρας*] Ed. Bas. *ὕστερος*. Non inepte. Quemadmodum enim dicitur *ἑβδομαῖος ἀφικνεῖται* I, 7, 6. *τρίσιν ἡμέραις πρότερος καταπλεύσας, ἢ* —, I, 18, 7. *δευτεραῖος ἐστρατοπέδευσε* II, 6, 3. *δευτεραῖος ἧκεν* V, 22, 4. *τελευτῶντες — ἔφασκον* VI, 26, 7: sic etiam *ὕστερος ἄρας* nihil habet quod offendat. Ac nescio an Vulcanius, qui primus scripsit *ὕστερον*, hanc formam de suo dederit, neque ullius codicis auctoritatem secutus. Gronovio in talibus non multum esse confidendum iam in praefatione demonstravimus. Ceterum v. II, 9, 1. — Paulo ante in ed. Bas. legitur *καὶ*

τοῖς φίλοις βέβαιος εἰς τὸ ἀνύποπτον τυγχάνει ὢν καὶ πρὸς τὸ ἀποθανεῖν ἐῤῥωμένος.

V. Ἐκ δὲ τούτου Παρμενίωνα μὲν πέμπει ἐπὶ τὰς ἄλλας πύλας αἳ δὴ ὁρίζουσι τὴν Κιλίκων τε καὶ Ἀσσυρίων χώραν, προκαταλαβεῖν καὶ φυλάσσειν τὴν πάροδον, δοὺς αὐτῷ τῶν τε ξυμμάχων τοὺς πεζοὺς καὶ τοὺς Ἕλληνας τοὺς μισθοφόρους καὶ τοὺς Θρᾷκας ὧν Σιτάλκης ἡγεῖτο, καὶ τοὺς ἱππέας δὲ τοὺς Θετταλούς. Αὐτὸς δὲ ὕστερον ἄρας 2
ἐκ Ταρσοῦ, τῇ μὲν πρώτῃ εἰς Ἀγχίαλον πόλιν ἀφικνεῖται· ταύτην δὲ Σαρδανάπαλον κτίσαι τὸν Ἀσσύριον λόγος. Καὶ 3
τῷ περιβόλῳ δὲ καὶ τοῖς θεμελίοις τῶν τειχῶν δήλη ἐστὶ μεγάλη τε πόλις κτισθεῖσα καὶ ἐπὶ μέγα ἐλθοῦσα δυνάμεως. Καὶ τὸ μνῆμα τοῦ Σαρδαναπάλου ἐγγὺς ἦν τῶν τειχῶν τῆς Ἀγχιάλου, καὶ αὐτὸς ἐφειστήκει ἐπ' αὐτῷ Σαρδανάπαλος συμβεβληκὼς τὰς χεῖρας ἀλλήλαις ὡς μάλιστα

τοὺς ἱππέας τοὺς Θετταλούς, aeque recte. At cf. I, 5, 20 πολλοῖς δὲ ἀκοντισταῖς καὶ σφενδονήταις, καὶ ὁπλίταις δὲ οὐκ ὀλίγοις. Vid. ann. ad I, 29, 6.

3. δήλη ἐστὶ — κτισθεῖσα] Vulcanius: — *murorum fundamenta argumento sunt magnam urbem fuisse.* Recte quidem, sed non satis accurate. Licet enim pro κτισθεῖσα Arrianus scribere potuisset simpliciter οὖσα, tamen verbum illud additum narrationem reddit paulo accuratiorem: *urbem, cum condita esset, magnam fuisse* Vide quae de participio ᾠκισμένη in simili structura diximus ad IV, 2, 7. — Pro τῶν τειχῶν ed. Bas. τειχῶν, omisso articulo.

ἐπὶ μέγα ἐλθοῦσα δυν.] Cf. I, 21, 1 αὐτόν τε καὶ τὰ αὐτοῦ ἑκάτερος ἐπὶ μέγα τῷ λόγῳ ἦγεν. I, 22, 2 ἐπὶ μέγα προκαλέσασθαι. IV, 1, 3 ὅ τε χῶρος ἐπιτήδειος αὐτῷ ἐφαίνετο αὐξῆσαι τὴν πόλιν ἐπὶ μέγα. Him. Or. II, p. 424 ὦ μὴ κατοκνήσαντες δόξης ἐπὶ πλεῖον ἐλθεῖν τῆς ἀκινδύνου. Thucyd. IV, 100 ἐπὶ μέγα τοῦ ξύλου. Vide quae Goellerus ex Schoemanni observv. attulit in Ind. ad Thucyd. t. II, p. 579.

συμβεβληκὼς — συμβάλλονται] Athenaeus ex Aristobulo p. 530, b ἐφ' οὗ ἑστάναι τύπον λίθινον συμβεβληκότα τῆς δεξιᾶς χειρὸς τοὺς δακτύλους, ὡς ἂν ἐπικροτοῦντα. Strabo ex eodem, XIV, 5, p. 225, ed. ster. τύπον λίθινον, συμβάλλοντα τοὺς τῆς δεξιᾶς χειρὸς δακτύλους, ὡς ἂν ἀποκροτοῦντα. Accurate de hac re egit Naeckius ad Choerilum p. 196, sq. et p. 249 sq.

4 ἐς κρότον συμβάλλονται. Καὶ ἐπίγραμμα ἐπεγέγραπτο
αὐτῷ Ἀσσύρια γράμματα. Οἱ μὲν Ἀσσύριοι καὶ μέτρον
5 ἔφασκον ἐπεῖναι τῷ ἐπιγράμματι. Ὁ δὲ νοῦς ἦν αὐτῷ
ὃν ἔφραζε τὰ ἔπη ὅτι ΣΑΡΔΑΝΑΠΑΛΟΣ Ὁ ΑΝΑ-
ΚΥΝΔΑΡΑΞΟΥ ΠΑΙΣ ΑΓΧΙΑΛΟΝ ΚΑΙ ΤΑΡΣΟΝ
ΕΝ ἩΜΕΡΑΙ ΜΙΑΙ ΕΔΕΙΜΑΤΟ. ΣΥ ΔΕ, Ω ΞΕΝΕ,
ΕΣΘΙΕ, ΚΑΙ ΠΙΝΕ, ΚΑΙ ΠΑΙΖΕ, ὩΣ ΤΑΛΛΑ ΤΑ
ΑΝΘΡΩΠΙΝΑ ΟΥΚ ΟΝΤΑ ΤΟΥΤΟΥ ΑΞΙΑ· τὸν ψό-
φον αἰνισσόμενος ὅνπερ αἱ χεῖρες ἐπὶ τῷ κρότῳ ποιοῦσι·
καὶ τὸ παῖζε ῥαδιουργότερον ἐγγεγράφθαι ἔφασαν τῷ Ἀσ-
6 συρίῳ ὀνόματι. Ἐκ δὲ τῆς Ἀγχιάλου ἐς Σόλους ἀφίκετο
καὶ φρουρὰν ἐπήγαγεν ἐς Σόλους, καὶ ἐπέβαλεν αὐτοῖς
τάλαντα διακόσια ἀργυρίου ζημίαν, ὅτι πρὸς τοὺς Πέρ-
7 σας μᾶλλόν τι τὸν νοῦν εἶχον. Ἔνθεν δὲ ἀναλαβὼν τῶν
μὲν πεζῶν τῶν Μακεδόνων τρεῖς τάξεις, τοὺς τοξότας δὲ
πάντας καὶ τοὺς Ἀγριᾶνας ἐξελαύνει ἐπὶ τοὺς τὰ ὄρη κα-

---

5. *ὁ δὲ νοῦς ἦν* —] **Verba** *ὃν ἔφραζε τὰ ἔπη* **si abessent, non valde desiderarentur. Cf. VI, 13, 14** *καί τι καὶ ἰαμβεῖον ἐπειπεῖν, τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου, ὅτι* —. **Verba Herodoti VII, 162** *ὁ νοῦς τοῦδε τοῦ ῥήματος τὸ ἐθέλει λέγειν* **Arriano in mente fuisse possunt. — Epigramma ab aliis aliter scriptum servatur. Strabo l. l:** *Σαρδανάπαλος ὁ Ἀνακυνδαράξεω παῖς, Ἀγχιάλην καὶ Ταρσὸν ἔδειμεν ἡμέρῃ μιῇ· ἔσθιε, πῖνε, παῖζε, ὡς τἄλλα τούτου οὐκ ἄξια· τοῦ ἀποκροτήματος.* **Athenaeus l. l.** *Σαρδανάπαλλος, Ἀνακυνδαράξου παῖς, Ἀγχιάλην καὶ Ταρσὸν ἔδειμεν ἡμέρῃ μιῇ· ἔσθιε, πῖνε, παῖζε, ὡς τἄλλα τούτου οὐκ ἄξια· τοῦ ἀποκροτήματος ἔοικε λέγειν.* **Scholiastes ad Aristoph. Avv. v. 1021** *Σαρδανάπαλος Ἀνακυνδαράξου παῖς, Ταρσόν τε καὶ Ἀγχίαλον ἔδειμεν ἐν ἡμέρᾳ μιᾷ· ἔσθιε, πῖνε, ὄχευε, ὡς τἄλλα οὐδενός ἐστιν ἄξια.* **Partem tantum epigrammatis memorat Plutarchus de fort. Alex. l. II, t. VII, p. 307, Reisk.:** *ἔσθιε, πῖνε, ἀφροδισίαζε, τἄλλα δὲ οὐδέν.* **De significatione verbi** *παῖζε*, **quod Plutarchus interpretatus est** *ἀφροδισίαζε* **vide St. Croix. Exam. crit. p. 247, not. 3.**

ὡς τἄλλα — ὄντα] **Vulgo scribunt** *ὡς τ' ἄλλα.* **Ed. Bas.** *ὡς τἄλλα.* **Solus Vulcanius recte** *ὡς τἄλλα.* **Cf. II, 4, 12. VI, 20, 9. Vide Wolf. Lit. Anal. t. I, p. 431. Schaef. ad Demosth. t. I,**

τέχοντας Κίλικας· καὶ ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις τοὺς μὲν βίᾳ ἐξελὼν, τοὺς δὲ ὁμολογίᾳ παραστησάμενος ἐπανῆκεν ἐς τοὺς Σόλους. Καὶ ἐνταῦθα μανθάνει Πτολε- 8
μαῖον καὶ Ἄσανδρον ὅτι ἐκράτησαν Ὀροντοβάτου τοῦ Πέρσου, ὃς τήν τε ἄκραν τῆς Ἁλικαρνασσοῦ ἐφύλασσε καὶ Μύνδον καὶ Καῦνον καὶ Θήραν καὶ Καλλίπολιν κατεῖχε· προσῆκτο δὲ καὶ Κῶ καὶ Τριόπιον. Τοῦτον ἡττῆσθαι 9
ἔγραφον μάχῃ μεγάλῃ· καὶ ἀποθανεῖν μὲν τῶν ἀμφ' αὐτὸν πεζοὺς ἐς ἑπτακοσίους καὶ ἱππέας ἐς πεντήκοντα, ἁλῶναι δὲ οὐκ ἐλάττους τῶν χιλίων. Ἀλέξανδρος δὲ ἐν Σόλοις 10
θύσας τε τῷ Ἀσκληπιῷ καὶ πομπεύσας αὐτός τε καὶ ἡ στρατιὰ πᾶσα, καὶ λαμπάδα ἐπιτελέσας καὶ ἀγῶνα διαθεὶς γυμνικὸν καὶ μουσικὸν, Σολεῦσι μὲν δημοκρατεῖσθαι ἔδωκεν, αὐτὸς δὲ ἀναζεύξας εἰς Ταρσὸν τοὺς μὲν ἱππέας ἀπέστειλε Φιλώτᾳ δοὺς ἄγειν διὰ τοῦ Ἀληΐου πεδίου ἐπὶ τὸν ποταμὸν τὸν Πύραμον, αὐτὸς δὲ σὺν τοῖς πεζοῖς καὶ τῇ ἴλῃ τῇ βασι-

---

p. 197, quorum virorum auctoritatem secutus sum. Alteri formae *τἆλλα* sese addixerunt Beckerus, ut apud Demosth. l. l., Buttm. Gr. Gr. p. 116, not., Heind. ad Plat. Phaedon. p. 25, ad Parmen. p. 278, Elmsl. ad Eur. Med. v. 888, Passov. ad Parthen. p. 76, Goettl. ad Theod. Gramm. p. 222. — De accusativis quos vulgo vocant, absolutis vide ann. ad II, 16, 9.

6. *ἐπέβαλεν — ζημίαν*] Ut II, 12, 4 *τῶν ἐπιβληθέντων χρημάτων*. Pro quo Xenophon semper dixit *ἐπιθεῖναι*. Cyrop. I, 2, 2 *ἣν δέ τις τούτων τι παραβαίνῃ, ζημίας αὐτοῖς ἐπέθεσαν*. De rep. Lac. X, 5 *ζημίας μὴ ἐλάττους ἐπιθεῖναι*. Cum Arriano convenit Pausan. X, 15, 1 *ὅτι Φωκεῦσιν ἐπέβαλλον χρημάτων ζημίαν*.

8. *καὶ Μύνδον*] Ed. Bas. *Σίνδον*, et mox *Καλλιούπολιν*. — Accusativum *Κῶ*, ut *ἀττικώτερον*, semper habet Arrianus. Cf. II, 13, 4. III, 2, 8. Vide Locell. ad Xen. Ephes. p. 165 sqq. Popp. ad Thucyd. t. I, p. 220.

10. *θύσας τε*] Copulam ignorat ed. Basil.

ἐς Μαγαρσόν] Ita omnes edd. Consentit Stephanus Byz. s. v. Itaque nescio, cur Reichardt. in Charta Asiae minoris scripserit *Μάργασα*, solum Strabonem XIV, 5, p. 232 secutus. — Mox ed. Bas. *τι Ἀθηνᾷ*, corrupte. Pro *Μαγαρσίδι* num forte scribendum *Μαγαρσίᾳ* — ? Vide Steph. Byz. *Μαγαρσός, μέγιστος ὄχθος ἐν*

λικῇ ἐς Μαγαρσὸν ἧκε καὶ τῇ Ἀθηνᾷ τῇ Μαγαρσίδι ἔθυ-
11 σεν. Ἐντεῦθεν δὲ ἐς Μαλλὸν ἀφίκετο καὶ Ἀμφιλόχῳ ὅσα ἥρωι ἐνήγισε· καὶ στασιάζοντας καταλαβὼν τὴν στάσιν αὐτοῖς κατέπαυσε, καὶ τοὺς φόρους οὓς βασιλεῖ Δαρείῳ ἀπέφερον ἀνῆκεν, ὅτι Ἀργείων μὲν Μαλλωταὶ ἄποικοι ἦσαν, αὐτὸς δὲ ἀπ᾽ Ἄργους τῶν Ἡρακλειδῶν εἶναι ἠξίου.

VI. Ἔτι δὲ ἐν Μαλλῷ ὄντι αὐτῷ ἀγγέλλεται Δαρεῖον ἐν Σώχοις ξὺν τῇ πάσῃ δυνάμει στρατοπεδεύειν· ὁ δὲ χῶ-
1 ρος οὗτος ἐστὶ μὲν τῆς Ἀσσυρίας γῆς, ἀπέχει δὲ τῶν πυ-
2 λῶν τῶν Ἀσσυρίων ἐς δύο μάλιστα σταθμούς. Ἔνθα δὴ ξυναγαγὼν τοὺς ἑταίρους φράζει αὐτοῖς τὰ ἐξηγγελμένα ὑπὲρ Δαρείου τε καὶ τῆς στρατιᾶς τῆς Δαρείου· οἱ δὲ

Κιλικία, πρὸς τῇ Μαλλῷ· τὸ τοπικὸν Μαγάρσιος· καὶ Μαγαρσία Ἀθηνᾶ ἐκεῖ ἵδρυται· ὡς Λυρνησσὸς Λυρνήσσιος. Conferas praeterea quae de formis *Ὑρκανία* et *Ὑρκανίς* dicta sunt ad III, 19, 14.

11. *Ἐντεῦθεν δὲ*] »Cod. Optimus habet *ἐνθήδε δέ*. Vulgatam *ἐντεῦθεν δέ* retinere malui.« *Schmied.* Id quod mirandum! Ceterum *ἐνθήδε* nihil esse quisque videt. Voluit fortasse librarius *ἐνθένδε δέ* sive *ἔνθεν δέ*. III, 7, 5 *ἔνθεν δὲ ἐχώρει ἄνω*. IV, 2, 7 *ἐνθένδε — ἦγεν*. VI, 28, 8 *ἔνθεν δὲ ἀνελθών*. VI, 30, 1 *ἔνθεν δὲ — ἤει*. Hist. Ind. XXXVIII, 7 *ἔνθεν ἄραντες — παραπλέουσι*. XXXIX, 1 *ἐνθένδε ὁρμηθέντες — ἀφίκοντο*. XLI, 2 *ἐνθένδε — ἐκπλώσαντες*. Sed vulgata salva maneat. Cf. I, 29, 1 *ἐντεῦθεν δὲ ἤει*. III, 3, 6 *ἐντεῦθεν δὲ ἐς τὴν μεσόγαιαν ἐτράπετο*. Hist. Ind. XXXVII, 8 *ἐντεῦθεν ὑπὸ τὴν ἕω ἔπλεον*.

Μαλλόν] Ed. Bas. *Μᾶλλον*. Eundem errorem notavit Meineckius ad Euphor. fragm. L, p. 118. Cf. Spohn. de Od. extr. part. p. 207. Arcad. de Accentt. p. 53, 17. De urbe ipsa et de oraculo Amphilochi vide Meineck. l. l. et Sieb. ad Paus. I, 34, 2.

ὅσα ἥρωι] Ed. Bas. *ὅσον*. At cf. II, 27, 10 *ἐχρῆτο ὅσα φρουρίῳ ἐς τὸν πόλεμον*. V, 8, 5 *θύει ὅσα οἱ νόμος*. Neutrum plurale vice fungitur adverbii estque idem quod satis vulgatum *ὡς* VII, 14 13 *ἐναγίζειν τε ὅτι ἀεὶ ὡς ἥρωι ἐκέλευεν Ἡφαιστίωνι*. V. ad IV, 4, 1.

Μαλλωταί] Haec est scriptura codicis F. cum duobus aliis codicibus Gronovii. — Edd. vett. cum rell. codd. *Μαλλοί*. Huius nominis gens Indica memoratur ab Arr. V, 22, 2. Si Stephano Byzantio fides, scribendum est *Μαλλῶται*.

C. VI. 3. *προσῆγεν*] »Mallem *προῆγεν*, ut II, 7, 1 *ὡς ἐπὶ Ἰσσὸν προῆγεν*.« *Schmied.* Minime opus est hac emendatione, si per-

αὐτόθεν ὡς εἶχον ἄγειν ἐκέλευον. Ὁ δὲ τότε μὲν ἐπαι- 3
νέσας αὐτοὺς διέλυσε τὸν ξύλλογον, τῇ δὲ ὑστεραίᾳ προσ-
ῆγεν ὡς ἐπὶ Δαρεῖόν τε καὶ τοὺς Πέρσας. Δευτεραῖος
δὲ ὑπερβαλὼν τὰς πύλας ἐστρατοπέδευσε πρὸς Μυριάν-
δρῳ πόλει· καὶ τῆς νυκτὸς χειμὼν ἐπιγίγνεται σκληρὸς
καὶ ὕδωρ τε ἐξ οὐρανοῦ καὶ πνεῦμα βίαιον. Τοῦτο κατ- 4
έσχεν ἐν τῷ στρατοπέδῳ Ἀλέξανδρον. Δαρεῖος δὲ τέως
μὲν ξὺν τῇ στρατιᾷ διέτριβεν, ἐπιλεξάμενος τῆς Ἀσσυ-
ρίας γῆς πεδίον πάντῃ ἀναπεπταμένον καὶ τῷ τε πλήθει
τῆς στρατιᾶς ἐπιτήδειον καὶ ἐνιππάσασθαι τῇ ἵππῳ ξύμ-
φορον. Καὶ τοῦτο τὸ χωρίον ξυνεβούλευεν αὐτῷ μὴ ἀπο- 5
λείπειν Ἀμύντας ὁ Ἀντιόχου ὁ παρ' Ἀλεξάνδρου αὐτόμο-

---

pendas *προάγειν* et *προσάγειν* specie magis, quam genere inter se differre. Quando dicas *προσάγειν*, intelligi vis *te in locum quendam tendere, locum petere,* quando *προάγειν*, *te a loco quodam proficisci et porro ire.* Cf. I, 4, 2 *οὕτω προάγειν ἐς τὰ οὐκ ἐργάσιμα.* II, 10, 1 *χρόνον μέν τινα προῆγεν.* III, 24, 1 *προῆγεν ὡς ἐπὶ τοὺς Μαρδούς.* V, 16, 3 *οὐκ ἔγνω προάγειν.* Contra I, 2, 3 *προσάγοντος τοῦ Ἀλεξάνδρου πεφευγότες ἦσαν.* I, 7, 9 *προσῆγε πρὸς τὴν πόλιν.* III, 9, 4 *ὡς ἐξηγγέλθη αὐτῷ προσάγων.* VI, 29, 9 *προσῆγε τὴν στρατιὰν κατὰ τὴν πρόσβασιν.* V, 16, 1 *ἀναλαμβάνειν τοὺς ἀεὶ προσάγοντας.* Vide quae dicta sunt de *προβῆναι* et *προσβῆναι* ab interpretibus ad Soph. Philoct. v. 42. Inde etiam integrum censeo quod legitur apud Paus. I, 16, 2 *ὡς προσιὼν ὁ Σελεύκου στρατὸς ἐγένετο κατὰ Λυσιμαχίαν*, quamquam Siebelisius legendum censet *προϊών*. — Supra ed. Bas. *τὸν σύλλογον.*

καὶ τοὺς Πέρσας] Sic recte edd. Basil. Vulc. Blanc. Schmied. Articulo carent rell. edd. Quod mendum a Gronovio propagatum est.

4. *πεδίον — ἀναπεπταμένον*] Saepe dicitur huius verbi participium de campis late patentibus et apertis. Xen. Hist. Gr. IV, 1, 15 *καὶ θῆραι αἱ μὲν ἐν περιειργμένοις παραδείσοις, αἱ δὲ καὶ ἀναπεπταμένοις τόποις.* Arr. Cyneg. c. XVII *οἱ ἐν τοῖς περιφανέσι καὶ ἀναπεπταμένοις τὰς εὐνὰς ἔχοντες.* Fragm. apud Suid. s. v. *ἀπρόσμαχος· καὶ Ῥωμαίους ἐν πεδίοις ἀναπεπταμένοις αἰσθήσεσθαι.* Cf. Diod. Sic. V, 40 *πεδίοις ἀναπεπταμένοις ἐγκάθηται.* XV, 64 *καὶ κατ' ἄλλους τόπους πεπταμένους διελθόντες.*

5. *Ἀμύντας ὁ Ἀντιόχου*] Ita Gronovius et post eum omnes editores. In edd. Bas. Vulc. Blanc. legebatur *ὁ τοῦ Ἀντιόχου,*

λος· εἶναι γὰρ τὴν εὐρυχωρίαν πρὸς τοῦ πλήθους τε καὶ
6 τῆς σκευῆς τῶν Περσῶν. Καὶ ἔμενε Δαρεῖος. Ὡς δὲ
Ἀλεξάνδρῳ πολλὴ μὲν ἐν Ταρσῷ τριβὴ ἐπὶ τῇ νόσῳ ἐγί-
γνετο, οὐκ ὀλίγη δὲ ἐν Σόλοις ἵνα ἔθυέ τε καὶ ἐπόμπευε
καὶ ἐπὶ τοὺς ὀρεινοὺς Κίλικας διέτριψεν ἐξελάσας, τοῦτο
7 ἔσφηλε Δαρεῖον τῆς γνώμης. Καὶ αὐτός τε ὅτιπερ ἥδι-
στον ἦν δοξασθὲν ἐς τοῦτο οὐκ ἀκουσίως ὑπήχθη· καὶ
ὑπὸ τῶν καθ' ἡδονὴν ξυνόντων τε καὶ ξυνεσομένων ἐπὶ
κακῷ τοῖς ἀεὶ βασιλεύουσιν ἐπαιρόμενος ἔγνω μηκέτι Ἀλέξ-
ανδρον ἐθέλειν προϊέναι τοῦ πρόσω, ἀλλ' ὀκνεῖν γὰρ πυν-
8 θανόμενον ὅτι αὐτὸς προσάγοι· καταπατήσειν τε τῇ ἵππῳ

---

certe non ex Arriani more. Cf. I, 17, 11 *Ἀμύντας ὁ Ἀντιόχου.* II, 13, 2 *Ἀμύντας δὲ ὁ Ἀντιόχου.* Adde III, 5, 6, 7. III, 6, 7, 8 cett.

τῆς σκευῆς τῶν Περσῶν] Ex edd. vett. et quattuor codd. Gronovii. *τῆς ἐπισκευῆς* cod. F. et ex eo Schmiederus. Gronovius enim: »Sane aliquoties, inquit, auctor adhibet istud substantivum, sed alia notione, quam hic desideratur, ut VII, 6, 4 *Πευκέστας ὁ Περσῶν σατράπης τῇ τε σκευῇ καὶ τῇ φωνῇ περσίζων.* Et cap. 13, 4 *καὶ ταύτας σκευῇ ἀνδρῶν ἱππέων ἐσταλμένας.* Et cap. 15, 5 *Ἰβήρων, ὧν τά τε ὀνόματα καὶ τὰς σκευὰς τότε πρῶτον ὀφθῆναι.* Et c. 29, 8 *ἔμοιγε καὶ ἡ Περσικὴ σκευὴ σόφισμα εἶναι δοκεῖ.* Hist. Ind. c. 8 *τὴν σκευὴν δὲ — ἥντινα ἐφόρεε.* Adeo valde in arctum redigitur significatio eius vocis ab Arriano, ut modo notet ornatum habitumque corporis in uno vel pluribus, quum hoc loco notet omnem apparatum bellicum. Hinc vide, an non Arriani manus ipsa fuerit, quam nobis praebet cod. Opt.« — Iam cum omnes reliqui codices et edd. vett. codicem F. deserant, in vulgata acquiescendum putem. Sed accedit, quod nomen *ἐπισκευή* et verbum *ἐπισκευάζειν* semper fere dicuntur de *iis quae restaurantur, reficiuntur.* Hist. Ind. XXXIII, 9 *τὰς νέας ἀνώλκεον ἐπισκευῆς ἕνεκα, ὅσαι αὐτῶν — πεπονήκεσαν.* Exp. V, 29, 8 *τῶν πόλεων ὅσα πεπονηκότα ἦν, — ἐπεσκεύασε.* VI, 5, 8 *καὶ ἐπισκευάσας τὰς πεπονηκυίας τῶν νεῶν.* VI, 15, 8 *τὰ πλοῖα — ἐπεσκευάσθησαν.* Sic Herodot. II, 174 *ἐς ἐπισκευὴν τούτων τῶν ἱρῶν ἐδίδου οὐδέν.* Nec aliter Xenoph. Anab. V, 4, 13 *ἐκ τοῦ περιττοῦ τὸν ναὸν ἐπισκευάζειν.* De rep. Ath. III, 4 *εἴ τις τὴν ναῦν μὴ ἐπισκευάζει.* Favet etiam vulgatae quod habet Suidas s. v. *σκευή· ὅπλισις ἢ στολή.* Quid enim impedit, quominus *σκευή* dictum existimemus de armis et vestimentis quibus instructi fuerunt Persae; quemadmodum VII,

τῶν Μακεδόνων τὴν στρατιὰν ἄλλος ἄλλοθεν αὐτῷ ἐπαίροντες ἐπέλεγον· καίτοι γε Ἀμύντας ἥξειν τε Ἀλέξανδρον ἰσχυρίζετο ὅπου ἂν πύθηται Δαρεῖον ὄντα, καὶ αὐτοῦ προσμένειν ἐκέλευεν. Ἀλλὰ τὰ χείρω μᾶλλον, ὅτι καὶ ἐν 9
τῷ παραυτίκα ἡδίω ἀκοῦσαι ἦν, ἔπειθε· καί τι καὶ δαιμόνιον τυχὸν ἦγεν αὐτὸν εἰς ἐκεῖνον τὸν χῶρον, οὗ μήτε ἐκ τῆς ἵππου πολλὴ ὠφέλεια αὐτῷ ἐγένετο μήτε ἐκ τοῦ πλήθους αὐτοῦ τῶν τε ἀνθρώπων καὶ τῶν ἀκοντίων τε καὶ τοξευμάτων, μηδὲ τὴν λαμπρότητα αὐτῆς τῆς στρατιᾶς ἐπιδεῖξαι ἐδυνήθη, ἀλλὰ Ἀλεξάνδρῳ τε καὶ τοῖς ἀμφ᾽ αὐτὸν εὐμαρῶς τὴν νίκην παρέδωκεν. Ἐχρῆν γὰρ ἤδη καὶ 10

15, 5 Ἰβήρων σκευαί omnia complectuntur, quae tum ad cultum corporis, tum ad bellum gerendum sint necessaria. Cf. Herod. VII, 66 Πάρθοι δὲ τὴν αὐτὴν σκευὴν ἔχοντες τὴν οἱ Βάκτριοι, ἐστρατεύοντο.

6. διέτριψεν ἐξελάσας] Edd. Schmied. et Borheck. διέτρειψεν. — Enunciatum quod sequitur, sic interpreter: *Et ipse quidem in eam sententiam, quae iucundissima ei erat, haud aegre adductus est, siquidem ab iis, qui ad voluptatem tantum adsunt aderuntque regibus, damno eorum, commotus sibi persuaserat* —.

7. ὅτι αὐτὸς προσάγοι] Ed. Bas. προσάγει. Non minus apte. Cf. VI, 6, 7 ὡς μηδ᾽ ἀγγέλους — γενέσθαι τοῖς ἄλλοις βαρβάροις, ὅτι προσάγει ἤδη Ἀλέξανδρος. Vid. ann. ad II, 26, 9.

8. ἐπαίροντες ἐπέλεγον] Forte tantum factum videtur, ut apud Vulcanium et Blancardum ἔλεγον scriptum sit. Codices Gronovii, etiam cod. Aug. Vulcanii et ed. Basil. recte retinent ἐπέλεγον. V. III, 30, 9 καὶ ἐπιλέγειν αὐτὰ ἐκεῖνα. Xen. Anab. I; 9, 26 ἐπιλέγειν κελεύων τὸν φέροντα. Cyrop. I, 3, 7 ἐπιλέγοντα ἑκάστῳ. Appian. rerr. Syrr c. XXXIX βεβαιοῦσαί τε καὶ περὶ τῶν ἀορίστων ἐπιλέγουσαι. Neque, si omnes codices tenerent ἔλεγον, vulgata removenda esset. Hoc enim dicit Arrianus: Darius iam sibi persuaserat, Alexandrum ulterius progredi nolle, quod adventum suum comperisset. Sed alii alia *insuper dicebant,* quo magis illud crederet.

9. ἔπειθε] Ed. Bas. ἔπαθε. Mox eadem μὴ δέ pro μηδέ.

10. ἐχρῆν — ἀρχήν] Respexit fortasse hunc locum Suidas s. v. ἔστε. οἱ δὲ τῆς Ἀσίας ἦρχον, ἔστε ὑπὸ τῶν Μακεδόνων τὴν ἀρχὴν ἀφῃρέθησαν. — Pro καθαπεροῦν ed. Bas. καθάπερ οὖν.

Πέρσας πρὸς Μακεδόνων ἀφαιρεθῆναι τῆς Ἀσίας τὴν ἀρχὴν, καθαπεροῦν Μῆδοι μὲν πρὸς Περσῶν ἀφηρέθησαν, πρὸς Μήδων δὲ ἔτι πρόσθεν Ἀσσύριοι.

VII. Ὑπερβαλὼν δὴ τὸ ὄρος Δαρεῖος τὸ κατὰ τὰς πύλας τὰς Ἀμανικὰς καλουμένας ὡς ἐπὶ Ἰσσὸν προῆγε, καὶ ἐγένετο
2 κατόπιν Ἀλεξάνδρου λαθών. Τὴν δὲ Ἰσσὸν κατασχὼν, ὅσους διὰ νόσον ὑπολελειμμένους αὐτοῦ τῶν Μακεδόνων κατέλαβε, τούτους χαλεπῶς αἰκισάμενος ἀπέκτεινεν· ἐς δὲ τὴν ὑστεραίαν προὐχώρει ἐπὶ τὸν ποταμὸν τὸν Πίναρον.
3 Καὶ Ἀλέξανδρος ὡς ἤκουσεν ἐν τῷ ὄπισθεν αὐτοῦ ὄντα τὸν Δαρεῖον, ἐπεὶ οὐ πιστὸς αὐτῷ ὁ λόγος ἐφαίνετο, ἀναβιβάσας εἰς τριακόντορον τῶν ἑταίρων τινὰς ἀποπέμπει ὀπίσω ἐπὶ Ἰσσὸν κατασκεψομένους εἰ τὰ ὄντα ἐξαγγέλ-
4 λεται. Οἱ δὲ ἀναπλεύσαντες τῇ τριακοντόρῳ, ὅτι κολπώδης ἦν ἡ ταύτῃ θάλασσα, μᾶλλόν τι εὐπετῶς κατέμαθον

C. VII. *καὶ ἐγένετο — λαθών*] »*Erat a tergo Alexander clam* sc. utroque. Nec Darius sciebat se a tergo Alexandri esse, nec Alexander sibi Darium.« *Schmied.* Quod quomodo in Arriani verbis inesse possit, ego quidem non video. Hic potius est loci sensus: *clam a tergo Alexandri fuit.* Sic saepe locutus est. I, 20, 8 *εἰ τὴν Μύνδον — δύναιτο λαθὼν κατασχεῖν.* I, 6, 20 *λαθὼν διαβαίνει τὸν ποταμόν.* IV, 27, 10 *ὅτι — παριέναι ἐς τὰ Ὧρα λαθόντες μέλλουσι.* Plenius dixit III, 2, 8 *ἀπέδρα λαθὼν τοὺς φύλακας.* Et verum iam discere potuit Schm. a Raphelio.

2. *ἐς δὲ τὴν ὑστεραίαν*] Qui hac formula pro vulgato *τῇ δὲ ὑστεραίᾳ* tam crebro usus sit, quam Arrianus, praeter Xenophontem (vid. Krueg. ad Anab. I, 7, 1) novi neminem. Vide modo IV. 30, 1. IV, 30, 11. VI, 18, 9. VII, 17, 11. Cf. III, 19, 9 *ἐς πέμπτην ἡμέραν,* et ann. ad III, 18, 4.

3. *εἰ τὰ ὄντα ἐξαγγέλλεται*] i. e. *num vera nunciarentur.* I, 7, 4 *ὥστε οὐ γιγνώσκοντες τὰ ὄντα — εἴκαζον.* V, 4, 7 *ἐφ' ἡδονῇ μᾶλλον, ἢ ἐς ἀφήγησιν τῶν ὄντων.* Cf. Xen. Anab. IV, 4, 15 *ἀληθεῦσαι — , τὰ ὄντα τε ὡς ὄντα καὶ τὰ μὴ ὄντα ὡς οὐκ ὄντα.*

5. *ὁ δὲ συγκαλέσας — παρεκάλει*] Paulo accuratius duces distinctos vides III, 9, 7 *καὶ ξυγκαλέσας αὐτούς τε τοὺς ἑταίρους καὶ στρατηγοὺς καὶ ἰλάρχας καὶ τῶν ξυμμάχων τε καὶ τῶν μισθοφόρων ξένων τοὺς ἡγεμόνας.* Conferas II, 16, 12 *ξυναγαγὼν τούς τε ἑταίρους καὶ τοὺς ἡγεμόνας καὶ ταξιάρχας καὶ ἰλάρχας, ἔλεξεν ὧδε.*

αὐτοῦ στρατοπεδεύοντας τοὺς Πέρσας· καὶ ἀπαγγέλλου-
σιν Ἀλεξάνδρῳ ἐν χερσὶν εἶναι Δαρεῖον. Ὁ δὲ συγκαλέ- 5
σας στρατηγούς τε καὶ ἰλάρχας καὶ τῶν ξυμμάχων τοὺς
ἡγεμόνας, παρεκάλει θαῤῥεῖν μὲν ἐκ τῶν ἤδη σφίσι κα-
λῶς κεκινδυνευμένων καὶ ὅτι πρὸς νενικημένους ὁ ἀγὼν
νενικηκόσιν αὐτοῖς ἔσται· καὶ ὅτι ὁ θεὸς ὑπὲρ σφῶν στρα- 6
τηγεῖ ἄμεινον, ἐπὶ νοῦν Δαρείῳ ἀγαγὼν καθεῖρξαι τὴν
δύναμιν ἐκ τῆς εὐρυχωρίας ἐς τὰ στενόπορα, ἵνα σφίσι
μὲν ξύμμετρον τὸ χωρίον ἀναπτύξαι τὴν φάλαγγα, τοῖς
δὲ ἀχρεῖον τὸ πλῆθος ὅτι ἔσται τῇ μάχῃ, οὔτε τὰ σώματα
οὔτε τὰς γνώμας παραπλησίοις. Μακεδόνας τε καὶ Πέρσαις 7
καὶ Μήδοις ἐκ πάνυ πολλοῦ τρυφῶσιν αὐτοὺς ἐν τοῖς πόνοις
τοῖς πολεμικοῖς πάλαι ἤδη μετὰ κινδύνων ἀσκουμένους ἄλ-
λως τε καὶ δούλοις ἀνθρώποις ἐλευθέρους ἐς χεῖρας ἥξειν.
Ὅσοι τε Ἕλληνες Ἕλλησιν, οὐχ ὑπὲρ τῶν αὐτῶν μαχεῖ- 8

ὅτι πρὸς νενικημένους ὁ ἀγὼν νενικηκόσιν — ἔσται] Verba νε-νικημ. ὁ ἀγὼν in edd. ante Gronovium desiderabantur. Cod. vet. Vulc. et ed. Bas. προσνενικηκόσιν. Supplevit lacunam Gronovius e cod. F. Vide eius Suppl. lacunn. p. 169.

6. ὅτι — στρατηγεῖ ἄμεινον] Hic comparativus eodem modo accipiendus est, ut solennis ille in oraculorum consultationibus et responsis. Cf. Thucyd. I, 118 ἐπηρώτων τὸν θεὸν, εἰ πολεμοῦσιν ἄμεινον ἔσται. Herodot. IV, 156 ἡ δὲ Πυθίη σφι ἔχρησε — ἄμεινον πρήξειν. Vide Valck. ad Herod. II, 46. Goell. ad Thucyd. l. l. Krueg. ad Xen. Anab. V, 10, 15.

τοῖς δὲ — ὅτι ἔσται] Particula ὅτι offendat, si totius enunciati nexum respicias. Verba enim ἀχρεῖον — ἔσται referenda esse videntur ad praecedens ἵνα: *ubi Macedonibus commodus esset ad phalangem explicandam locus, hostibus vero tanta multitudo ad pugnandum inutilis.* Constructionem autem mutavit Arrianus propterea, quod in hac altera enunciati parte causam inesse voluit eorum quae supra dixerat καθεῖρξαι — ἐς τὰ στενόπορα.

7. Μακεδόνας τε] Similem enunciatorum coniunctionem vide I, 9, 6 sqq. Λακεδαιμονίων τε αὖ — πταῖσμα —· ἥ τε ξὺν Ἐπαμεινώνδᾳ προσβολή —· ἡ δὲ δὴ Πλαταιέων ἅλωσις. — Infra ed. Bas. habet κατὰ κινδύνων.

8. Ὅσοι τε Ἕλληνες Ἕλλησιν] Tertiam vocem male neglexit ed. Bas. Ceterum cogitando adde ex praecedentibus ἐς χεῖρας ἥξουσιν.

σθαι, ἀλλὰ τοὺς μὲν ξὺν Δαρείῳ ἐπὶ μισθῷ καὶ οὐδὲ τούτῳ πολλῷ κινδυνεύοντας, τοὺς δὲ ξὺν σφίσιν ὑπὲρ τῆς
9 Ἑλλάδος ἑκόντας ἀμυνομένους· βαρβάρων τε αὖ Θρᾷκας καὶ Παίονας καὶ Ἰλλυριοὺς καὶ Ἀγριᾶνας τοὺς εὐρωστοτάτους τε τῶν κατὰ τὴν Εὐρώπην καὶ μαχιμωτάτους πρὸς τὰ ἀπονώτατά τε καὶ μαλακώτατα τῆς Ἀσίας γένη ἀντιτάξασθαι· ἐπὶ δὲ Ἀλέξανδρον ἀντιστρατηγεῖν Δαρείῳ.
10 Ταῦτα μὲν οὖν ἐς πλεονεξίαν τοῦ ἀγῶνος ἐπεξῄει. Τὰ δὲ ἆθλα ὅτι μεγάλα ἔσται σφίσι τοῦ κινδύνου ἐπεδείκνυεν. Οὐ γὰρ τοὺς σατράπας τοὺς Δαρείου ἐν τῷ τότε κρατήσειν οὐδὲ τὴν ἵππον τὴν ἐπὶ Γρανικῷ ταχθεῖσαν οὐδὲ τοὺς δισμυρίους ξένους τοὺς μισθοφόρους, ἀλλὰ Περσῶν τε ὅτιπερ ὄφελος καὶ Μήδων καὶ ὅσα ἄλλα ἔθνη Πέρσαις καὶ Μήδοις ὑπήκοα ἐποικεῖ τὴν Ἀσίαν, καὶ αὐτὸν μέγαν βασιλέα παρόντα, καὶ ὡς οὐδὲν ὑπολειφθήσεταί

---

9. *τοὺς εὐρωστοτάτους τῶν κατά* —] Articulum ante praepositionem primus inseruit Schmiederus e cod. F. Cf. I, 3, 1 *ποταμῶν τῶν κατὰ τὴν Εὐρώπην μέγιστον ὄντα.* Diod. Sic. XVII, 23 *αὕτη δὲ ἡ πόλις μεγίστη τῶν κατὰ τὴν Καρίαν ἦν.* — Paulo ante ed. Bas. *Ἀγριάνας.*

Ταῦτα μὲν — ἐπεξῄει] *Atquae haec quidem ad proelii meliorem conditionem indicandam commemoravit.* Verbo *ἐπεξιέναι*, quod Xenophonti semper propria sua significatione dicitur de eo, qui e regione quadam progreditur ad persequendum hostem, Arrianus ut hic, ita infra §. 11 *μεταφορικῶς* usus est, ut significet *oratione persequi*, plane ut apud Thucydidem *ἐπεξελθεῖν* reperitur III, 67 *καὶ ταῦτα — τούτου ἕνεκα ἐπεξήλθομεν*, et apud Xenophontem *ἐπανελθεῖν*, vit. Ages. XI, 1 *ἐν κεφαλαίοις ἐπανελθεῖν βούλομαι.*

10. *Περσῶν τε ὅτιπερ ὄφελος*] Cf. V. 15, 8 *τῶν πεζῶν ὅτιπερ ὄφελος*, ubi vide ann. — Mox ante *μέγαν βασιλέα* post *αὐτόν* facile quis suspicetur excidisse articulum. At cum semper diceretur de rege Persarum *βασιλεύς* s. *μέγας βασιλεύς*, causa nulla fuit, quare, cum pronomen accederet, articulus adderetur. Cf. II, 14, 4 *αὐτὸς δὲ βασιλεύς.* De Alexandro rege recte V, 15, 6 *καὶ αὐτὸν τὸν βασιλέα.* Vid. ann. ad I, 22, 7.

11. *ξὺν λαμπρότητι*] Nihil aliud fere haec significant, quam simplex adverbium *λαμπρῶς*, ut III, 15, 7 *λαμπρῶς ἀγωνισάμενοι.* V, 18, 1 *ὡς νικῶντα λαμπρῶς Ἀλέξανδρον κατεῖδον.* Et cum semel

σφισιν ἐπὶ τῷδε τῷ ἀγῶνι ὅτι μὴ κρατεῖν τῆς Ἀσίας ξυμπάσης καὶ πέρας τοῖς πολλοῖς πόνοις ἐπιθεῖναι. Ἐπὶ 11
τούτοις δὲ τῶν τε εἰς τὸ κοινὸν ξὺν λαμπρότητι ἤδη πεπραγμένων ὑπεμίμνησκε. Καὶ εἰ δή τῳ ἰδίᾳ τι διαπρεπὲς ἐς κάλλος τετολμημένον, ὀνομαστὶ ἕκαστον ἐπὶ τῷ ἔργῳ ἀνακαλῶν καὶ τὸ αὑτοῦ οὐκ ἀκίνδυνον ἐν ταῖς μάχαις ὡς ἀνεπαχθέστατα ἐπεξῄει. Λέγεται δὲ καὶ Ξενο- 12
φῶντος καὶ τῶν ἅμα Ξενοφῶντι μυρίων ἐς μνήμην ἐλθεῖν, ὡς οὐδέν τι οὔτε κατὰ πλῆθος οὔτε κατὰ τὴν ἄλλην ἀξίωσίν σφισιν ἐπεοικότες· οὐδὲ ἱππέων αὐτοῖς πα- 13
ρόντων Θεσσαλῶν οὐδὲ Βοιωτῶν ἢ Πελοποννησίων, οὐδὲ Μακεδόνων ἢ Θρᾳκῶν, οὐδ᾽ ὅση ἄλλη σφίσιν ἵππος ξυντέτακται· οὐδὲ τοξοτῶν ἢ σφενδονητῶν ὅτι μὴ Κρητῶν ἢ Ῥοδίων ὀλίγων, καὶ τούτων ἐν τῷ κινδύνῳ ὑπὸ Ξενοφῶντος αὐτοσχεδιασθέντων· οἱ δὲ βασιλέα τε ξὺν πάσῃ τῇ 14

---

huius rei mentionem iniecerimus, ut Arriani morem loquendi paulo accuratius cognoscas, similia hic addere lubet. I, 9, 10 ξὺν οὐδενὶ λογισμῷ (cf. IV, 5, 5 οὐδενὶ λογισμῷ). II, 11, 5 σὺν ἀταξίᾳ (cf. ἀτάκτως I, 13, 7. IV, 16, 12). III, 18, 19 σὺν δίκῃ. III, 22, 8 σὺν ἀτιμίᾳ. III, 26, 7 σὺν χάριτι. III, 28, 2 σὺν ἀπορίᾳ. IV, 8, 12 ξὺν ὀργῇ. IV, 18, 10 σὺν γέλωτι. IV, 25, 1 ξὺν πόνῳ. I, 8, 7 et IV, 26, 13 σὺν βοῇ. V, 26, 7 ξὺν ἀρετῇ. VII, 11, 8 σὺν οἰμωγῇ. Unde mirum sane, cur semper dixerit σπουδῇ, ut III, 17, 6. IV, 9, 12. IV, 4, 13 etc., vel κατὰ σπουδήν, ut III, 29, 12. IV, 8, 8, nuspiam vero σὺν σπουδῇ, ne tum quidem, cum adiectivum additum est, ut πλείονι σπουδῇ VI, 17, 9 et σπουδῇ πολλῇ VI, 25, 5. Et huc spectant quoque βίᾳ V, 20, 14 etc. et πρὸς βίαν IV, 21, 20. πολλῷ τάχει III, 17, 6. Quemadmodum vero dixit οὐδενὶ λογισμῷ et σὺν οὐδενὶ λογισμῷ, discrimine fere nullo, sic dixit οὐδενὶ κόσμῳ IV, 5, 12; sed ξὺν οὐδενὶ κόσμῳ IV, 26, 4. Quibus adde ἐν κόσμῳ V, 14, 1. VII, 23, 4. Cf. Buttm. ad Sophocl. Philoct. v. 60. — Mox ed. Basil. εἰδήτω. Praeterea pro puncto quod post ὑπεμίμνησκε positum erat, comma scripsi, cum sequentia cum praegressis arctissime cohaereant.

12. ὡς οὐδέν τι — ἐπεοικότες] Exspectabas ἐπεοικότων. Sed anacoluthorum id genus multa exstant apud optimos quosque scriptores exempla. Cf. Math. Gr. Gr. ub. p. 1095 sqq. Vide infra §. 14.

δυνάμει πρὸς Βαβυλῶνι αὐτῇ ἐτρέψαντο, καὶ ἔθνη ὅσα ἄλλα κατιόντων εἰς τὸν Εὔξεινον πόντον καθ' ὁδόν σφισιν ἐπεγένετο, νικῶντες ἐπῆλθον· ὅσα τε ἄλλα ἐν τῷ τοιῷδε πρὸ τῶν κινδύνων ἐς παράκλησιν ἀνδράσιν ἀγαθοῖς ἐξ ἀγαθοῦ ἡγεμόνος παραινεῖσθαι εἰκός. Οἱ δὲ ἄλλος ἄλλοθεν δεξιούμενοί τε τὸν βασιλέα καὶ τῷ λόγῳ ἐπαίροντες ἄγειν ἤδη ἐκέλευον.

VIII. *Ὁ δὲ τότε μὲν δειπνοποιεῖσθαι παραγγέλλει, προπέμπει δὲ [ὡς ἐπὶ τὰς πύλας,] τῶν ἱππέων ὀλίγους καὶ τῶν τοξοτῶν προκατασκεψομένους τὴν ὁδὸν τὴν ὀπίσω ὡς ἐπὶ τὰς πύλας· καὶ αὐτὸς τῆς νυκτὸς ἀναλαβὼν*

14. *ὅσα ἄλλα* —] Recte sic scripsit Schmiederus ex auctoritate codicis F. In edd. ante Schmiederum et in ceteris codicibus male omissum erat *ἄλλα*. At cf. III, 18, 1 *καὶ ὅσοι ἄλλοι — βαρύτερον ὡπλισμένοι.* III, 26, 4 *καὶ ὅσοι ἄλλοι μετέσχον.* VI, 2, 8 *καὶ ὅσα ἄλλα ποτάμια.* VII, 13, 7 *καὶ ὅσα ἄλλα ὁρμώμενοι.*

κατιόντων — σφίσιν ἐπεγένετο] Cave credas Schmiedero, post *κατιόντων* excidisse pronomen *αὐτῶν*. Saepe enim ita *ἀνακολούθως* loquuntur Graeci. Xen. Anab. IV, 3, 17 *ἀπιόντων δὲ πάντες ἐπιστάμεθα.* Thuc. VII, 48 *χρημάτων γὰρ ἀπορίᾳ αὐτοὺς ἐκτρυχώσειν —, ἄλλως τε καὶ θαλασσοκρατούντων.* Plenius Xen. Anab. V, 2, 24 *μαχομένων δ' αὐτῶν — θεῶν τις αὐτοῖς μηχανὴν σωτηρίας δίδωσιν.* Plura si cupis, adi Schaef. ad Bos. Ell. p. 855; ad Demosth. t. II, p. 202. Popp. proll. ad Thuc. t. I, p. 120. Voss. ad hymn. in Cerer. v. 37; ad Arat. v. 90; et, qui hanc disquisitionem accuratissime absolvit, Fritzsch. Qu. Lucc. p. 173 sqq.

νικῶντες ἐπῆλθον] Ita cod. F. Vulgata *ἀπῆλθον* nulla ratione defendi potest. Cf. III, 28, 1 *ἐπῆλθε δὲ καὶ τῶν Ἰνδῶν τοὺς προσχώρους.* VII, 13, 7 *οἱ Ἕλληνες ἐπῆλθον ἔθνη βαρβαρικά.* Eadem praepositionum in eodem verbo confusio notata est III, 18, 17.

C. VIII. *προπέμπει δὲ [ὡς ἐπὶ τὰς πύλας]* »Admodum dubito, an non quatuor ultimae voces nothae sint, quum statim in hac eadem periodo sequantur.« *Gronov.* Non potuimus, quin Gronovio assentiremur. Unde uncis includi curavimus illa verba ut suspecta, Schmiederum secuti. — Mox post *ὀλίγους* in ed. Bas. legebatur *τῇ*, nullo sensu. Inde Vulcanius scripsit *ὀλίγους τινάς*, non male, quamquam ex codicis alicuius auctoritate illam scripturam receptam esse non ita mihi verisimile est. Vide tamen I, 8, 13 *ὀλίγον μέν τινα χρόνον.* III, 21, 14 *ὀλίγοι μέν τινες*, coll. I, 6, 8 *τινὲς οὐ πολλοί.*

τὴν στρατιὰν πᾶσαν ᾔει, ὡς κατασχεῖν αὖθις τὰς πύλας. Ὡς δὲ ἀμφὶ μέσας νύκτας ἐκράτησεν αὖθις τῶν παρόδων, 2
ἀνέπαυε τὴν στρατιὰν τὸ λοιπὸν τῆς νυκτὸς, αὐτοῦ ἐπὶ τῶν πετρῶν προφυλακὰς ἀκριβεῖς καταστησάμενος· ὑπὸ δὲ τὴν ἕω κατῄει ἀπὸ τῶν πυλῶν κατὰ τὴν ὁδόν· καὶ 3
ἕως μὲν πάντῃ στενόπορα ἦν τὰ χωρία, ἐπὶ κέρως ἦγεν· ὡς δὲ διεχώρει ἐς πλάτος, ἀνέπτυσσεν ἀεὶ τὸ κέρας ἐς φάλαγγα, ἄλλην καὶ ἄλλην τῶν ὁπλιτῶν τάξιν παράγων, τῇ μὲν ὡς ἐπὶ τὸ ὄρος, ἐν ἀριστερᾷ δὲ ὡς ἐπὶ τὴν θάλασσαν. Οἱ δὲ ἱππεῖς αὐτῷ τέως μὲν κατόπιν τῶν πε- 4
ζῶν τεταγμένοι ἦσαν· ὡς δὲ ἐς τὴν εὐρυχωρίαν προῄεσαν,

Pronomen indefinitum cum Schmiedero reiecimus, quia omnes codices Gronovii eo carent, idemque Vulcanium testari ex novissima collatione codicis Augustani nobis prodidit Gronovius. — Pro *κατασκεψομένους* ed. Bas. *κατασκεψόμενοι*, et pro *ᾔει* eadem habet *εἴει*.

3. *ἐπὶ κέρως ἦγεν*] »*ἐπὶ κέρως ἄγειν* est aciem ita ducere, ut in fronte totius phalangis totidem vel non multo plures armati incederent, quam in uno cornu solent. Unde non male redditur *angustam aciem ducere.* Vocatur huiusmodi acies *recta.* Ael. Tact. c. 30 *ὀρθία δέ ἐστι φάλαγξ, ὅταν ἐπὶ κέρας πορεύηται. Ἐπὶ κέρως* et *ἐπὶ μετώπου* opponuntur apud Lucian. de conscr. hist. t. II, p. 375 et 382.« *Raphel.* *Ἐπὶ κέρως* et *ἐπὶ κέρας* sensu eodem dici docuit Valck. ad Herod. VI, 12. De formula *ἐπὶ κέρως ἄγειν* vide Schweigh. ad Herod. l. l., ad Athenae. XIII, p. 568, E, et Goell. ad Thucyd. VI, 32.

ἀνέπτυσσεν — παράγων] Vulcanio et qui eum secuti sunt, recte contradixit Raphelius locum sic interpretatis: *explicuit subinde cornu, alium atque alium ordinem armatorum adducens in phalangem.* Nimirum verba *ἐς φάλαγγα* referenda sunt ad *ἀνέπτυσσεν*, ut hic sit loci sensus: *explicabat ergo subinde cornu in phalangem, alium — — adducens, promovens.* Cf. Krueg. ad Xen. Anab. IV, 3, 26 *παρ' ἀσπίδας παραγαγόντας τὴν ἐνωμοτίαν ἐπὶ φάλαγγος.* Adde Arr. II, 9, 7 *καὶ τοὺς τοξότας δὲ — παραγαγὼν ἐξέτεινε τὴν φάλαγγα.*

4. *τέως μὲν —· ὡς δέ*] Haec dicendi formula a Xenophonteo *τέως μὲν — ἐπεὶ δέ* colorem duxit. Hist. Gr. IV, 2, 19 *τέως μὲν — οὐκ ᾐσθάνοντο —· ἐπεὶ δὲ ἐπαιάνισαν.* Anab. V, 4, 16 *τέως μὲν ἡσύχαζον· ἐπεὶ δ' ἐγγὺς ἐγένοντο.* Vide Arr. II, 6, 4 sqq.

5 *συνέτασσεν ἤδη τὴν στρατιὰν ὡς ἐς μάχην· πρώτους μὲν*
ἐπὶ τοῦ δεξιοῦ κέρως πρὸς τῷ ὄρει τῶν πεζῶν τό τε
ἄγημα καὶ τοὺς ὑπασπιστὰς ὧν ἡγεῖτο Νικάνωρ ὁ Παρ-
μενίωνος, ἐχομένην δὲ τούτων τὴν Κοίνου τάξιν, ἐπὶ δὲ
τούτοις τὴν Περδίκκου. Οὗτοι μὲν ἔς τε ἐπὶ τὸ μέσον
τῶν ὁπλιτῶν ἀπὸ τοῦ δεξιοῦ ἀρξομένῳ τεταγμένοι ἦσαν.
6 *Ἐπὶ δὲ τοῦ εὐωνύμου πρώτη μὲν Ἀμύντου τάξις ἦν, ἐπὶ*
7 *δὲ ἡ Πτολεμαίου, ἐχομένη δὲ ταύτης ἡ Μελεάγρου. Τοῦ*

τέως μὲν διέτριβεν· — ὡς δὲ ἐγίγνετο. Cf. II, 27, 1. III, 7, 2, 4. III, 14, 1. III, 21, 15.

5. *ἐχομένην δὲ τούτων*] Ed. Bas. *ἐχομένων.*

ἀρξομένῳ] Freinshemius ad Curt. III, 9, 7 et Blancardus, cum sensum enunciati non intelligerent, ante *τοῦ δεξιοῦ* interponi iusserunt *αὐτῷ* sc. *Ἀλεξάνδρῳ*, ut esset: *hoc ad medios usque ordines ipse dextro cornui praefuturus statuerat.* Vulcanius in margine editionis a Stephano paratae coniecit *ἀρξαμένῳ*, sensum loci et ipse non assecutus. »Etenim, quod palmarium videri potest, nunquam aliquo in loco Arrianus verbo isto *ἀρξάμενος* vel *ἀρξόμενος* et ea figura utitur, ut uspiam per id intelligat *praefuturus* aut aliquid aliud derivatum a *praeesse.* Ecce loca omnia. II, 19, 10 *τό τε χῶμα ἀπὸ τῆς ἠπείρου ἀρξάμενος.* III, 21, 14 *ἄγειν ἀρξάμενος.* IV, 29, 13 *ἀρξάμενος ἀπὸ τῆς κορυφῆς.* V, 1, 6 *ἀρξάμενος λέγειν.* Hist. Ind. 33, 10 *ἀπὸ τοῦ ποταμοῦ τῆς ὄχθης ἀρξάμενος.* At vero *ἄρχεσθαι* et *ἀρχόμενος* sic ab Arriano adhibentur, ut nunc significent *regi* et *subiectus*, nunc *incipere* et *incipiens.* Id quoque patet partim ex IV, 11, 1. V, 5, 2. VI, 1, 4. VII, 9, 2, partim ex V, 25, 2. VI, 27, 11. VII, 5, 3. Itaque vertimus: *hos quidem ad medios usque gravis armaturae ordines ab dextra inchoaturo locaverat.*« *Gronov.* Hunc solum esse verum loci sensum hodie quisque noverit. Similiter dixit Arrianus I, 2, 1 *ἀπέχει δὲ οὗτος ὡς ἐπὶ τὸν Αἷμον ἰόντι.* VII, 17, 9 *ὅτι τὰ ἀπὸ δυσμῶν ἐσιόντι — ὑλώδη ἦν.* De usu et constructione verbi *ἄρχεσθαι* vide quae dixit Lennep. ad Phalar. p. 69. De discrimine inter *ἄρχειν* et *ἄρχεσθαι*, cum utrumque significat *incipere*, vide Herm. Ueber Behandl. d. Inschr. p. 127, not. et Engelhardt. ad Platon. Euthyphr. p. 92. Cf. Arr. II, 14, 2 *ὅτι Φίλιππος πρῶτος ἀδικίας ἦρξεν.* IV, 11, 11 *ἄρχειν σε τοῦδε τοῦ λόγου πρέπον ἦν.*

6. *ἐπὶ δὲ ἡ Πτολεμαίου*] Ita omnes codd. Gronovii. *ἐπὶ δὲ καὶ Πτολεμαίου* edd. ante Gronovium, inepte. Vide ad V, 5, 1.

δὲ εὐωνύμου τοῖς πεζοῖς μὲν Κρατερὸς ἐπετέτακτο ἄρ-
χειν, τοῦ δὲ ξύμπαντος εὐωνύμου Παρμενίων ἡγεῖτο· καὶ
παρήγγελτο αὐτῷ μὴ ἀπολείπειν τὴν θάλασσαν, ὡς μὴ
κυκλωθεῖεν ἐκ τῶν βαρβάρων, ὅτι πάντη ὑπερφαλαγγή-
σειν αὐτῶν διὰ πλῆθος ἤμελλον. Δαρεῖος δὲ, ἐπειδὴ ἐξηγ- 8
γέλθη αὐτῷ προσάγων ἤδη Ἀλέξανδρος ὡς ἐς μάχην, τῶν
μὲν ἱππέων διαβιβάζει πέραν τοῦ ποταμοῦ Πινάρου ἐς
τρισμυρίους μάλιστα τὸν ἀριθμὸν, καὶ μετὰ τούτων τῶν

8. ὡς ἐς μάχην] Reposuimus hanc scripturam ex edd. vett. et quattuor codd. Gronovii pro eá, quam Schmiederus dedit e cod. F. ὡς πρὸς μάχην. Vide I, 13, 2 τεταγμένους ὡς ἐς μάχην. I, 18, 4 καὶ ὡς ἐς μάχην ξυντεταγμένη. II, 12, 1 ξυντεταμένη ὡς ἐς πόλεμον. II, 18, 9 ὡς ἐς μάχην ἐσταλμένοι. III, 7, 13 προὐχώρει ὡς ἐς μάχην. III, 9, 4 ἐκτάσσει ὡς ἐς μάχην. III, 16, 4 ξυντεταγμένην ὡς ἐς μάχην ἦγε. III, 19, 6 ἀπαντᾶν τε αὐτῷ ὡς ἐς μάχην. Tact. c. XLVI ὡς ἐς μάχην ὁπλίζονται. Codicis F. patrocinium suscipiat V, 22, 1 παρασκευάζεσθαι ὡς πρὸς μάχην.

τοῦ ποταμοῦ Πινάρου] Sic edd. Venet. Basil. Vulc. et Blanc. Apud Gronovium legitur τοῦ ποταμοῦ τοῦ Πινάρου, quod, nisi plures loci obstarent, pro genuina scriptura haberem, bene memor eorum, quae dicta sunt ad II, 4, 9. Tres enim habemus adversarios illi supra propositae observationi locos: V, 4, 6 τοῦτον τὸν ποταμὸν Ἰνδόν. V, 26, 2 ἔστε ἐπὶ τὸν ποταμόν τε Γάγγην. VI, 11, 10 πρὸς τῷ ποταμῷ Βουμώδῳ. Et ex parte huc spectat quoque III, 1, 4 ἐν δεξιᾷ ἔχων τὸν ποταμὸν Νεῖλον, quamquam non dubito, quin ex ed. Basil. scribendum sit τὸν Νεῖλον. Ac, si forte copia nobis facta fuerit codices Arrianei operis accuratius perlustrandi, speramus fore, ut omnis super hac re controversia tollatur. — Supra pro προσάγων ἤδη Ἀλέξανδρος, quod cod. F. cum ed. Vulc. et Blanc. praebet, ed. Bas. cum nonnullis codd. Gronovii habet προσάγων ἤδη Ἀλέξανδρον. In V. C. Vulcanii et uno codice Flor. legitur προσάγειν ἤδη Ἀλέξανδρον. At vide exempla ad III, 9, 4 allata.

τῶν πεζῶν ἐς δισμυρίους] Schmiederus e cod. F. τῶν ψιλῶν ἐς δυσμ. rell. codd. et edd. vett.; non male. Cf. I, 7, 11 οἵ τε ἱππεῖς καὶ τῶν ψιλῶν οὐκ ὀλίγοι. I, 16, 1 πολλὰ δὲ καὶ πρὸς τῶν ψιλῶν ἀναμεμιγμένων τοῖς ἱππεῦσι βλαπτόμενοι. Sic ψιλοί et ἱππεῖς opponuntur ὁπλίταις vel phalangi, Arr. Tact. c. XXIX ἀλλὰ τοὺς ψιλοὺς ἐπεκτείνειν ἄμεινον καὶ τοὺς ἱππέας. Fortasse igitur nostro loco ψιλοί oppositi sunt τῷ ὁπλιτικῷ. Cf. VI, 18, 6 τῶν τε ἱππέων

πεζῶν ἐς δισμυρίους, ὅπως τὴν λοιπὴν δύναμιν καθ' ἡσυ-
9 χίαν συντάξειε. Καὶ πρώτους μὲν τοῦ ὁπλιτικοῦ τοὺς
μισθοφόρους ἔταξεν ἐς τρισμυρίους κατὰ τὴν φάλαγγα
τῶν Μακεδόνων· ἐπὶ δὲ τούτοις τῶν Καρδάκων καλου-
μένων ἔνθεν καὶ ἔνθεν ἐς ἑξακισμυρίους· ὁπλῖται δὲ ἦσαν
καὶ οὗτοι. Τοσούτους γὰρ ἐπὶ φάλαγγος ἁπλῆς ἐδέχετο
10 τὸ χωρίον ἵνα ἐτάσσοντο. Ἐπέταξε δὲ καὶ τῷ ὄρει τῷ
ἐν ἀριστερᾷ σφῶν κατὰ τὸ Ἀλεξάνδρου δεξιὸν ἐς δισμυ-
ρίους· καὶ τούτων ἔστιν οἳ κατὰ νώτου ἐγένοντο τῆς Ἀλεξ-
11 άνδρου στρατιᾶς. Τὸ γὰρ ὄρος ἵνα ἐπετάχθησαν, πῇ μὲν
διεχώρει ἐς βάθος καὶ κολπῶδές τι αὐτοῦ ὥσπερ ἐν θα-
λάσσῃ ἐγίνετο· ἔπειτα ἐς ἐπικαμπὴν προϊὸν τοὺς ἐπὶ
ταῖς ὑπωρείαις τεταγμένους κατόπιν τοῦ δεξιοῦ κέρως
12 τοῦ Ἀλεξάνδρου ἐποίει· τὸ δὲ ἄλλο πλῆθος αὐτοῦ ψι-
λῶν τε καὶ ὁπλιτῶν κατὰ ἔθνη συντεταγμένον ἐς βάθος

ἐς χιλίους, καὶ τῶν ὁπλιτῶν τε καὶ ψιλῶν κ. τ. κ. Sed scripturae quam e codice F. recepimus, non minor paratur ex Arriano ipso auctoritas. Vide I, 3, 10 *ἱππεῖς μὲν ἐς χιλίους —, πεζοὶ δέ.* I, 6, 9 *καὶ ἀναμιχθέντας τοῖς ἱππεῦσι πεζοὺς μάχεσθαι.* V, 13, 7 *τό τε ἄγημα τῶν ἱππέων — τῶν δὲ πεζῶν πρώτους.*

9. *ἔταξεν ἐς τρισμυρίους*] Non debebat Schmiederus recipere quod erat in cod. F. *ἔταξεν τρισμυρίους.* Nam hoc *ν̄* additum iam innuere videtur, aliquid excidisse ante *τρισμυρίους.* Unde revocavimus scripturam edd. vett. et rell. codicum. Cf. ad III, 25, 10.

ἔνθεν καὶ ἔνθεν] »*utrinque, ab utroque latere Graecorum.* Nam aliter explicari non possunt. Tunc vero Darius Graecos non *πρώτους ἔταξεν*, sc. a cornu dextro; cf. II, 10, 8. II, 11, 4. Curt. III, 9, 1. Adest fortasse lacuna, ut desint verba *ἔνθεν καὶ ἔνθεν τοῦ ἅρματος βασιλικοῦ* (sic! E) vel *ἐν ᾧ αὐτὸς ἐκάθητο.* Interim eas voces uncis inclusi, donec codices meliora docebunt.« *Schmied.* Mihi quidem persuasum est, verba *ἔνθεν καὶ ἔνθεν* ab ipsa Arriani manu profecta esse. Nimirum primum et primos constituit Darius Graecos stipendiarios, deinde vero ab utroque eorum latere Cardacas, ita ut Graeci oppositi essent Macedonum phalangi, Cardaces vero ex parte adversus dextrum atque sinistrum cornu Macedonici exercitus constituerentur. — Infra pro *ἵνα ἐτάσσοντο,* quod bene tuentur omnes codd. Gronovii et ed. Bas., Vulcanius et post eum Blancardus dederunt *ἵνα ἐτάξαντο.*

οὐκ ὠφέλιμον ὄπισθεν ἦν τῶν Ἑλλήνων τῶν μισθοφόρων καὶ τοῦ ἐπὶ φάλαγγος τεταγμένου βαρβαρικοῦ. Ἐλέγετο γὰρ ἡ πᾶσα ξὺν Δαρείῳ στρατιὰ μάλιστα ἐς ἑξήκοντα μυριάδας μαχίμους εἶναι. Ἀλέξανδρος δὲ ὡς αὐτῷ 13
πρόσω ἰόντι τὸ χωρίον διέσχεν ὀλίγον ἐς πλάτος, παρήγαγε τοὺς ἱππέας τούς τε ἑταίρους καλουμένους καὶ τοὺς Θεσσαλοὺς [καὶ τοὺς Μακεδόνας]. Καὶ τούτους μὲν ἐπὶ 14
τῷ δεξιῷ κέρᾳ ἅμα οἷ ἔταξε· τοὺς δὲ ἐκ Πελοποννήσου καὶ τὸ ἄλλο τὸ συμμαχικὸν ἐπὶ τὸ εὐώνυμον πέμπει ὡς Παρμενίωνα. Δαρεῖος δὲ ὡς συντεταγμένη ἤδη ἦν αὐτῷ 15
ἡ φάλαγξ, τοὺς ἱππέας οὕστινας πρὸ τοῦ ποταμοῦ ἐπὶ τῷδε προτετάχει, ὅπως ἀσφαλῶς αὐτῷ ἡ ἔκταξις τῆς στρατιᾶς γένοιτο, ἀνεκάλεσεν ἀπὸ ξυνθήματος. Καὶ τού- 16
των τοὺς μὲν πολλοὺς ἐπὶ τῷ δεξιῷ κέρᾳ πρὸς τῇ θαλάσσῃ κατὰ Παρμενίωνα ἔταξεν, ὅτι ταύτῃ μᾶλλόν τι ἱπ-

11. *ἔπειτα — προϊόν*] Sic scripsimus pro vulgato *προϊών*, quod iure quodam haereditario ex ed. Basileensi transiit in ceteras editiones. De omisso *δέ* post *ἔπειτα* vide Schaef. Melett. critt. p. 61, et ad Demosth. t. II, p. 348. Cf. Heind. ad Plat. Phaed. p. 86, E et p. 89, A.

13. [*καὶ τοὺς Μακεδόνας*] »Praeter *τοὺς ἑταίρους καλουμένους* alii equites Macedones non fuere in exercitu Alexandri. Solus hic locus obstare videtur. At voces *τοὺς Μακεδόνας* apposuit librarius, ut explicaret *τοὺς ἑταίρους*. Quibus, cum in textum reciperentur, alius copulativam praefixit.« *Schmied.* Recte. Uncis includi curavimus ista verba perquam suspecta.

14. *τῷ δεξιῷ κέρᾳ*] Hanc dativi formam praebuere codd. Gronovii omnes. *κέρατι* edd. vett. Cf. II, 8, 16. II, 10, 8. Intacta mansit vulgaris forma III, 15, 7 *προσμῖξαι τῷ δεξιῷ κέρατι.* — Mox scripsimus *ἅμα οἷ* pro vulgato *ἅμά οἱ.*

ὡς Παρμενίωνα] »Mss. omnes, etiam apud Vulcanium Augustanus *ὡς Παρμενίωνα;* vulgo *ἐς.*« *Gronov.* Vide ann. ad I, 17, 10. I, 25, 12. III, 19, 10. IV, 7, 5. — Paulo infra ed. Bas. *προτετάχθη.*

16. *τῷ δεξιῷ κέρᾳ*) Sic scripsit Schmiederus pro vulgato *κέρατι.* Nos eum secuti sumus, quamquam dubitantes. Non enim nisi coniectura licet assequi, et hoc loco contractam formam a codicibus Gronovii confirmari.

πάσιμα ἦν· μέρος δέ τι αὐτῶν καὶ ἐπὶ τὸ εὐώνυμον πρὸς
17 τὰ ὄρη παρήγαγεν. Ὡς δὲ ἀχρεῖοι ἐνταῦθα διὰ στενότητα τῶν χωρίων ἐφαίνοντο, καὶ τούτων τοὺς πολλοὺς
18 παριππεῦσαι ἐπὶ τὸ δεξιὸν κέρας σφῶν ἐκέλευσεν. Αὐτὸς δὲ Δαρεῖος τὸ μέσον τῆς πάσης τάξεως ἐπεῖχε, καθάπερ νόμος τοῖς Περσῶν βασιλεῦσι τετάχθαι· καὶ τὸν νοῦν τῆς τάξεως ταύτης Ξενοφῶν ὁ τοῦ Γρύλλου ἀναγέγραφεν.

IX. Ἐν τούτῳ δὲ Ἀλέξανδρος κατιδὼν ὀλίγου πᾶσαν τὴν τῶν Περσῶν ἵππον μετακεχωρηκυῖαν ἐπὶ τὸ εὐώνυμον τὸ ἑαυτοῦ ὡς πρὸς τὴν θάλασσαν, αὐτῷ δὲ τοὺς Πε-

---

18. *τὸν νοῦν τῆς τάξεως — ἀναγέγραφεν*) Cf. Xen. Anab. I, 8, 21 *καὶ γὰρ ᾔδει αὐτὸν ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ στρατεύματος*, sc. rex Persarum. Cyrop. IV, 2, 27 *αὐτὸς δὲ τὸ μέσον ἔχων — ἐπορεύετο.* VIII, 5, 8 *ἑαυτὸν ἐν μέσῳ κατετίθετο τοῦ στρατοπέδου.* — Ceterum hic est loci sensus: *rationem autem aciei ita instructae Xenophon — descripsit.* Cf. I, 11, 8 *νοῦς τῆς θ σίας ἦν.* IV, 15, 3 *ἦν δὲ ὁ νοῦς τῆς πρεσβείας.* IV, I, 2 *ὁ δὲ νοῦς τῆς πομπῆς.* Cuius significatus vocis *νοῦς* exemplum frustra quaesivi apud Xenophontem.

C. IX. *ὀλίγου πᾶσαν*] Ed. Bas. *ὀλίγα πᾶσαν.* Cf. VI, 14, 7 *ὀλίγου μέντοι κατέπλευσεν.* Thucyd. VIII, 35 *ὀλίγου εἷλον.* Himer. Ecl. II, p. 60 *καὶ λυποῦντος μικροῦ καὶ αὐτὴν τὴν τύχην.* Ecl. XXXVI, p. 310 *μικροῦ πρὸς ἑτέραν ὁδόν.* Vide Math. Gr. Gr. ub. p. 669. Goell. ad Thuc. IV, 124, Herm. ad Lucian. Quomodo hist. sit conscr. p. 35. Plenius locutus est Arrianus IV, 4, 4 *ξύμπασαν ὀλίγου δεῖν τὴν Ἀσίαν.*

Πελοποννησίους μόνους] Edd. vett. omnes *μόνον.* Codd. Gron. *μόνους.* »Eodem modo quo violarunt V, 14, 1 *τοὺς ἱππέας μόνον ἀναλαβών*, cum in msstis constanter legatur *μόνους.* Et II, 12, 7 *καὶ ταῦτα ὅτι μόνα ἔχει.* Sic est in mss.; at editionibus placuit *μόνον.* Similiter IV, 8, 15 *Κλείτου δὲ γενέσθαι μόνου* reperi in Opt. et duobb. aliis, quum edatur ibi quoque *μόνον.*« *Gronov.* Cf. III, 21, 3 *τοὺς ἑταίρους μόνους.* III, 30, 8 *οὐ μόνῳ οἷ δόξαντα — ἀλλά.* IV, 11, 15 *πρὸς δὲ τῶν βαρβάρων μόνων.* IV, 22, 1 *οἵ δὴ μόνοι ὑπελείποντο — ἀφεστηκότες.* V, 11, 8 *οἱ γὰρ ἐλέφαντες μόνοι ἄποροί εἰσιν.* V, 14, 9 *οὐχ ἑξήκοντα μόνα ἅρματα.* VI, 8, 8 *ξὺν τῇ ἵππῳ μόνῃ.* VI, 24, 3 *ξὺν εἴκοσι μόνοις.* VII, 11, 3 *τούτοις δὲ — φιλεῖν — μόνοις.* Adverbium autem semper reiicere falsum foret. Recte

λοποννησίους μόνους καὶ τοὺς ἄλλους τῶν ξυμμάχων ἱππέας ταύτῃ τεταγμένους, πέμπει κατὰ τάχος τοὺς Θεσσαλοὺς ἱππέας ἐπὶ τὸ εὐώνυμον, κελεύσας μὴ πρὸ τοῦ μετώπου τῆς πάσης τάξεως παριππεῦσαι, τοῦ μὴ καταφανεῖς τοῖς πολεμίοις γενέσθαι μεταχωροῦντας, ἀλλὰ κατόπιν τῆς φάλαγγος ἀφανῶς διελθεῖν. Προέταξε δὲ τῶν 2
μὲν ἱππέων κατὰ τὸ δεξιὸν τοὺς προδρόμους ὧν ἡγεῖτο Πρωτόμαχος, καὶ τοὺς Παίονας ὧν ἡγεῖτο Ἀρίστων, τῶν δὲ πεζῶν τοὺς τοξότας ὧν ἦρχεν Ἀντίοχος, τοὺς δὲ Ἀγριᾶνας ὧν ἦρχεν Ἄτταλος καὶ τῶν ἱππέων τινὰς καὶ τῶν τοξοτῶν ἐς ἐπικαμπὴν πρὸς τὸ ὄρος τὸ κατὰ νώτου ἔτα-

---

enim habet in his I, 23, 11 *Ἄλινδα μόνον κατεῖχε.* III, 21, 4 *οἱ δὲ — τὰ ὅπλα εἶχον μόνον καὶ δύο ἡμερῶν σιτία.* V, 10, 6 *καὶ ἡ βοὴ μόνον καὶ ὁ ἀλαλαγμός ἦν.* VII, 20, 1 *δύο μόνον τιμᾶν θεούς.* (cf. Isocr. Panath. p. 271, Beck. *δέκα μόνον τριήρεις συνεβάλοντο*). Omnia exempla quando paulo diligentius perlustraveris, statim reperies discrimen fecisse Arrianum inter usum adiectivi et adverbii. Si substantivum enunciati potissimum respiciendum erat, posuit adiectivum: sin autem verbi s. praedicati notio accuratius circumscribenda erat, adverbium ei addidit, ita ut adiectivum vernaculo *allein*, adverbium nostro *nur* respondeat. Non tam multi fuissemus in re, quae videri possit, satis trita, nisi vidissemus Mathiaeum vel in nova editione Gr. Gr. uberioris p. 834 minus accurate illum usum explicasse. Cum iis quae supra de usu adi. *μόνος* et adv. *μόνον* diximus, bene conferri potest usus vocc. *πρότερος* et *πρότερον*, *πρῶτος* et *πρῶτον*. Cf. I, 18, 7 *τρισὶν ἡμέραις πρότερος — ἢ προσχεῖν.* II, 16, 2 *πολλαῖς γὰρ γενεαῖς πρότερον τιμᾶται — ἢ κατασχεῖν.* V, 13, 3 *πρῶτος ἐκβάς*, sed ibid. *οἱ ἱππεῖς πρῶτον ἐτετάχατο — ἐκβαίνειν*, etc. — Mox pro *τοὺς Θεσσαλοὺς ἱππέας*, quod omnes codd. tuentur, edd. vett. *καὶ Θεσσ. ἱππέας*.

2. *ἐς ἐπικαμπὴν πρὸς τὸ ὄρος*] »Vertendum: nonnullos equitum et sagittariorum *in obliquum* (vel *inflexum*) *ad montem a tergo constituit.*« *Gronov.* Qui ante eum hunc locum inspexerunt interpretes, mira hallucinati sunt eum sic convertentes: *ad anfractum montis*, s. *qua mons inflexus erat*; non memores loci simillimi III, 12, 2 *ἐς ἐπικαμπὴν δὲ — τῶν Ἀγριάνων ἐτάχθησαν οἱ ἡμίσεες.* Adde Diod. XVII, 57 *ἐπικάμπιον ἐποίησε τὴν τάξιν.* XIX, 27 *ἔταξεν ἐλέφαντας ἐν ἐπικαμπίῳ.* Arr. Tact. c. XXXI *ὑπόταξιν δέ, ἐπειδὰν τοὺς ψιλοὺς ἐπὶ τὰ κέρατα τῆς φάλαγγος ὑποτάξῃ τις, ὡς ἐς ἐπικάμ-*

ξεν, ὥστε κατὰ τὸ δεξιὸν αὐτῷ τὴν φάλαγγα ἐς δύο κέρατα διέχουσαν τετάχθαι, τὸ μὲν ὡς πρὸς Δαρεῖόν τε καὶ τοὺς πέραν τοῦ ποταμοῦ τοὺς πάντας Πέρσας, τὸ δὲ ὡς πρὸς τοὺς ἐπὶ τῷ ὄρει κατὰ νώτου σφῶν τεταγμένους.
3 Τοῦ δὲ εὐωνύμου προετάχθησαν τῶν μὲν πεζῶν οἵ τε Κρῆτες τοξόται καὶ οἱ Θρᾷκες ὧν ἡγεῖτο Σιτάλκης· πρὸ τούτων δὲ ἡ ἵππος ἡ κατὰ τὸ εὐώνυμον· οἱ δὲ μισθο-
4 φόροι ξένοι πᾶσιν ἐπετάχθησαν. Ἐπεὶ δὲ οὔτε πυκνὴ αὐτῷ ἡ φάλαγξ κατὰ τὸ δεξιὸν τὸ ἑαυτοῦ ἐφαίνετο πολύ τε ταύτῃ ὑπερφαλαγγήσειν οἱ Πέρσαι ἐδόκουν, ἐκ τοῦ μέσου ἐκέλευσε δύο ἴλας τῶν ἑταίρων τήν τε Ἀνθεμουσίαν ἧς ἰλάρχης ἦν Περοίδας ὁ Μενεσθέως, καὶ τὴν Λευγαίαν

πιον. — Paulo infra scripsimus cum Schmiedero *τὴν φάλαγγα* et *αὐτῷ* pro vulgato *τῆς φάλαγγος* et *αὐτῷ*. Qui genitivum scripsere, retulerunt eum ad praegressum *τὸ δεξιόν*.

3. *πᾶσιν ἐπετάχθησαν*] Sic cod. F., et ex eo Schmiederus. *ἐτάχθησαν* codd. rell. et edd. vett; perperam. Hic est enim loci sensus: *mercenarii autem omnibus postpositi erant.* Cf. I, 14, 2 *Ἀμύντας δὲ ὁ Ἀῤῥαβαίου ἐπετάχθη.* V, 13, 8 *τοὺς δὲ ἱπποτοξότας τῆς πάσης ἵππου προέταξε· τῶν δὲ πεζῶν πρώτους — ἐπέταξε τῇ ἵππῳ.* Vide ann. ad III, 14, 10. — Paulo ante in edit. Basil. male neglecta est particula *καί* ante *οἱ Θρᾷκες*.

4. *ἐπεὶ δὲ — αὐτῷ — ἐφαίνετο*] Pro *αὐτῷ*, quod ex coniectura Gronovii recepimus, edd. omnes habent *αὐτῶν*. Et hunc genitivum Schmiederus de Persis intelligi vult, quamquam nescio qua ratione id apte fieri possit, cum in praecedentibus sermo sit de exercitu Alexandri. Sensus verborum hic esse videtur: *Cum autem neque Macedonum phalanx in dextro cornu ei satis conferta videretur, et Persae ex ea parte potissimum eam circumvenire posse iudicarentur — iussit* etc. Praeterea id tenendum est, pronomen *αὐτῷ* in tali verborum compositione saepe reperiri. Vid. ad III, 11, 4. Cf. IV, 16, 4 *ὡς δὲ ξύμπασα αὐτῷ ἡ δύναμις ἀφίκετο.* V, 12, 7 *ἡ μὲν ἄλλη στρατιὰ αὐτῷ* (ed. Bas. *αὐτῶν*) *ἐπιβᾶσα.*

τήν τε Ἀνθεμουσίαν] Bene ita Schmied. e cod. F. *Ἀνθεβουσίαν* edd. vett. et rell. codd. At vide ann. ad I, 19, 7. Urbis *Ἀνθεμοῦς*, nisi ex aliis scriptoribus nota esset, diserte meminit Stephanus Byzantius. — »Etiam pro sequente *Λαγαίαν* (edd. vett. E.) mssti omnes, etiam Augustanus Vulcanii, habent *Λευγαίαν*, sive ita scripserit Arrianus, sive sub eo aliud lateat, et forte *Βευαίαν* a

καλουμένην ἧς ἡγεῖτο Παντόρδανος ὁ Κλεάνδρου, ἐπὶ τὸ
δεξιὸν ἀφανῶς παρελθεῖν. Καὶ τοὺς τοξότας δὲ καὶ μέ- 5
ρος τῶν Ἀγριάνων, καὶ τῶν Ἑλλήνων μισθοφόρων ἔστιν
οὓς κατὰ τὸ δεξιὸν τὸ αὑτοῦ ἐπὶ μετώπου παραγαγὼν
ἐξέτεινεν ὑπὲρ τὸ τῶν Περσῶν κέρας τὴν φάλαγγα. Ἐπεὶ 6
γὰρ οἱ ὑπὲρ τοῦ ὄρους τεταγμένοι οὔτε κατῄεσαν, ἐκδρο-
μῆς τε ἐπ' αὐτοὺς τῶν Ἀγριάνων καὶ τῶν τοξοτῶν ὀλί-
γων κατὰ πρόσταξιν Ἀλεξάνδρου γενομένης ῥᾳδίως ἀπὸ
τῆς ὑπωρείας ἀνασταλέντες ἐς τὸ ἄκρον ἀνέφυγον, ἔγνω
καὶ τοῖς κατ' αὐτοὺς τεταγμένοις δυνατὸς ὢν χρήσασθαι
ἐς ἀναπλήρωσιν τῆς φάλαγγος, ἐκείνοις δὲ ἱππέας τρια-
κοσίους ἐπιτάξαι ἐξήρκεσεν.

Βεύη, quod est oppidum Macedoniae, cuius civis *Βευαῖος* apud Stephanum.« *Gronov.* Ego quidem non dubito quin Arrianus scripserit *Βευαίαν*. Sed contra codices moliri quidquam nolui. — Pro *Περοίδας*, quod Schmiederum secuti e cod. F. recepimus, edd. vett. et codd. plurr. *Περίδας*.

6. *οἱ ὑπὲρ τοῦ ὄρους τεταγμένοι*] »Facius vertit: *quod Darius in monte collocaverat*, Vulcanius vero: *qui ad pedem montis dispositi*, ac si legisset *ὑπό*.« *Gronov.* Ita etiam Steinbruechel. Mus. Tur. I, 1 monet *ὑπέρ* h. l. non esse *super*, sed *prope*, collato Ioseph. Archaeol. XIV, 3, 5 *ὑπὲρ θαλάττης*, simili. Sed horum aliam esse rationem docuerunt Erfurdt. ad Soph. t. IV, p. 258. Math. Gr. Gr. ub. p. 1156. Persas non *ad pedem montis* dispositos fuisse non solum verbum *κατῄεσαν* evincit, sed etiam statim sequens *ἀπὸ τῆς ὑπωρείας*: cum, Suida auctore, media montis pars vocetur *ὑπώρεια*. Igitur a medio monte barbari ad cacumen (*ἐπὶ τὸ ἄκρον* s. *ἐς τὴν ἀκρώρειαν*) confugerunt. Et sine dubio Arrianus *ὑπὲρ τοῦ ὄρους* scripsit plane eodem sensu, ut supra II, 8, 11 *ἐπὶ ταῖς ὑπωρείαις*. De radice montis *αἱ ὑπώρειαι* dixisse videtur IV, 24, 13 *κατεστρατοπέδευσεν ὑπὸ ταῖς ὑπωρείαις τοῦ ὄρους*: quamquam et ibi praepositio *ὑπὸ* dubium reddit loci sensum. Cf. III, 28, 13 *ἔφθειρε τὴν ὑπὸ τῷ ὄρει τῷ Καυκάσῳ*. —

ἔγνω δυνατὸς ὢν —] Edd. vett. cum quattuor codd. Gronovii *δυνατὸν ὄν*, quod et ipsum defendi potest. Cf. I, 3, 9 *ὅσους δυνατὸν ἦν* sc. *διαβιβάζεσθαι*. Luc. γν. hh. I, 21 *ὡς δὲ ἔγνω ἀδύνατον ὂν πείθειν*. Sed placuit h. l. recipere codicis F. scripturam, cui favent quae leguntur V, 10, 2 *ἔγνω ἀδύνατος ὢν περᾶσαι*. Adde

X. *Οὕτω δὴ τεταγμένους χρόνον μέν τινα προῆγεν ἀναπαύων, ὥστε καὶ πάνυ ἔδοξε σχολαία γενέσθαι αὐτῷ*
2 *ἡ πρόοδος. Τοὺς γὰρ βαρβάρους, ὅπως τὰ πρῶτα ἐτάχθησαν, οὐκέτι ἀντεπῆγε Δαρεῖος, ἀλλ' ἐπὶ τοῦ ποταμοῦ ταῖς ὄχθαις πολλαχῇ μὲν ἀποκρήμνοις οὔσαις, ἔστι δὲ ὅπου καὶ χάρακα παρατείνας αὐταῖς, ἵνα εὐεφοδώτερα ἐφαίνετο, οὕτως ἔμενεν. Καὶ ταύτῃ εὐθὺς δῆλος ἐγένετο*

---

similia III, 28, 12. IV, 29, 13. V, 23, 5. — Supra in ed. Bas. minus recte expressum est *ἀπὸ τῆς ὑπωρίας.*

C. X. *ὥστε — σχολαία γενέσθαι αὐτῷ ἡ πρόοδος*] Schmiedero ex auctoritate unius codicis F. reiectum est *γενέσθαι*, quod, quamquam sine detrimento potest abesse, tamen contra edd. vett. et cett. libros removere nolui, praesertim cum illa verborum circumscriptio satis frequens sit apud Arrianum. I, 6, 24 *ἐγένετο δὲ ἡ δίωξις τοῖς ἀμφ' Ἀλέξανδρον.* III, 16, 3 *αὐτῷ ἡ φυγὴ ἐπὶ Μηδίας ἐγένετο.* IV, 2, 5 *ταχεῖα ἡ πρόσβασις — καὶ ἀνάβασις — ἐγένετο.* IV, 2, 10 *ἐγένετο αὐτῷ ἡ πομπὴ τῶν ἱππέων.* V, 20, 15 *τοῖς — περῶσιν εὐμαρῆ γενέσθαι τὸν πόρον.* Ex his exemplis etiam clarum fit verissimum esse quod habent omnes codd. Gronovii *αὐτῷ*, pro *αὐτῶν* scriptura editionum veterum; cf. ann. ad III, 28, 4. Denique scripsimus cum Schmiedero *πρόοδος* ex auctoritate plurimorum codicum pro vulgato *πρόσοδος.* Similiter peccatum est apud Xen. Cyrop. VII, 1, 36, ubi pro *τῆς εἰς τὸ πρόσθεν προόδου* libri peioris notae exhibent *προσόδου.* Ceterum vide ann. ad II, 6, 3 et III, 26, 1.

2. *ἔστι δὲ ὅπου*] In edd. vett. male legebatur *ἔτι δὲ ὅπου.* Verum praebuere omnes codices. Similiter dixit V, 9, 8 *καὶ εἰσὶν ὅπου περάσιμοι.*

εὐθὺς δῆλος ἐγένετο] »In Optimo *ὡς δῆλος*, elegantissime.« *Gronov.* Elegentiam non video, sed ineptiam. Goellerus ad Thucyd. IV, 34 vulgatam h. l. recte tuitus totam sententiam comparat cum Thucyd. l. l. *ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι.* Adde Arr. V, 19, 1 *ὅτι οὐ δεδουλωμένος τῇ γνώμῃ ἐφαίνετο, ἀλλ' ὥσπερ ἀνὴρ ἀγαθὸς ἀνδρὶ ἀγαθῷ προσέλθοι.* VI, 16, 3 *ἐδεδούλωντο ἤδη τῇ γνώμῃ.* Cf. Kuhn. ad Ael. vv. histt. II, 14. Ceterum haec confirmant etiam quae leguntur apud Xen. Cyrop. IV, 1, 8 *διεφθάρθαι ἐδόκει ταῖς γνώμαις*, ubi viris doctis in mentem venit scribere *τὰς γνώμας.* — De *εὐθύς* ante *ὡς* in eodem cod. F. male omisso monuimus ad I, 27, 2.

τοῖς ἀμφ᾽ Ἀλέξανδρον τῇ γνώμῃ δεδουλωμένος. Ὡς δὲ 4
ὁμοῦ ἤδη ἦν τὰ στρατόπεδα, ἐνταῦθα παριππεύων πάντῃ Ἀλέξανδρος παρεκάλει ἄνδρας ἀγαθοὺς γίγνεσθαι, οὐ τῶν ἡγεμόνων μόνον τὰ ὀνόματα ξὺν τῷ πρέποντι κόσμῳ ἀνακαλῶν, ἀλλὰ καὶ ἰλάρχας καὶ λοχαγοὺς ὀνομαστὶ, καὶ τῶν ξένων τῶν μισθοφόρων ὅσοι κατ᾽ ἀξίωσιν ἤ τινα ἀρετὴν γνωριμώτεροι ἦσαν· καὶ αὐτῷ πανταχόθεν βοὴ ἐγένετο μὴ διατρί-

---

3. *τὰ στρατόπεδα*] Ita edd. vett. et codd. omnes praeter cod. F., in quo vidit Gronovius *τὰ στρατεύματα*, non male quidem, sed minime ita comparatum, ut a Schmiedero omnium reliquorum librorum scripturae praeferri debuerit. Nam *στρατόπεδον* pro *στράτευμα* apud optimos quosque scriptores reperiri dictum nemo hodie negabit. Cf. Arr. II, 11, 6. Thucyd. III, 98. Xenoph. Hist. Gr. I, 1, 21 etc. Porro voces *στρατόπεδον* et *στράτευμα* in codd. et edd. confundi docent vv. ll. ad Xen. Anab. I, 10, 18 et VII, 7, 57. Pluralem nominis vide Xen. Hist. Gr. I, 2, 7 *ἅμα τῇ ἡμέρᾳ προσῆγε δύο στρατόπεδα.* Adde Herod. VIII, 10 et Bernh. Wissensch. Synt. p. 63, not. 7.

ἐνταῦθα παριππεύων] Revocavi antiquam edd. vett. et codd. plurimorum scripturam. Schmiederus solam codicis F. auctoritatem secutus priorem vocem reiecit. Vide exempla ad I, 15, 8 larga manu adspersa et probabis, credo, quod dedimus. — Paulo infra scripsimus *ὀνομαστὶ, καὶ τῶν ξένων.* Satis inconsiderate Schmiederus particulam *καί* post *ὀνομαστί* positam, codice F. iubente, in exilium misit. Qua remota qui esset verborum ordo et sensus, solus sibi visus est videre Gronovius, locum sic interpretatus: *verum etiam turmarum ac cohortium ductores nominatim ex peregrinis mercenariis.* In tales errores deduci passus est vir optimus, ne codicis Optimi auctoritas infringeretur! Vulgatam si mecum retineas, hic est loci sensus: *non ducum solum nomina cum decente laude memorabat, sed ilarchas etiam et lochagos nominatim compellabat, et militum mercenariorum qui gloria bellica aut virtute insigniores essent.* Ad *ὀνομαστί* ex praecedentibus trahe *ἀνακαλῶν.* Cf. II, 7, 11 *ὀνομαστὶ ἕκαστον — ἀνακαλῶν.* IV, 9, 4 *τὸν Κλεῖτον ὀνομαστὶ ἀνακαλῶν.* Plut. Ages. c. XXXI *προκαλουμένων ἐκεῖνον ὀνομαστί.* Luc. vv. hist. I, 29 *ὀνομαστὶ καλῶν ἕκαστον.* Cf. Dion. Hal. Antiqq. VII, 14 *ἀνακαλῶν ἑκάτερον ἐξ ὀνόματος.* Praeterea vide ann. ad IV, 9, 5.

4 βειν, ἀλλὰ ἐσβάλλειν ἐς τοὺς πολεμίους. Ὁ δὲ ἦγεν ἐν τάξει
ἔτι τὰ μὲν πρῶτα καίπερ ἐν ἀπόπτῳ ἤδη ἔχων τὴν Δαρείου
δύναμιν βάδην, τοῦ μὴ διασπασθῆναί τι ἐν τῇ ξυντονωτέρᾳ
5 πορείᾳ κυμῆναν τῆς φάλαγγος. Ὡς δὲ ἐντὸς βέλους ἐγίγνοντο,
πρῶτοι δὴ οἱ κατ' Ἀλέξανδρον καὶ αὐτὸς Ἀλέξανδρος ἐπὶ τοῦ
δεξιοῦ τεταγμένος δρόμῳ ἐς τὸν ποταμὸν ἐνέβαλλον, ὡς τῇ
τε ὀξύτητι τῆς ἐφόδου ἐκπλῆξαι τοὺς Πέρσας καὶ τοῦ θᾶσ-
σον ἐς χεῖρας ἐλθόντας ὀλίγα πρὸς τῶν τοξοτῶν βλάπτε-
6 σθαι. Καὶ ξυνέβη ὅπως εἴκασεν Ἀλέξανδρος. Εὐθὺς γὰρ
ὡς ἐν χερσὶν ἡ μάχη ἐγένετο, τρέπονται τοῦ Περσικοῦ
στρατεύματος οἱ τῷ ἀριστερῷ κέρᾳ ἐπιτεταγμένοι· καὶ
ταύτῃ μὲν ἐνίκα λαμπρῶς Ἀλέξανδρός τε καὶ οἱ ἀμφ' αὐ-
7 τόν· οἱ δὲ Ἕλληνες οἱ μισθοφόροι οἱ σὺν Δαρείῳ, ᾗ διέ-

---

4. ὁ δὲ ἦγεν] Sic recte omnes codd. Gronovii. εὖ δὲ ἦγεν edd. vett.

ἐν τάξει — βάδην] Hae voces quamquam longo intervallo distractae tamen sunt coniungendae. Vide V, 14, 1 τὸν μὲν πεζὸν στρατὸν ἐν κόσμῳ βάδην ἕπεσθαι ἐκέλευσεν —· αὐτὸς δὲ σπουδῇ ἡγεῖτο. Alterutram voculam bene abesse posse clarum fit ex his locis: III, 8, 1 ἤλαυνε σπουδῇ, τὴν δὲ ἄλλην στρατιὰν βάδην ἕπεσθαι ἐκέλευσεν. IV, 23, 2 τὸ πεζῶν πλῆθος βάδην ἕπεσθαί οἱ ἐκέλευσεν· αὐτὸς δὲ σπουδῇ ἦγεν. VI, 3, 3 ἐν κόσμῳ ἀνήγοντο. Quemadmodum autem hic locis βάδην s. ἐν κόσμῳ et σπουδῇ sibi sunt opposita, ita etiam δρόμῳ et ἐν τάξει opponuntur. Cf. II, 10, 5. III, 21, 13. Xen. Anab. I, 8, 19 ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπεσθαι. Unde pleonasticis dicendi formulis adnumeres quae leguntur IV, 26, 4 δρόμῳ καὶ ξὺν οὐδενὶ κόσμῳ. — Verba ἐν τῇ ξυντονωτέρᾳ πορείᾳ interpreter *in citatiore progressu*. Cf. Diod. Sic. XIX, 26 προῆγε σύντονον τὴν πορείαν ποιούμενος. XIX, 32 συντόνους τὰς πορείας ποιούμενος. Ioseph. bell. Iud. III, 4, 2 συντόνῳ δὲ τῇ πορείᾳ χρώμενος. Et sic quoque scribendum est apud Diod. Sic. XVII, 19 σύντονον τὴν πορείαν ποιούμενος pro vulg. σύντομον. — In postremis huius enunciati verbis Arrianus ante oculos habuisse potest Xen. Anab. I, 8, 18 ὡς δὲ πορευομένων ἐξεκύμαινέ τι τῆς φάλαγγος. Uterque tamen poetis sua debuisse videntur. Cf. Aesch. Sept. c. Theb. v. 64 βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ, cum ann. Blomf.

6. τῷ ἀριστερῷ κέρᾳ] Edd. vett. κέρατι. Vid. ad II, 8, 14. — Vocabulo παραῤῥαγῆναι (§. 7) tum de muro perfracto, tum de mi-

σχε τῶν Μακεδόνων ἡ φάλαγξ ὡς ἐπὶ τὸ δεξιὸν κέρας
παραῤῥαγεῖσα, (ὅτι Ἀλέξανδρος μὲν σπουδῇ ἐς τὸν πο-
ταμὸν ἐμβαλὼν καὶ ἐν χερσὶ τὴν μάχην ποιήσας ἐξώθει
ἤδη τοὺς ταύτῃ τεταγμένους τῶν Περσῶν· οἱ δὲ κατὰ
μέσον τῶν Μακεδόνων οὔτε τῇ ἴσῃ σπουδῇ ἥψαντο τοῦ
ἔργου, καὶ πολλαχῇ κρημνώδεσι ταῖς ὄχθαις ἐντυγχάνον-
τες τὸ μέτωπον τῆς φάλαγγος οὐ δυνατοὶ ἐγένοντο ἐν τῇ
αὐτῇ τάξει διασώσασθαι) ταύτῃ ἐμβάλλουσιν οἱ Ἕλληνες
τοῖς Μακεδόσιν, ᾗ μάλιστα διεσπασμένην αὐτοῖς τὴν φά-
λαγγα κατεῖδον. Καὶ τὸ ἔργον ἐνταῦθα καρτερὸν ἦν, τῶν 8
μὲν ἐς τὸν ποταμὸν ἀπώσασθαι τοὺς Μακεδόνας καὶ τὴν
νίκην τοῖς ἤδη φεύγουσι σφῶν ἀνασώσασθαι, τῶν Μακεδό-
νων δὲ τῆς τε Ἀλεξάνδρου ἤδη φαινομένης εὐπραγίας μὴ

---

litum ordinibus divisis haud raro utitur Arrianus. Cf. II, 11, 1 *κατὰ τὸ παρεῤῥωγὸς τοῦ Περσικοῦ στρατεύματος.* III, 14, 7 *καὶ ταύτῃ παραῤῥαγείσης — τῆς τάξεως.* II, 22, 11 *καί τι καὶ* (sc. *τοῦ τείχους*) *κατηρείφθη αὐτοῦ παραῤῥαγέν.* IV, 26, 9 *ᾗ παρέῤῥηκτο τοῦ τείχους.*

7. *ἐξώθει ἤδη*] Sic sine ullo dubio scribendum erat pro vulgato *ἐξώθη*, quod ex editione Basileensi omnes editores tacite receperant. Sed parum circumspecte! Quidni etiam probaverunt quod in eadem illa editione legebatur *ἐβοήθη* pro *ἐβοήθει* I, 5, 17, et *ἀποπεπόμφη* II, 15, 1? Similiter peccatum est in eadem V, 21, 5, ubi expressum vides *ἠδυνήθει* pro *ἠδυνήθη*, et V, 29, 1, ubi *συμμιγείς* legitur pro *συμμιγής*. Ceterum qui verterunt *propulsarat*, sensum magis, quam verba respexerunt, nisi forte legendum est *ἐξεώκει*, quam plusquamperfecti formam vidimus apud Plut. vit. Brut. c. XLII. Sed in eo, quo literarum ductus nos defert, acquiescamus, locum sic interpretantes: *quod Alexander flumen ingressus Persas, qui in hoc loco collocati erant, iamiam propulsabat.* Vid. ad III, 12, 2. Imperfectum verbi *ὠθεῖν* Arriano semper scriptum offendimus omisso augmento syllabico. V, 11, 27. III, 13, 8. V, 17, 10. VI, 9, 8. Aoristo activi contra nunquam illud augmentum detractum est, ut I, 1, 16. IV, 3, 7. IV, 24, 9. VI, 7, 8. Aoristus medii et passivi rursus eo caret, ut I, 9, 11. II, 11, 1. IV, 5, 3. IV, 25, 5. V, 23, 3.

8. *τοῖς φεύγουσι σφῶν*] Non ausi sumus reiicere quod praebuerunt edd. vett. et quattuor codd. Gronovii. Schmiederus solum cod. F. secutus dedit *αὐτῶν*. At vide I, 6, 15 *οἱ δὲ πολέμιοι, πάν-*

λειφθῆναι, καὶ τὴν δόξαν τῆς φάλαγγος ὡς ἀμάχου δὴ
9 ἐς τὸ τότε διαβεβοημένης μὴ ἀφανίσαι. Καί τι καὶ τοῖς
γένεσι τῷ τε Ἑλληνικῷ καὶ τῷ Μακεδονικῷ φιλοτιμίας
10 ἐνέπεσεν ἐς ἀλλήλους. Καὶ ἐνταῦθα πίπτει Πτολεμαῖός
τε ὁ Σελεύκου ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ἄλλοι ἐς εἴκοσι μάλιστα καὶ ἑκατὸν τῶν οὐκ ἠμελημένων Μακεδόνων.

XI. Ἐν τούτῳ δὲ αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως τάξεις τετραμμένους ἤδη τοὺς κατὰ σφᾶς τῶν Περσῶν ὁρῶντες, ἐπὶ τοὺς ξένους τε τοὺς μισθοφόρους τοὺς Δαρείου καὶ τὸ πονούμενον σφῶν ἐπικάμψαντες, ἀπὸ τοῦ ποταμοῦ

τῶν ἐπὶ σφᾶς ἐλαυνόντων, ἐγκλίναντες ἔφευγον. I, 13, 10 ὅτι οὐδὲν ἄξιον τοῦ σφῶν δέους ἔπαθον. Adde I, 21, 2. III, 16, 4. IV, 1, 5. IV, 3, 10. IV, 10, 9. IV, 14, 1. IV, 16, 3 etc. Neque ullum locum vidi, ubi Arrianus usurpaverit *αὐτῶν* pro *σφῶν*, s. *αὐτοῖς* pro *σφίσιν*. Sed e contrario nonnunquam *σφίσι* dixisse ubi *αὐτοῖς* exspectabas evincunt haec III, 17, 12. IV, 18, 10. V, 4, 7. VI, 12, 5. VI, 23, 8 et, quod transitum quasi facit VII, 7, 9. Et sic quoque *σφᾶς* positum est, ubi bene dici poterat *αὐτούς*, VI, 12, 4. VI, 25, 1. De *οἱ* pro *αὐτῷ* dicto v. ann. ad III, 6, 11. — Paulo infra cum Schmiedero dedimus *τὴν δόξαν* ex omnibus quos contulit Gronovius codicibus pro *τῆς δόξης*, quod erat in edd. vett.

διαβεβοημένης] *quae ut invicta — celebrabatur.* Cf. Diod. XVII, 6 *καί τινος ἐπ' ἀλκῇ διαβεβοημένου.* XVII, 78 *τὰς διαβεβοημένας ἀνδραγαθίας.* Vid. Wessel. ad Diod. XVI, 85. Hemst. ad Luc. Nigr. c. VI.

C. XI. 2. *ὑπερφαλαγγήσαντες*] Blancardus primus *ὑπὲρ φαλαγγήσαντες.* Secuti sunt Gronovius et Raphelius. — Paulo infra ed. Bas. *Θεσσαλούς*, aeque recte. Sed retinuimus alteram formam, quia mox ipsa ed. Basil. exhibet *Θετταλῶν.*

ἐντὸς τοῦ ποταμοῦ] »*In flumine.* Ac si Thessali in flumine ipso constituti fuissent. Immo *citra flumen.*« *Gronov.* Recte. Cf. Xen. An. VI, 3, 7 *ὅ τι τις ὁρῴη ἐντὸς τῆς φάλαγγος.*

4. *ξυνέστη ἱππομαχία καρτερά*] Edd. omnes *κρατερά*, quod, quantum sciam, hoc uno tantum loco reperitur in hac dicendi formula. Nam si ed. Basil. eandem hanc vitiosam formam praebet IV, 17, 2 neminem, credo, id morabitur. Quod dedimus, firmissimis nititur fundamentis. V. I, 6, 22 *καρτερωτάτῃ ἐμβολῇ.* I, 15, 5 *ξυνειστήκει μάχη καρτερά.* I, 21, 5 *ξυμπίπτει μάχη καρτερά.* II, 10, 11 (cf. III, 28, 4. IV, 17, 2) *τὸ ἔργον καρτερὸν ἦν.* III, 15, 3 *καὶ ἱππομαχία*

ἀπώσαντο αὐτούς· καὶ κατὰ τὸ παρεῤῥωγὸς τοῦ Περσι- 3
κοῦ στρατεύματος ὑπερφαλαγγήσαντες ἐς τὰ πλάγια ἐμβεβληκότες ἤδη ἔκοπτον τοὺς ξένους. Καὶ οἱ ἱππεῖς δὲ οἱ τῶν Περσῶν κατὰ τοὺς Θετταλοὺς τεταγμένοι οὐκ ἔμειναν ἐντὸς τοῦ ποταμοῦ ἐν αὐτῷ τῷ ἔργῳ, ἀλλ' ἐπιδιαβάντες εὐρώστως ἐνέβαλλον εἰς τὰς ἴλας τῶν Θετταλῶν. Καὶ ταύτῃ ξυνέστη ἱππομαχία καρτερά· οὐδὲ 4
πρόσθεν ἐνέκλιναν οἱ Πέρσαι, πρὶν Δαρεῖόν τε πεφευγότα ᾔσθοντο καὶ πρὶν ἀποῤῥαγῆναι σφῶν τοὺς μισθοφόρους συγκοπέντας ὑπὸ τῆς φάλαγγος· τότε δὲ ἤδη

αὕτη καρτερωτάτη — ξυνέστη. Sic dixit *ἐκδρομὴ καρτερά* II, 27, 1, *καρτερὰ φυγή* III, 14, 5, *προσβολὴ καρτερωτέρα* IV, 3, 7. IV, 26, 10. Sic denique adverbium *καρτερῶς* II, 23, 7. VI, 28, 9. Eadem literarum transpositio conspicitur apud Appian. bell. civv. I, 89.

πρὶν ᾔσθοντο καὶ πρὶν ἀποῤῥαγῆναι] Quae Mathiaeus Gr. Gr. ub. p. 1010 de usu atque constructione coniunctionis *πρίν* protulit, vera sint, si solos Atticos scriptores respicias. Recentioris aetatis Graecos alios sibi praescripsisse fines, iam ex hoc ipso de quo agimus exemplo clarum fit. Quid enim impedit, quominus Arrianum statuamus pro infinitivo *ἀποῤῥαγῆναι* indicativum ponere potuisse, si voluisset, cum de re praeterita loqueretur. Sed semper fere (excipe enim VI, 13, 4 et VII, 14, 5, ubi *πρίν γε δή* cum indicativo constructum est) Arrianus infinitivo utitur post particulam *πρίν*, tum de re praeterita, tum de futura. Cf. de re praeterita I, 7, 7 *ὥστε οὐ πρόσθεν ἔμαθον — παρεληλυθότα, πρὶν ἐν Ὀγχηστῷ γενέσθαι.* I, 25, 10 *ὥστε μὴ πρόσθεν — ἀνεῖναι, πρὶν — ἐξεγερθῆναι.* III, 21, 16 *ἀποθνήσκει ὀλίγον ὕστερον, — πρὶν ὀφθῆναι Ἀλεξάνδρῳ.* V, 14, 4 *λέγει φθάσαι ἀφικόμενον, πρὶν — περᾶσαι.* VI. 10, 1 *οἳ δὴ ἔτυχον πρὶν ξυντριβῆναι — ἀναβεβηκότες.* VII, 21, 1 *ἔφθη ἐλάσας, — πρίν τι παθεῖν.* De re futura I, 13, 4 *ὑποφθάσομεν, πρὶν καθίστασθαι.* IV, 4, 10 *ὡς μὴ πελάζειν, πρὶν τὴν ἵππον διαβῆναι.* V, 11, 6 *μὴ πρὶν διαβαίνειν, πρὶν ἀπαλλαγῆναι.* VII, 3, 2 *καλῶς ἔχειν καταστρέψαι, πρὶν — ἐς πεῖραν ἐλθεῖν.* VII, 16, 11 *ἀπηλλάχθαι, πρίν τινα ξυμβῆναι.* Sed tum particulam *πρίν* sequitur tempus finitum, cum a verbo hoc finito alterum pendet in participio positum. Cf. II, 11, 9 *οὐ πρόσθεν ἐς τὸ διώκειν ἐτράπετο, πρὶν τοὺς ξένους — ἀπωσθέντας κατεῖδε.* V, 16, 6 *μὴ πρόσθεν ἅπτεσθαι, πρὶν — τεταγμένην τὴν φάλαγγα κατίδωσιν.* (De *πρίν* c.

5 λαμπρά τε καὶ ἐκ πάντων ἡ φυγὴ ἐγίγνετο. Καὶ οἵ τε
τῶν Περσῶν ἵπποι ἐν τῇ ἀναχωρήσει ἐκακοπάθουν βα-
ρέως ὡπλισμένους τοὺς ἐμβάτας σφῶν φέροντες, καὶ αὐ-
τοὶ οἱ ἱππεῖς κατὰ στενὰς ὁδοὺς πλήθει τε πολλοὶ καὶ
πεφοβημένως σὺν ἀταξίᾳ ἀποχωροῦντες, οὐ μεῖον ὑπ' ἀλ-
λήλων καταπατούμενοι ἢ πρὸς τῆς διώξεως τῶν πολε-
μίων ἐβλάπτοντο, καὶ οἱ Θετταλοὶ εὐρώστως αὐτοῖς ἐπέ-
κειντο, ὥστε οὐ μεῖον ἢ ὡς πεζῶν φόνος ἐν τῇ φυγῇ τῶν
6 ἱππέων ἐγίγνετο. Δαρεῖος δὲ ὡς αὐτῷ τὸ πρῶτον ὑπ'

---

coni. omissa particula ἄν vide Stallb. ad Plat. Phileb. p. 40. Sieb. ad Paus. VIII, 47, 10. *Πρὶν ἄν* apud Arrianum frustra quaeras). Quae cum hic tractaverimus, simul etiam monebimus verbo de constructione particulae ἔστε, praesertim cum ea ab Arriano tam frequenti usu celebrata sit, ut prae ceteris eam adamasse videri possit. Haec quidem, quando significat Latinorum *quamdiu*, semper, ut apud alios scriptores, cum indicativo construitur; cf. I, 4, 2. II, 11, 7. II, 18, 8. III, 15, 7; coll. ann. ad I, 8, 7. Eandem structuram admittit, cum est *usque dum* in narratione rei praeteritae, ut IV, 30, 6. VI, 14, 8. VI, 15, 1 etc. Quando vero in narratione ponitur de re futura quidem, sed quae praeterita iam cogitatur, semper infinitivum habet comitem, ut II, 1, 5. IV, 7, 1. V, 9, 4. V, 14, 2. V, 16, 2. Hist. Ind. XXXVI, 4. Semel etiam vidimus eam optativo adiunctam in oratione obliqua, II, 23, 5 ἐκέλευσεν ἀνακωχεύειν, ἔστε τὸ ἐποκεῖλαι ἄπορον γίγνοιτο. Quando autem in narratione indicat rem futuram, quae omnino futura cogitatur, addita particula ἄν cum coniunctivo construitur. IV, 27, 7. V, 17, 7. VI, 5, 8. VI, 5, 15. VI, 6, 6. VI, 14, 4 etc. In Hist. Ind. XXXVI, 5 ἔασον ἐξηγήσασθαι, — ἔστε σοι σώας καταστήσω τὰς νέας, num καταστήσω pro coniunctivo aoristi habendum sit, an pro indicativo futuri, nescio. De εἰσότε s. εἰς ὅτε semel usurpato vid. ann. ad VI, 28, 11. Unum tamen habeo locum, quem quomodo ceteris omnibus apte adiungam, dubius haereo. VI, 27, 5 ἐκπέμπει γράμματα παρὰ — Ταξίλην, ἐπιμελεῖσθαι ἔστ' ἂν αὐτὸς ἐκπέμψαι. In tali enim sententia alias reperitur ἔστ' ἂν c. coniunctivo, ut IV, 24, 7 παραγγείλας περιτειχίζειν, ἔστ' ἂν ἀφίκηται (cf. Krueg. ad Xen. Anab. I, 4, 13). Optativum vero posuit Arrianus ad indicandam orationem obliquam. Vide Math. Gr. Gr. ub. p. 1009. — Pro ἥσθοντο ed. Bas. ἴσθοντο.

5. *καὶ πεφοβημένως σὺν ἀταξίᾳ*] Schmiederus e cod. F. πεφοβημένοι καὶ σὺν ἀταξίᾳ. Non potest negari, hanc lectionem vulgata

Ἀλεξάνδρου ἐφοβήθη τὸ κέρας τὸ εὐώνυμον καὶ ταύτῃ ἀποῤῥηγνύμενον κατεῖδε τοῦ ἄλλου στρατοπέδου, εὐθὺς ὡς εἶχεν ἐπὶ τοῦ ἅρματος σὺν τοῖς πρώτοις ἔφευγε καὶ ἔστε μὲν ὁμαλοῖς χωρίοις ἐν τῇ φυγῇ ἐτύγχανεν, ἐπὶ τοῦ ἅρματος διεσώζετο. Ὡς δὲ φάραγξί τε καὶ ἄλλαις δυσ- 7
χωρίαις ἐνέκυρσε, τὸ μὲν ἅρμα ἀπολείπει αὐτοῦ καὶ τὴν ἀσπίδα, καὶ τὸν κάνδυν ἐκδύς· ὁ δὲ καὶ τὸ τόξον ἀπολείπει ἐπὶ τοῦ ἅρματος, αὐτὸς δὲ ἵππου ἐπιβὰς ἔφευγε. Καὶ ἡ νὺξ οὐ διὰ μακροῦ ἐπιγενομένη ἀφείλετο

---

magis concinnam videri; sed, cum in simili narratione eodem adverbio usus sit Arrianus IV, 30, 7 *οἱ δὲ καὶ πεφοβημένως ἀποχωροῦντες — ἀπέθανον*, nolui quidquam mutare. Si cui tamen magis placeat *πεφοβημένως καὶ σὺν ἀταξίᾳ*, non multum refrager. Sic dixit IV, 26, 4 *δρόμῳ καὶ ξὺν οὐδενὶ κόσμῳ*. Cf. Diod. Sic. XV, 36 *καταπεφρονηκότως καὶ ἀτάκτως*. Apud eundem XVI, 74 pro *τετολμηκότως* olim etiam legebatur *τετολμηκότες*, et XVI, 18 pro *τεθορυβημένως*, quod unice verum est, *τεθορυβημένων*. Ex qua scripturae discrepantia intelligitur, quam facilis esset a participio ad adverbium transitus. In duobus adverbiis sine *καί* positis nemo, puto, offendet.

ὑπ᾽ ἀλλήλων καταπατούμενοι ἢ — ἐβλάπτοντο] Sic edd. vett., sic codd. quattuor Gronovii. Unde mirum sane, quod Schmiederus dedit *ἀπ᾽ ἀλλήλων*, e codice F, nisi forte et in hoc codice scriptum est quod ceteri libri exhibent. E Gronovii quidem annotatione neutrum constat. Vide I, 22, 6 *τοὺς μὲν ὑπὸ σφῶν καταπατηθέντας*. Adde ann. ad I, 21, 8. — Mox pro vulgato *καί* cum Schmiedero dedimus *ἢ* e cod. F. Qui *καί* scripserunt, non intellexere transitum a participio ad tempus finitum. At cf. Soph. fragm. inc. LXXXI, 2 *πλεῖον φυλάσσων ἢ φυλάσσομαι*. Vid. Schaef. ad Dionys. p. 110. 145; ad Demosth. t. II, p. 75. Fritzsch. Qu. Lucc. p. 112. Accuratius scripsit V, 17, 8 *οὐ μείω πρὸς αὐτῶν οἱ φίλοι ἤπερ οἱ πολέμιοι ἐβλάπτοντο ἐν ταῖς ἐπιστροφαῖς καταπατούμενοι*. — Denique pro vulgato *πρὸς τῶν διωκόντων πολεμίων* recepimus quod habet cod. F. *πρὸς τῆς διώξεως τ. π.*, quamquam utrum pro glossemate sit habendum non definiamus.

7. *ἵππου ἐπιβάς*] Edd. omnes *ἵππον ἐπιβάς*. Genitivum praebuit unus codd. Florr., cuius mentionem fecit Gronovius ad V, 10, 3, ubi vide annot. meam. Cf. VI, 13, 7 *ἐπιβὰς τοῦ ἵππου*. VII, 3, 5 *τοῦ ἵππου ἐπιβῆναι*. — Infra pro vulgato *ἐπιγινομένη* scripsimus *ἐπιγενομένη*; ut I, 2, 12 *καὶ νὺξ ἐπιγενομένη τὴν ἀκρίβειαν τῆς διώ-*

8 αὐτὸν τὸ πρὸς Ἀλέξανδρον ἁλῶναι. Ἀλέξανδρος γὰρ ἔστε μὲν φάος ἦν, ἀνὰ κράτος ἐδίωκεν· ὡς δὲ συνεσκόταζέ τε ἤδη καὶ τὰ πρὸ ποδῶν ἀφανῆ ἦν, ἐς τὸ ἔμπαλιν ἐτράπετο ὡς ἐπὶ τὸ στρατόπεδον· τὸ μέντοι ἅρμα τὸ Δαρείου ἔλαβε καὶ τὴν ἀσπίδα ἐπ' αὐτῷ καὶ τὸν κάνδυν καὶ
9 τὸ τόξον. Καὶ γὰρ καὶ ἡ δίωξις βραδυτέρα αὐτῷ ἐγεγόνει, ὅτι ἐν τῇ πρώτῃ παραῤῥήξει τῆς φάλαγγος ἐπιστρέψας καὶ αὐτὸς οὐ πρόσθεν ἐς τὸ διώκειν ἐτράπετο, πρὶν τούς τε μισθοφόρους τοὺς ξένους καὶ τὸ τῶν Περσῶν ἱπ-
10 πικὸν ἀπὸ τοῦ ποταμοῦ ἀπωσθέντας κατεῖδε. Τῶν δὲ Περσῶν ἀπέθανον μὲν Ἀρσάμης καὶ Ῥεομίθρης καὶ Ἀτιζύης τῶν ἐπὶ Γρανικῷ ἡγησαμένων τοῦ ἱππικοῦ. Ἀπο-

---

ξεως ἀφείλετο τοὺς Μακεδόνας. IV, 29, 6 νυκτὸς ἐπιγενομένης. Hist. Ind. XX, 2 μὴ — κηλὶς αὕτη — ἐπιγενομένη — ἀφανίσοι. Cf. V, 9, 4 ubi *γενόμενον* et *γινόμενον* confusa.

πρὸς Ἀλέξανδρον ἁλῶναι] »Legendum puto πρὸς Ἀλεξάνδρου, *ab Alexandro*, quia Alexander ipse eum persequebatur.« *Schmied.* Minime. Hic est loci sensus: *nox obveniens impediit, quominus captus ad Alexandrum deferretur.* Vid. ann. ad I, 25, 7. Schneid. ad Xen. Hist. Gr. I, 1, 23.

8. ἀνὰ κράτος — ἀφανῆ ἦν] Has quattuordecim voces primus vulgavit Gronovius e codice F., qui hic iure appellandus est Optimus. Vide Gronovii Suppl. lacc. p. 170 sqq. — Infra pro ἀπετρέπετο, quod exhibent edd. vett. cum quattuor codicibus, Schmiederus recte dedit ἐτράπετο, codicem F. secutus. Vulcanio placuit scribere ἀπετράπετο. Cave vulgatum probes. Vide III, 15, 7 ὥστε ἀποτραπόμενος Ἀλέξανδρος ἐς τὸ διώκειν αὖθις Δαρεῖον ὥρμησεν. III, 15, 2 τοῦ διώκειν ἀπετράπετο. VI, 26, 3 ἀποτραπέντας ἀπὸ τῆς στρατιᾶς. Contra II, 11, 9 ἐς τὸ διώκειν ἐτράπετο. VII, 15, 2 αὖθις ἐς τὸ λῃστεύειν τρεπόμενοι.

τὸ μέντοι ἅρμα ἔλαβε] »Pro verbo postremo ex Optimo notavi ἀπολιπών. Ex quo si facias ἀπολαβών, perfectissima erit sententia.« *Gronov.* Hoc participium recepit Schmiederus, pro puncto minusculo post στρατόπεδον scribens comma. Sed quid est quod vulgatum ἔλαβε sollicitemus, cum tantum absit, ut altera scriptura deterius sit, ut solum recte habere videatur? Verbum ἀπολαβεῖν, ut omnibus, quod sciam, scriptoribus, ita Arriano est *intercipere*, velut I, 5, 20 ἐδόκουν δ' ἔτι Ἀλέξανδρον ἐν δυσχωρίᾳ ἀπειληφέναι. IV, 27, 5 κατακόπτει τοὺς Ἰνδοὺς ἐν μέσῳ ἀπολαβών. Cf. Xen.

θνήσκει δὲ καὶ Σαβάκης ὁ Αἰγύπτου σατράπης καὶ Βου-
βάκης τῶν ἐντίμων Περσῶν. Τὸ δὲ ἄλλο πλῆθος εἰς δέκα 11
μάλιστα μυριάδας, καὶ ἐν τούτοις ἱππεῖς ὑπὲρ τοὺς μυ-
ρίους ὥστε λέγει Πτολεμαῖος ὁ Λάγου, ξυνεπισπόμενος
τότε Ἀλεξάνδρῳ, τοὺς μετὰ σφῶν διώκοντας Δαρεῖον ὡς
ἐπὶ φάραγγί τινι ἐν τῇ διώξει ἐγένοντο, ἐπὶ τῶν νεκρῶν
διαβῆναι τὴν φάραγγα. Τό τε στρατόπεδον τὸ Δαρείου 12
εὐθὺς ἐξ ἐφόδου ἑάλω καὶ ἡ μήτηρ καὶ ἡ γυνὴ, αὐτὴ δὲ
καὶ ἡ ἀδελφὴ Δαρείου καὶ υἱὸς Δαρείου νήπιος. Καὶ 13
θυγατέρες δύο ἑάλωσαν καὶ ἄλλαι ἀμφ' αὐτὰς Περσῶν
τῶν ὁμοτίμων γυναῖκες οὐ πολλαί· οἱ γὰρ ἄλλοι Πέρσαι
τὰς γυναῖκας σφῶν ξὺν τῇ ἄλλῃ κατασκευῇ ἐς Δαμασκὸν ἔτυ-

Anab. II, 4, 17 ὡς μὴ διαβῆτε, ἀλλ' ἐν μέσῳ ἀποληφθῆτε. Hipparch. VIII, 13 τοὺς δὲ διὰ δυσχωρίας ἀπολαμβάνεσθαι. Unde recte hodie scribitur Anab. VII, 7, 13 ὁ δὲ λαβὼν τοὺς ἐπιτηδειοτάτους προσῆλθε pro ἀπολαβών. Particulam μέντοι eodem modo collocatam vide I, 8, 6. I, 10, 11 et passim alibi.

10. Ἀρσάμης] Ita codd. Gronovii. Ἀρσάκης edd. vett. Vide ad I, 12, 17 et I, 19, 7. — De Atizye conferas quae dicta sunt ad I, 16, 5. Pro Σαβάκης nomine satrapae Aegypti apud Diodorum XVII, 34 vulgo scribitur Τασιάκης, minus recte, puto. Vide intpp. ad Curt III, 11, 10 et Wessel. ad Diodori l. l.

11. ὡς ἐπὶ φάραγγί τινι — ἐγένοντο] In edd. vett. et quattuor codd. Gronovii erat φάλαγγί τινι, et paulo infra φάλαγγα. Veram scripturam suppeditavit cod. F. »Huc respexisse opinor Plutarchum in libro II de fortuna Alexandri (t. VII, p. 343, 10, Reisk.) αἵματι κεκραμένους ποταμοὺς ἔπιε καὶ νεκροῖς γεγεφυρωμένους διέβη.« *Gronov.* De confusione vocc. φάλαγξ et φάραγξ vide Wessel. ad Diod. Sic. XVII, 26.

12. αὐτὴ δὲ καὶ ἡ ἀδελφή] Articulus, quo carent edd. Blanc. Gron. Raph. Schmied., in edd. Basil. et Vulc. legitur. Et cum a Gronovio nihil de eo monitum sit, causa nulla est, qua re eum reiiciam. Blancardi enim negligentia excidisse videtur. Ad rem cf. Diod. Sic. XVII, 36 — ἤγαγεν ἡ Δαρείου μήτηρ καὶ γυνὴ καὶ δύο θυγατέρες ἐπίγαμοι καὶ υἱὸς παῖς τὴν ἡλικίαν. Ex quibus vides quoque, quomodo circumscripserit Diodorus simplex Arriani vocabulum νήπιος, quod hac significatione reperitur Hist. Ind. XIV, 1 ὅσοι δὲ νήπιοι αὐτῶν.

χον ἐσταλκότες· ἐπεὶ καὶ Δαρεῖος τῶν τε χρημάτων τὰ πολλὰ καὶ ὅσα ἄλλα μεγάλῳ βασιλεῖ ἐς πολυτελῆ δίαιταν καὶ στρατευομένῳ ὅμως συνέπεται, πεπόμφει ἐς Δαμασκὸν, ὥστε ἐν τῷ στρατεύματι οὐ πλείονα ἢ τρισχίλια
14 τάλαντα ἑάλω. Ἀλλὰ καὶ τὰ ἐν Δαμασκῷ χρήματα ὀλίγον ὕστερον ἑάλω ὑπὸ Παρμενίωνος ἐπ' αὐτὸ τοῦτο σταλέντος. Τοῦτο τὸ τέλος τῇ μάχῃ ἐκείνῃ ἐγένετο, ἐπὶ ἄρχοντος Ἀθηναίοις Νικοστράτου, μηνὸς Μαιμακτηριῶνος.

XII. Τῇ δὲ ὑστεραίᾳ καίπερ τετρωμένος τὸν μηρὸν Ἀλέξανδρος ξίφει ὁ δὲ τοὺς τραυματίας ἐπῆλθε, καὶ τοὺς

---

13. *οὐ πλείονα ἢ τρισχίλια*] Edd. ante Gronovium particula *ἢ* destituti sunt; quam restituit iam Gronovius ex omnium codicum auctoritate.

14. *τοῦτο τὸ τέλος*] Articulus in edd. vett. non comparet. Praebuere eum omnes codices Gronovii. Recte. Cf. III, 22, 3 *τοῦτο τὸ τέλος Δαρείῳ ἐγένετο.* IV, 29, 12 *τοῦτο τὸ τέλος γίγνεται.* V, 19, 5 *τοῦτο τὸ τέλος ἐγένετο τῇ μάχῃ.* Unde non dubito quin III, 15, 16 scribendum sit *τοῦτο τὸ τέλος τῇ μάχῃ ταύτῃ ἐγένετο*, quamvis in omnibus editionibus articulus desideretur, neque a Gronovio quidquam annotatum sit. Alia ratio est talium, ut V, 6, 9 *οὐ μεγάλοι οὗτοι ποταμοί.* Vide Blumii diss. de artic. apud Goell. Indic. IV. Thucyd. t. II, p. 566. — Archon qui hic vocatur Nicostratos, apud Diodorum XVII, 29 Nicocrates audit. Vide Freinsh. ad Curt. III, 11, 17. Wessel. ad Diod. l. l. Clinton. Fast. Hell. p. 164. De variata nominum propriorum terminatione conferas quae disputavit cel. Lobeckius in Aglaoph. t. II, p. 996.

C. XII. *ὁ δὲ — ἐπῆλθεν*] Sic codd. Florr. omnes cum ed. Basileensi. Apud Vulcanium primum legitur *ὅμως δέ*, qui vulgatum immutavit, quia Arriani morem dicendi non satis cognitum habuit. Saepissime enim ille in apodosi *ὁ δέ* addit, ubi minus necessarium existimes. Cf. I, 23, 4 *Ἀλεξάνδρῳ δὲ ὡς ἐξηγγέλθη καὶ καθεώρα αὐτὸς — ὁ δέ.* VII, 11, 7 *ταῦτα ὡς ἐξαγγέλλεται αὐτῷ, — ὁ δέ.* VII, 14, 2 *ἐπεὶ δὲ ἐξηγγέλλετο Ἀλεξάνδρῳ, — ὁ δέ.* Ex parte huc trahi possunt quae diximus ad I, 15, 8. Cf. V, 16, 2. VI, 18, 5. VII, 17, 5; ann. ad IV, 2, 9 et V, 20, 1. Quos Gronovius ad h. l. affert locos, ii maximam partem alius sunt generis, ut II, 7, 14. III, 21, 8, de quibus vide ann. ad VI, 11, 6.

λαμπρότατα ὡς ἐς πόλεμον] Hunc verborum ordinem exhibet cod. F. In ed. Bas. est *ὡς λαμπρότητα ἐς πόλεμον.* In edd. Vulc.

νεκροὺς ξυναγαγὼν ἔθαψε μεγαλοπρεπῶς σὺν τῇ δυνάμει πάσῃ ἐκτεταγμένῃ λαμπρότατα ὡς ἐς πόλεμον. Καὶ 2
λόγῳ τε ἐπεκόσμησεν ὅσοις τι διαπρεπὲς ἔργον ἐν τῇ μάχῃ ἢ αὐτὸς ξυνέγνω εἰργασμένον, ἢ ἀκοῇ συμφωνούμενον ἔμαθε, καὶ χρημάτων ἐπιδόσει ὡς ἑκάστους σὺν τῇ ἀξίᾳ ἐτίμησε. Καὶ Κιλικίας μὲν ἀποδεικνύει σατράπην 3
Βάλακρον τὸν Νικάνορος, ἕνα τῶν σωματοφυλάκων τῶν βασιλικῶν· ἀντὶ δὲ τούτου ἐς τοὺς σωματοφύλακας κατέλεξε Μένητα τὸν Διονυσίου· ἀντὶ δὲ Πτολεμαίου τοῦ Σελεύκου τοῦ ἀποθανόντος ἐν τῇ μάχῃ Πολυσπέρχοντα τὸν

---

et Blanc. atque in tribb. codd. Gronovii ὡς λαμπρότατα ἐς πόλεμον. Unus codd. Florr. particulam ὡς omnino ignorat. At quod dedimus Schmiederum secuti, solum probari potest. Sensus enim loci est hic: *cum omnibus copiis splendidissime quasi ad pugnam compositis.* Vide Herm. ad Soph. Philoct. v. 58.

2. ἢ ἀκοῇ — ἔμαθε] Vulgato ἔλαβε favent quattuor codd. Gronovii. At haec scriptura ex interpretamento orta videtur. ἔμαθε cum Schmiedero recepimus e cod. F. Nec sane est cur hoc loco codicis huius fidem suspectam habeamus, cum non tam ille codex, quam ipsa Arriani manus istam lectionem commendet. Vide modo II, 20, 1 ὡς ἔμαθε τὰς πόλεις — κατεχομένας. V, 21, 5 ὡς ἐκεῖνον ἄρχοντα ἔμαθεν. Adde II, 7, 7. V, 18, 12. VI, 7, 6. Unus qui nobis obstat locus II, 15, 2 eodem modo ex codice F. sanandus est.

3. Πολυσπέρχοντα τὸν Σιμμίου] Cod. F. cum edd. Basil. et Vulc. Πολυπέρχοντα, quod Schmiederus vel invitis omnibus codicibus temere recepit, ut hic, ita III, 11, 13. IV, 16, 1. IV, 22, 1. IV, 25, 9. V, 11, 5. VI, 5, 11. VII, 12, 8, nihil veritus quod iam monuerant Freinshemius in Ind. Curtiano, et Xylander ad Plut. Pyrrh. c. VIII. Formam Πολυσπέρχων vide apud Phot. Bibl. p. 72, a, 17, Beck. Theophrast. Charact. c. VIII. Tzetz. ad Lycophr. v. 802. Athen. IV, 155, C, Dind. Apud Diodorum XVII, 57 et passim alibi omnes codices eandem hanc formam constanter servant; in sola editione Basileensi semper scriptum est Πολυπέρχων. — Patris nomen mire corruptum legitur tum in edd. vett., tum in codicibus. Edd. Venet. Basil. et Vulc. Σιμαίου; edd. Blanc. et Borh. Σιμμαίου. Cod. F. inepte Δαγμίου. Reliqui codices cum edd. vett. conspirant. Sed Σιμμίου verum esse evincunt ll. III, 11, 15. III, 27, 1 cett, ubi e codicibus nulla scripturae varietas enotata est.

4 Σιμμίου ἄρχειν ἀπέδειξε τῆς ἐκείνου τάξεως. Καὶ Σο-
λεῦσι τά τε πεντήκοντα τάλαντα ἔτι ἐνδεᾶ ὄντα ἐκ τῶν
ἐπιβληθέντων σφίσι χρημάτων ἀνῆκε καὶ τοὺς ὁμήρους
5 ἀπέδωκεν. Ὁ δὲ οὐδὲ τῆς μητρὸς τῆς Δαρείου οὐδὲ τῆς
γυναικὸς ἢ τῶν παίδων ἠμέλησεν. Ἀλλὰ λέγουσί τινες
τῶν τὰ Ἀλεξάνδρου γραψάντων, τῆς νυκτὸς αὐτῆς ᾗ ἀπὸ
τῆς διώξεως τῆς Δαρείου ἐπανῆκεν, ἐς τὴν σκηνὴν παρελ-
θόντα αὐτὸν τὴν Δαρείου ἥτις αὐτῷ ἐξῃρημένη ἦν, ἀκοῦ-
σαι γυναικῶν οἰμωγὴν καὶ ἄλλον τοιοῦτον θόρυβον οὐ
πόῤῥω τῆς σκηνῆς· πυθέσθαι οὖν, αἵτινες γυναῖκες καὶ
6 ἀνθ᾽ ὅτου οὕτως ἐγγὺς παρασκηνοῦσαι. Καί τινα ἐξαγ-
γεῖλαι ὅτι, ὦ βασιλεῦ, ἡ μήτηρ τε καὶ ἡ γυνὴ Δαρείου
καὶ οἱ παῖδες, ὡς ἐξηγγέλθη αὐταῖς ὅτι τὸ τόξον τε τοῦ
Δαρείου ἔχεις καὶ τὸν κάνδυν τὸν βασιλικὸν καὶ ἡ ἀσπὶς
ὅτι κεκόμισται ὀπίσω ἡ Δαρείου, ὡς ἐπὶ τεθνεῶτι Δα-

---

4. *ἐπιβληθέντων*] Ed. Bas. *ἐπικληθέντων*, ex solenni literarum confusione, de qua vide ad I, 8, 5 et I, 29, 7. — Paulo ante intactum reliquimus quod Schmiederus e codice F. dedit *ἔτι ἐνδεᾶ ὄντα*, quamquam non minus apta est vulgata edd. vett. et rell. codd. scriptura *ἃ ἔτι ἐνδεᾶ ἦν*. Nam utra harum lectionum pro glossemate habenda sit, quis est qui decernat? Vide tamen praefationem, coll. ann. ad V, 29, 1 et Popp. proll. ad Xen. Cyrop. p. XXIX.

5. *καὶ ἄλλον — θόρυβον*] Ed. Basil. *καὶ ἄλλων — θόρυβον*. — Infra post *παρασκηνοῦσαι* in omnibus fere editionibus aut comma aut punctum positum vidi. Schmiedero placuit scribere signum interrogationis, quod minus aptum est.

6. *τὸ τόξον τε τοῦ Δαρείου*] Ed. Bas. *τοῦ τε Δαρείου*. Pro *τοῦ Δαρείου* malis *τὸ Δαρείου*, quomodo paulo ante dixerat *τὴν σκηνὴν τὴν Δαρείου* et infra dixit *ἡ ἀσπὶς ἡ Δαρείου*. Vid. II, 11, 8 et ann. ad I, 1, 4. II, 15, 8. Attamen vero in vulgato acquiescet, qui legerit ann. ad III, 26, 1. — Mox scripsimus cum Schmiedero *τὸν κάνδυν τὸν βασιλικόν* ex edd. Venet. Basil. et Vulc. Priorem articulum, quem primus neglexerat Blancardus, etiam Gronovius et Raphelius omiserunt. Vide ad I, 12, 8. — Pro *ἀνοιμώζουσιν* in fine huius enunciati posito dedimus *ἀνοιμώζουσι*.

7. *ὅτι μόνα ἔχει*] Tres codd. Florr. cum cod. F. In uno erat *μόνῳ*. Edd. vett. habebant *μόνον*. Vide ann. ad II, 9, 1.

ῥείῳ ἀνοιμώζουσι. Ταῦτα ἀκούσαντα Ἀλέξανδρον πέμψαι 7
πρὸς αὐτὰς Λεοννάτον ἕνα τῶν ἑταίρων, ἐντειλάμενον
φράσαι ὅτι ζῇ Δαρεῖος· τὰ δὲ ὅπλα καὶ τὸν κάνδυν ὅτι
φεύγων ἀπέλιπεν ἐπὶ τῷ ἅρματι, καὶ ταῦτα ὅτι μόνα ἔχει
Ἀλέξανδρος. Καὶ Λεοννάτον παρελθόντα ἐς τὴν σκηνὴν 8
τά τε περὶ Δαρείου εἰπεῖν καὶ ὅτι τὴν θεραπείαν αὐταῖς
ξυγχωρεῖ Ἀλέξανδρος τὴν βασιλικὴν καὶ τὸν ἄλλον κόσμον
καὶ καλεῖσθαι βασιλίσσας. Ἐπεὶ οὐ κατὰ ἔχθραν οἱ γε- 9
νέσθαι τὸν πόλεμον πρὸς Δαρεῖον, ἀλλ' ὑπὲρ τῆς ἀρχῆς
τῆς Ἀσίας διαπεπολεμῆσθαι ἐννόμως. Ταῦτα μὲν Πτο-
λεμαῖος καὶ Ἀριστόβουλος λέγουσι. Λόγος δὲ ἔχει καὶ 10
αὐτὸν Ἀλέξανδρον τῇ ὑστεραίᾳ ἐλθεῖν εἴσω ξὺν Ἡφαι-
στίωνι μόνῳ τῶν ἑταίρων, καὶ τὴν μητέρα τὴν Δαρείου
ἀμφιγνοήσασαν ὅστις ὁ βασιλεὺς εἴη αὐτοῖν, (ἐστάλθαι
γὰρ ἄμφω τῷ αὐτῷ κόσμῳ) τὴν δὲ Ἡφαιστίωνι προσελ-

---

8. *Λεοννάτον*] Ed. Bas. *Λεοννάτων*. — Mox in omnibus editionibus praeter Vulcanianam legebatur *θεράπειαν*, accentu aperte vitioso.

βασιλίσσας] Formam hanc minus Atticam (vid. Phryn. p. 225 et Moer. s. v.), ut omnes fere recentioris Graecitatis scriptores, ita Arrianus alteri Atticae *βασίλεια* praetulit, ut IV, 15, 4. IV, 20, 3. VII, 13, 5. VII, 13, 9. Cf. Dorv. ad Charit. p. 471.

9. *οὐ κατὰ ἔχθραν*] Sic recte cod. F., et ex eo Schmiederus. In edd. vett. et rell. codd. *οὐδὲ κατ' ἔχθραν*. — Deinde articulum qui in omnibus fere editionibus post *πόλεμον* repetitus est, ex auctoritate omnium codicum expunximus, Schmiederum secuti. Nimirum hic est verborum ordo: *ἐπεὶ οὐ κ. ἔχθραν οἱ πρὸς Δαρεῖον γενέσθαι τὸν πόλεμον, ἀλλ' ὑπέρ κ. τ. λ.* — Denique pro *διαπεπολεμῆσθαι*, quod est in edd. vett. et codice F., reliqui codd. Gronovii exhibent *διαπολεμεῖσθαι*.

10. *Λόγος δὲ ἔχει* —] Haec et sequentia usque ad finem huius capitis Suidas exhibet s. v. *Ἡφαιστίων*. Voces *καὶ αὐτὸν* et *τῇ ὑστεραίᾳ* omissae sunt apud eum, qui tamen statim de suo addidit *ἐλθεῖν ἐπὶ τὴν σκηνὴν τῶν γυναικῶν Δαρείου τοῦ Πέρσου καὶ παρελθεῖν εἴσω κ. τ. λ.* — Articulum ante *Δαρείου* idem ignorat, et mox pro *ἀμφιγνοήσασαν* minus recte exhibet *ἀγνοήσασαν*.

ὅστις ὁ βασιλεὺς εἴη αὐτοῖν] Ita edd. Basil. Vulc., ita cod. F. et Suidas. »In duobus inveni *ὅτι εἴη αὐτοῖν*, in uno *ὅστις ὁ βασι-*

11 θεῖν καὶ προσκυνῆσαι, ὅτι μείζων ἐφάνη ἐκεῖνος. Ὡς δὲ ὁ Ἡφαιστίων τε ὀπίσω ὑπεχώρησε καί τις τῶν ἀμφ' αὐτὸν τὸν Ἀλέξανδρον δείξας ἐκεῖνον ἔφη εἶναι Ἀλέξανδρον, τὴν μὲν καταιδεσθεῖσαν τῇ διαμαρτίᾳ ἀποχωρεῖν, Ἀλέξανδρον δὲ οὐ φάναι αὐτὴν ἁμαρτεῖν· καὶ γὰρ ἐκεῖνον εἶναι
12 Ἀλέξανδρον. Καὶ ταῦτα ἐγὼ οὔθ' ὡς ἀληθῆ οὔτε ὡς πάντη ἄπιστα ἀνέγραψα. Ἀλλ' εἴτε οὕτως ἐπράχθη, ἐπαινῶ Ἀλέξανδρον τῆς τε ἐς τὰς γυναῖκας κατοικτίσεως καὶ τῆς εἰς τὸν ἑταῖρον πίστεως καὶ τιμῆς· εἴτε πιθανὸς δοκεῖ τοῖς ξυγγράψασιν Ἀλέξανδρος ὡς καὶ ταῦτα ἂν πράξας καὶ εἰπών, καὶ ἐπὶ τῷδε ἐπαινῶ Ἀλέξανδρον.

XIII. Δαρεῖος δὲ τὴν μὲν νύκτα ξὺν ὀλίγοις τοῖς ἀμφ' αὐτὸν ἔφυγε, τῇ δὲ ἡμέρᾳ ἀναλαμβάνων ἀεὶ τῶν τε Περσῶν τοὺς διασωθέντας ἐκ τῆς μάχης, καὶ τῶν ξένων τῶν

λεὺς εἴη αὐτοῖς, in Perusino ὅστις ὁ βασιλεὺς εἴη.« *Gronov.* Ad rem cf Diod. Sic. XVII, 37 ἐχόντων δ' ἀμφοτέρων ἐσθῆτας μὲν ὁμοίας, τῷ μεγέθει δὲ καὶ κάλλει προέχοντος τοῦ Ἡφαιστίωνος ἡ μὲν Σισύγαμβρις — προσεκύνησε. Vide quoque XVII, 114.

11. τῶν ἀμφ' αὐτόν] »Ita retinent mordicus libri veteres. Speciose tamen Freinshemius ad Curtium III, 12, 17 ἀμφ' αὐτήν, intelligens spadonem, praesertim cum dixerit quoque Arrianus cum solo Hephaestione intrasse regem. Sed notari oportet dici Alexandrum ingressum cum Hephaestione μόνῳ τῶν ἑταίρων, ut ita non neget Arrianus ex ducibus aut reliquis comitibus quosdam alios adfuisse, quorum aliquis nutu potuerit monuisse Sisygambin.« *Gronov.* Recte. Cum Freinshemii coniectura conspirat Suidas, qui aperte exhibet τῶν ἀμφ' αὐτήν. — Paulo infra apud eundem legitur ὑποχωρεῖν et καὶ ἐκεῖνον γάρ.

12. οὔθ' ὡς ἀληθῆ] E cod. F. Consentit Suidas, nisi quod habet οὔτε. In edd. vett. et quattuor codd. legebatur οὐχ ὡς. Conferri iubet Gronovius VII, 15, 8 τοῦτο οὔτε ὡς ἀτρεκές, οὔτε ὡς ἄπιστον πάντη ἀνέγραψα.

εἴτε πιθανὸς δοκεῖ —] Non inepte immutavit haec Suidas ita: εἴτε πιθανὰ δοκεῖ τοῖς ξυγγράψασι τὰ αὐτοῦ, ὡς καὶ ταῦτ' ἂν ἔπραξε καὶ εἶπε. Supra apud eundem τῆς ἐς τὰς γυναῖκας, omissa particula τε. Cf. ann. ad IV, 20, 2.

C. XIII. ἐς τετρακισχιλίους — τοὺς πάντας] Restituimus prae-

μισθοφόρων ἐς τετρακισχιλίους ἔχων τοὺς πάντας, ὡς ἐπὶ Θάψακόν τε πόλιν καὶ τὸν Εὐφράτην ποταμὸν σπουδῇ ἤλαυνεν, ὡς τάχιστα μέσον αὐτοῦ τε καὶ τοῦ Ἀλεξάνδρου τὸν Εὐφράτην ποιῆσαι. Ἀμύντας δὲ ὁ Ἀντιόχου καὶ Θυ- 2
μώνδας ὁ Μέντορος καὶ Ἀριστομήδης ὁ Φεραῖος καὶ Βιάνωρ ὁ Ἀκαρνὰν ξύμπαντες οὗτοι αὐτόμολοι μετὰ τῶν ἀμφ᾽ αὐτοὺς στρατιωτῶν ὡς ὀκτακισχιλίων, εὐθὺς ὡς τεταγμένοι ἦσαν, κατὰ τὰ ὄρη φεύγοντες ἀφίκοντο ἐς Τρίπολιν τῆς Φοινίκης. Καὶ ἐνταῦθα καταλαβόντες τὰς ναῦς 3
νενεωλκημένας ἐφ᾽ ὧν πρόσθεν ἐκ Λέσβου διακεκομισμένοι ἦσαν, τούτων ὅσαι μὲν ἱκαναί σφισιν ἐς τὴν κομιδὴν ἐδόκουν, ταύτας καθελκύσαντες, τὰς δὲ ἄλλας αὐτοῦ ἐν τοῖς νεωρίοις κατακαύσαντες, ὡς μὴ παρασχεῖν ταχεῖαν σφῶν τὴν δίωξιν, ἐπὶ Κύπρου ἔφυγον καὶ ἐκεῖθεν εἰς Αἴ-

---

positionem ex edd. vett. et codd. quatuor Gronovii. In solo codice F. ea non comparebat, indeque a Schmiedero omittebatur. At cave existimes propter sequens *τοὺς πάντας* vacare praepositionem. Vide mihi IV, 3, 8 *ἦσαν γὰρ οἱ πάντες ἐς μυρίους καὶ πεντακισχιλίους.* VI, 7, 11 *ἀπέθανον δὲ οἱ πάντες ἐς πεντακισχιλίους.* Sic plane et nos: *Es starben im Ganzen gegen fünftausend.* Cf. Herm. ad Viger. p. 727. Goell. ad Thucyd. I, 100. VI, 38. — Infra scribi iussimus *ἤλαυνεν, ὡς* pro vulgato *ἤλαυνε, ὡς,* quod ferri non debet.

ὡς μέσον — ποιῆσαι] Similiter dixit I, 20, 4 *ὅσαι δὲ ἐν μέσῳ πόλεις Μιλήτου τε καὶ Ἁλικαρνασσοῦ.* III, 28, 13 *τῆς χώρας τῆς ἐν μέσῳ αὐτοῦ τε καὶ Ἀλεξάνδρου.* Cf. Thucyd. I, 62 *ἐν μέσῳ ποιεῖν αὐτῶν τοὺς πολεμίους,* et inprimis Xenoph. Anab. V, 2, 27 *πῦρ ἐν μέσῳ ἑαυτῶν τε καὶ τῶν πολεμίων ποιησάμενοι.* Paulo liberius etiam Himer. Or. XIV, p. 662 *μέσος γὰρ βασιλέως τε καὶ τῶν ἀρχομένων στάς.*

2. *Ἀμύντας δὲ ὁ Ἀντιόχου*] »Ita est in Optimo et pluribus mss; ut etiam sic emendaverit postea Vulcanius.« *Gronov.* In edd. vett. legebatur *Ἀμύντας μὲν ὁ Ἀ.*

Θυμώνδας] Plures codd. Gronovii *Θυμώνδης,* pro quo in edd. vett. corrupte legebatur *Θυμώδης.* Nos dedimus quod ab omnibus partibus firmatum vidimus II, 2, 2 *Θυμώνδαν τὸν Μέντορος.* Et sic scribendum esse iam monuit Palmerius Exercc. p. 237.

γυπτον ἵναπερ ὀλίγον ὕστερον πολυπραγμονῶν τι Ἀμύν-
4 τας ἀποθνήσκει ὑπὸ τῶν ἐγχωρίων. Φαρνάβαζος δὲ καὶ
Αὐτοφραδάτης τέως μὲν περὶ τὴν Χίον διέτριβον, κατα-
στήσαντες δὲ φρουρὰν τῆς Χίου τὰς μέν τινας τῶν νεῶν
ἐς Κῶ καὶ Ἁλικαρνασσὸν ἔστειλαν, αὐτοὶ δὲ ἑκατὸν ναυσὶ
ταῖς ἄριστα πλεούσαις ἀναγόμενοι ἐς Σίφνον κατέσχον.
5 Καὶ παρ᾽ αὐτοὺς ἀφικνεῖται Ἄγις ὁ τῶν Λακεδαιμονίων
βασιλεὺς ἐπὶ μιᾶς τριήρους χρήματά τε αἰτήσων ἐς τὸν
πόλεμον καὶ δύναμιν ναυτικήν τε καὶ πεζικὴν ὅσην πλεί-
6 στην ἀξιώσων συμπέμψαι οἷ ἐς τὴν Πελοπόννησον. Καὶ
ἐν τούτῳ ἀγγελία αὐτοῖς ἔρχεται τῆς μάχης τῆς πρὸς Ἰσ-
σῷ γενομένης. Ἐκπλαγέντες δὲ πρὸς τὰ ἐξαγγελθέντα
Φαρνάβαζος μὲν σὺν δώδεκα τριήρεσι καὶ τῶν μισθοφό-
ρων ξένων ξὺν χιλίοις καὶ πεντακοσίοις ἐπὶ Χίου ἐστάλη,
δείσας μή τι πρὸς τὴν ἀγγελίαν τῆς ἥττης οἱ Χῖοι νεωτε-
7 ρίσωσιν. Ἄγις δὲ παρ᾽ Αὐτοφραδάτου τάλαντα ἀργυρίου
λαβὼν τριάκοντα καὶ τριήρεις δέκα ταύτας μὲν Ἱππίαν

---

3. *πολυπραγμονῶν τι ἀποθνήσκει*] Cognoscas ex his imitatorem Xenophontis qui scripsit Anab. V, 1, 15 *ἐν Θράκῃ γὰρ παρὰ Σεύθῃ πολυπραγμονῶν τι ἀπέθανεν ὑπὸ Νικάνδρου τοῦ Λάκωνος.* Vide Kruegeri ann. ad h. l. — Supra in ed. Basil. legebatur *νεωλκημένας* pro *νενεωλκημένας.*

5. *αἰτήσων*] Ed. Bas. *αἰτήσειν.* — Mox dedimus *ξυμπέμψαι οἷ.*

7. *παρ᾽ Αὐτοφραδάτου*] Ed. Bas. *παρ᾽ Αὐτοφραδάτην.* Infra eadem minus recte *τὸν ἀδελφὸν αὐτοῦ*, quod iam correxit Vulcanius.

8. *ἐν ταῖς νήσοις*] Sic cod. F. cum uno alio codd. Gronovii et V. C. Vulcanii. In ceteris libris et edd. vett. male legebatur *ἐν ταῖς νήσσαις.* Apte conferri iubet Gronovius II, 2, 1 *Αὐτοφραδάτης δὲ ἐπὶ τὰς ἄλλας νήσους.*

9. *Μένωνα τὸν Κερδίμμα*] Hanc scripturam firmam reddunt cod. F. et tres alii codd. Gronovii. Edd. vett. habent *Κερδίμαν.* In uno codice vidit Gronovius *Κερδίβα.* Cf. III, 6, 7 *Ἁρπάλῳ τῷ Μαχάτα.* III, 12, 7 *Ἀγάθων ὁ Τυρίμμα.* Vide quae de his similibusque genitivi formis dicta sunt ad I, 17, 8.

10. *Καὶ ἀπαντᾷ αὐτῷ*] Revocavimus hanc editionis Basileensis distinctionem. Vulgo post *ᾔει* virgula distinctum erat. — Infra pro *μετ᾽ Αὐτοφραδάτου* in ed. Bas. est *μετ᾽ Αὐτοφραδάτην.*

11. *κειμένην*] In edd. vett. et quattuor codd. Gronovii legebatur

ἄξοντα ἀποστέλλει παρὰ τὸν ἀδελφὸν αὐτοῦ Ἀγησίλαον
ἐπὶ Ταίναρον· καὶ παραγγέλλειν ἐκέλευσεν Ἀγησιλάῳ, δι-
δόντα τοῖς ναύταις ἐντελῆ τὸν μισθὸν πλεῖν τὴν ταχίστην ἐπὶ
Κρήτης, ὡς τὰ ἐκεῖ καταστησόμενον. Αὐτὸς δὲ τότε μὲν
αὐτοῦ ἐν ταῖς νήσοις ὑπέμενεν, ὕστερον δὲ εἰς Ἁλικαρνασ- 8
σὸν παρ᾽ Αὐτοφραδάτην ἀφίκετο. Ἀλέξανδρος δὲ σατρά-
πην μὲν Συρίᾳ τῇ κοίλῃ Μένωνα τὸν Κερδίμμα ἐπέταξε, 9
δοὺς αὐτῷ εἰς φυλακὴν τῆς χώρας τοὺς τῶν συμμάχων
ἱππέας· αὐτὸς δὲ ἐπὶ Φοινίκης ᾔει. Καὶ ἀπαντᾷ αὐτῷ
κατὰ τὴν ὁδὸν Στράτων ὁ Γηροστράτου παῖς τοῦ Ἀρα- 10
δίων τε καὶ τῶν Ἀράδῳ προσοίκων βασιλέως· ὁ δὲ Γη-
ρόστρατος αὐτὸς μετ᾽ Αὐτοφραδάτου ἔπλει ἐπὶ τῶν νεῶν
καὶ οἱ ἄλλοι οἵ τε τῶν Φοινίκων καὶ οἱ τῶν Κυπρίων βα-
σιλεῖς καὶ αὐτοὶ Αὐτοφραδάτῃ ξυνέπλεον. Στράτων δὲ
Ἀλεξάνδρῳ ἐντυχὼν στεφανοῖ χρυσῷ στεφάνῳ αὐτόν, καὶ 11
τήν τε Ἄραδον αὐτῷ τὴν νῆσον καὶ τὴν Μάραθον τὴν κατ-
αντικρὺ τῆς Ἀράδου ἐν τῇ ἠπείρῳ κειμένην, πόλιν με-

ᾠκισμένην. Quod cum Schmiedero recepimus *κειμένην*, sola quidem nititur auctoritate codicis F; sed ex Arriano ipso optime defenditur. Vide I, 18, 7 *κεῖται δὲ αὕτη ἐπὶ τῇ Μιλήτῳ.* I, 29, 7 *κεῖται δὲ ἐπὶ τοῦ Σαγγαρίου ποταμοῦ.* Quamquam minime negem, et alteram lectionem magnam prae se ferre veri similitudinis speciem. I, 11, 6 *πόλεις Ἑλληνίδας ἐπὶ θαλάσσῃ ᾠκισμένας.* I, 27, 1 *ᾤκισται δὲ τῆς Ἀσπένδου τὰ πολλὰ ἐπὶ ἄκρᾳ ὀχυρᾷ.* III, 1, 7 *ἀποβαίνει ὅπου νῦν Ἀλεξάνδρεια ᾤκισται.* IV, 24, 12 *ἐν ἐπικαίρῳ χωρίῳ ἐδόκει ᾠκίσθαι.* VI, 28, 7 *κατῆγεν ἐς τῆς Καρμανίας τὰ πρὸς θάλασσαν ᾠκισμένα.* Sed omnibus his locis non tam situs urbium indicari videtur, quam conditas eas fuisse et habitatas. Addere etiam possim, facillime ex praegresso ω̄ substantivi *ἠπείρῳ* a scribis factam esse *ᾠκισμένην*, praesertim cum hanc formam saepe apud Arrianum vidissent; at video non defore qui ad contrarium comprobandum hanc eandem causam afferant, et suo iure. Notandum praeterea est Arriani *ᾠκίσθαι* fere idem esse quod apud Xenophontem dicitur *οἰκεῖσθαι*, ut Anab. I, 4, 1 *πόλιν ἐπὶ τῇ θαλάττῃ οἰκουμένην.* II, 4, 25 *καὶ ἐνταῦθα ᾠκεῖτο πόλις μεγάλη.* V, 1, 13 *ταῖς παρὰ θάλατταν οἰκουμέναις πόλεσιν*, et, si vera est scriptura, *οἰκεῖν.* Hist. Gr. IV, 8, 26 *τὰς ὑπὸ τῇ Θρᾴκῃ οἰκούσας πόλεις Ἑλληνίδας.* Et Arrianus ipse aliquoties sic dixit. II, 26, 2 *ᾠκεῖτο ἐσχάτη.* IV,

γάλην καὶ εὐδαίμονα, [καὶ Σιγῶνα] καὶ Μαριάμμην πόλιν καὶ τἄλλα ὅσα τῆς σφῶν ἐπικρατείας ἐνδίδωσιν.

XIV. *Ἔτι δὲ ἐν Μαράθῳ Ἀλεξάνδρου ὄντος ἀφίκοντο παρὰ Δαρείου πρέσβεις ἐπιστολήν τε κομίζοντες Δαρείου καὶ αὐτοὶ ἀπὸ γλώσσης δεησόμενοι ἀφεῖναι Δαρείῳ τὴν*
2 *μητέρα καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας. Ἐδήλου δὲ ἡ ἐπιστολὴ ὅτι Φιλίππῳ τε πρὸς Ἀρταξέρξην φιλία καὶ συμμαχία ἐγένετο· καὶ ἐπειδὴ Ἄρσης ὁ υἱὸς Ἀρταξέρξου ἐβασίλευσεν, ὅτι Φίλιππος ἀδικίας πρῶτος ἐς βασιλέα*
3 *Ἄρσην ἦρξεν οὐδὲν ἄχαρι ἐκ Περσῶν παθών. Ἐξ οὗ δὲ αὐτὸς βασιλεύει Περσῶν, οὔτε πέμψαι τινὰ Ἀλέξανδρον*

28, 12 *πόλιν ἣ ἐγγὺς τῆς πέτρας τῆς Ἀόρνου ᾤκεῖτο.* Ceterum *ᾤκεῖτο* et *ἔκειτο* confuss. vide apud Xenophont. Anab. V, 4, 15. His omnibus perpensis sane dubius haereas, utram scripturam apud Arrianum ex interpretamento ortam dicas.

πόλιν — εὐδαίμονα] Constans fere haec est de urbibus claris et opulentis dicendi formula. Vid. V, 8, 2 — *ἀφίκετο, πόλιν μεγάλην καὶ εὐδαίμονα.* Xen. Anab. I, 2, 7 *πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα.* Et sic centies apud eum. Cf. Himer. Or. XIV, p. 658 *πόλις μεγάλη τε καὶ εὐδαίμων.* Xen. Ephes. III, 1, p. 52 *πόλιν μεγάλην καὶ καλήν.*

[*καὶ Σιγῶνα*] »Post verba *καὶ εὐδαίμονα* subiungit cod. Opt. *καὶ Διγῶνα,* ita tamen, ut decernere liquide non potuerim, fueritne *Διγῶνα,* an *Σιγῶνα,* quae vox quidem nihil propius habere videtur, quam *Σιδῶνα.* Verosimilius tamen videtur fuisse hic urbem *Σιγῶνα.* Nam ad manuscripti huius non dubitandam fidem (?. E) accedit locus Hesychii, qui inter voces *Σίγυνον* et *Σίδαι* positum habet: *. *πόλις μικρὰ τῆς Παλαιστίνης.* Volunt quidem immittere *Σιδών,* sed ea vix recte ab Hesychio poterit dici *πόλις μικρά,* et ordo literarum tam reiicit huius verbi appellationem, quam belle et ordinate admittit vocem *Σιγών.* Etiam Iosephus bell. Iud. II, p. 823 nominat urbem *Σιγῶ,* sed in Galilaea, quam notavit quoque Ortelius; sed id satis est, quippe unde confirmatur appellatio ista, ut possit esse repetita in his locis, et Palaestina saepe nimium porrigitur.« *Gronov.* Quid vero si ista verba statuamus corrupte repetita esse ex paulo ante positis *καὶ εὐδαίμονα* —? Interim tamen, donec meliora prostabunt, verba *καὶ Σιγῶνα* ut suspecta uncis inclusimus.

παρ᾽ αὐτὸν ἐς βεβαίωσιν τῆς πάλαι οὔσης φιλίας τε καὶ
συμμαχίας, διαβῆναί τε ξὺν στρατιᾷ ἐς τὴν Ἀσίαν καὶ
πολλὰ κακὰ ἐργάσασθαι Πέρσας. Τούτου ἕνεκα κατα-
βῆναι αὐτὸς τὴν χώραν ἀμύνων καὶ τὴν ἀρχὴν τὴν πα-
τρῴαν ἀνασώσων. Τὴν μὲν δὴ μάχην, ὡς θεῶν τῳ ἔδο- 4
ξεν, οὕτω κριθῆναι· αὐτὸς δὲ βασιλεὺς παρὰ βασιλέως
γυναῖκά τε τὴν αὐτοῦ αἰτεῖν καὶ μητέρα καὶ παῖδας τοὺς
ἁλόντας καὶ φιλίαν ἐθέλειν ποιήσασθαι πρὸς Ἀλέξανδρον
καὶ ξύμμαχος εἶναι Ἀλεξάνδρῳ. Καὶ ὑπὲρ τούτων πέμ- 5
πειν ἠξίου Ἀλέξανδρον παρ᾽ αὐτὸν ξὺν Μενίσκῳ τε καὶ
Ἀρσίμᾳ τοῖς ἀγγέλοις τοῖς ἐκ Περσῶν ἥκουσι τοὺς τὰ
πιστὰ ληψομένους τε καὶ ὑπὲρ Ἀλεξάνδρου δώσοντας.

καὶ τἆλλα] Ed. Bas., ut solet, *καὶ τ᾽ ἄλλα*.

C. XIV. *ἀφεῖναι*] Ed. Basil. *ἀφῆναι*. — Infra eadem *Ἀρσῆς* cum ed. Vulc. et Blanc. *Ἄρσης* primus dedit Gronovius, quem secuti sunt recentiores editores. Sic notatum hoc vocabulum hodie etiam legitur apud Strab. XV, 3, p. 331, ed. ster., ubi vulgata fuit *Νάρσης*. Apud Diodorum XVII, 5, male, ut videtur, scribitur *Ἀρσῆς*. Plutarcho de fortuna Alex. II, p. 336, D audit *Ὀάρσης*. Vide Wessel. ad Diod. l. l.

2. *Ἀρταξέρξου*] Constans est apud Arrianum haec huius nominis forma. De altera forma *Ἀρτοξέρξης* vide Wessel. ad Diod. VI, 98. Bornem. ad Xen. Anab. I, 1, 1. Buttm. ad Plat. Alcib. I, p. 148. Goell. ad Thucyd. I, 104, p. 173.

3. *διαβῆναί τε — αὐτὸς — ἀμύνων*] Verba post *διαβῆναι* usque ad *αὐτὸς τὴν χώραν* male omissa erant in edd. vett. et codd. quattuor Gronovii. Hanc magnam lacunam e codice F. explevit Gronovius. Unde ea orta sit, apertum est. Nimirum librariorum oculi a *διαβῆναι* aberrarunt ad id quod infra sequebatur *καταβῆναι*. Eandem lacunarum originem passim memoravimus. Vid. II, 2, 2. IV, 24, 9. — Pro *ἀμύνων* facile quis coniiciat scribendum esse *ἀμυνῶν* coll. ann. ad VII, 27, 4. At vid. Bernhardyi Synt. p. 370.

4. *φιλίαν ἐθέλειν ποιήσασθαι*] Edd. vett. *ἐλθεῖν*. »Recte in Curtianis notis ad IV, 1, 13 Freinshemius *ἐθέλειν*. Id enim confirmatur ab omnibus libris scriptis.« *Gronov.* De confusione verborum illorum vide Lobeck. ad Phrynich. p. 7. Siebel. ad Paus. I, 4, 2. Schaef. apparat. ad Demosth. t. I, p. 793. — Supra edd. Gronov. et Schmied. male *θεῶν τῷ* pro *θεῶν τῳ*.

5. *ληψομένους τε καί —*] Ita codd. Gronovii omnes; ita ed. Bas.

6 *Πρὸς ταῦτα ἀντιγράφει Ἀλέξανδρος καὶ ξυμπέμπει τοῖς παρὰ Δαρείου ἐλθοῦσι Θέρσιππον παραγγείλας τὴν ἐπιστολὴν δοῦναι Δαρείῳ, αὐτὸν δὲ μὴ διαλέγεσθαι ὑπὲρ*
7 *μηδενός. Ἡ δὲ ἐπιστολὴ Ἀλεξάνδρου ὧδε ἔχει. Οἱ ὑμέτεροι πρόγονοι, ἐλθόντες εἰς Μακεδονίαν καὶ εἰς τὴν ἄλλην Ἑλλάδα κακῶς ἐποίησαν ἡμᾶς, οὐδὲν προηδικημένοι· ἐγὼ δὲ τῶν Ἑλλήνων ἡγεμὼν κατασταθεὶς καὶ τιμωρήσασθαι βουλόμενος Πέρσας διέβην εἰς τὴν Ἀσίαν ὑπαρξάν-*
8 *των ὑμῶν. Καὶ γὰρ Περινθίοις ἐβοηθήσατε οἳ τὸν ἐμὸν πατέρα ἠδίκουν, καὶ εἰς Θρᾴκην ἧς ἡμεῖς ἤρχομεν, δύνα-*
9 *μιν ἔπεμψεν Ὦχος. Τοῦ δὲ πατρὸς ἀποθανόντος ὑπὸ τῶν ἐπιβουλευσάντων οὓς ὑμεῖς συνετάξατε, (ὡς αὐτοὶ*

In ed. Vulc. omissa est particula *καί*, quam neglexit quoque Blancardus. — Mox ed. Bas. *σώσοντας*.

7. *τιμωρήσασθαι*] Codd. quattuor Gronovii *τιμωρῆσαι*, quod habent quoque edd. vett. — Medium nobis obtulit cod. F. Neque id tam propterea recepimus, quod prorsus falsa nobis videatur vulgata scriptura, quam quod *τιμωρήσασθαι* semper dicitur de eo *qui iniuriam sibi illatam ulciscitur*, atque id hoc loco dicere voluisse Arrianum satis clarum est. Sic dixit I, 10, 6 *ὅτι τοὺς Θηβαίους τοῦ νεωτερισμοῦ ἐτιμωρήσαντο.* I, 17, 14 *διεκώλυσεν Ἀλέξανδρος — τιμωρεῖσθαι.* III, 18, 18 *ὁ δὲ τιμωρήσασθαι ἐθέλειν Πέρσας ἔφασκεν.* IV, 13, 6 *τιμωρησαμένῳ Ἀλέξανδρον τῆς ὕβρεως.* Cf. Demosth. Olynth. III, p. 27, Beck. Xen. Anab. VII, 1, 25. Hist. Gr. VI. 4, 19. *Τιμωρῆσαι* semper esse *punire aliquem* cuique notum est. Vid. Xen. Anab. II, 5, 27. II, 6, 29. Rpbl. Laced. II, 2.

8. *εἰς Θρᾴκην ἧς — ἤρχομεν*] In edd. vett. legebatur *ἧς — ἄρχομεν.* Sed imperfectum omnes tenent codices Gronovii et cod. Aug. Vulcanii. — Pro *ἧς* in codice F. vidit Gronovius *ἣν*, quod tam firmum existimavit Schmiederus, ut in textum reciperet. Id quod nollem factum! Quae Gronovius de attractione fabulatur, ea ferri non possunt. Cf. V, 21, 3 *ἀπολιπὼν τὴν χώραν ἧς ἦρχε.* Adde I, 17, 1. III, 26, 5, etc.

9. *διαπέμποντος*] Sic edd. vett. cum quattuor codd. Gronovii. — *πέμποντος* cod. F., et ex eo Schmiederus. Et pertinet sane hic locus ad eos, ubi qui artem criticam exerceat, nesciat quid sit faciendum. Utramque scripturam ferri posse quis est qui infitias eat? Accedit, quod, ut *δια* facile e praegresso *δεια* ortum esse posse dicas, ita e contrario etiam *δια* propter similem praeceden-

ἐν ταῖς ἐπιστολαῖς πρὸς ἅπαντας ἐκομπάσατε) καὶ Ἄρσην ἀποκτείναντός σου μετὰ Βαγώου, καὶ τὴν ἀρχὴν κατασχόντος οὐ δικαίως οὐδὲ κατὰ τὸν Περσῶν νόμον, ἀλλὰ ἀδικοῦντος Πέρσας καὶ ὑπὲρ ἐμοῦ πρὸς τοὺς Ἕλληνας γράμματα οὐκ ἐπιτήδεια διαπέμποντος, ὅπως πρός με πολεμῶσι, καὶ χρήματα ἀποστέλλοντος πρὸς Λακεδαιμονίους καὶ ἄλλους τινὰς τῶν Ἑλλήνων, καὶ τῶν μὲν ἄλλων πόλεων οὐδεμιᾶς δεχομένης, Λακεδαιμονίων τε λαβόντων, καὶ τῶν παρὰ σοῦ πεμφθέντων τοὺς ἐμοὺς φίλους διαφθειράντων, καὶ τὴν εἰρήνην ἣν τοῖς Ἕλλησι κατεσκεύασα, διαλύειν ἐπιχειρούντων, ἐστράτευσα ἐπὶ σέ, ὑπάρξαντός σου τῆς ἔχθρας. Ἐπεὶ δὲ μάχῃ νενίκηκα, πρότερον μὲν

---

tis vocabuli exitum omissum statuatur. Sed apposite hic usus videtur Arrianus verbo composito, ut quod epistolas in diversas Graeciae partes missas esse indicet. Cf. V, 9, 3 *τοὺς δὲ — ἄλλοις καὶ ἄλλοις ἐπιτάξας καὶ αὐτοὺς πολλαχῇ διέπεμπε.* V, 9, 1 *ἐπὶ ταύτας φρουρὰς διαπέμψας.* Quod Gronovius coniecit, *πέμποντος, ὅπως — διαπολεμῶσι,* non quadrat. Aliud est enim *πολεμεῖν*, aliud *διαπολεμεῖν.* Quorum posterius non nisi de eo dicitur, *qui bellum ad finem perducit;* ut II, 12, 9 *ὑπὲρ τῆς ἀρχῆς — διαπεπολεμῆσθαι.* VI, 14, 4 *ἔστ' ἂν διαπολεμηθῇ πρὸς τοὺς ἄλλους Ἰνδούς.*

πρός με πολεμῶσι] Fuit cum scribi mallem *πρὸς ἐμέ.* Sed nolo quidquam mutatum. De accentu pronominum ita positorum nihil certi statui posse iamiam docuit Buttmannus Gr. Gr. I, p. 291. Cf. Reisig. Coni. p. 56. Herm. ad Soph. Oed. Reg. v. 536. Herbst. ad Xen. Conv. V, 8. — Infra tamen dedi *παρὰ σοῦ, ἐπὶ σέ, μετὰ σοῦ* ex ed. Basil., cuius scripturam nescio quam ob causam mutavit Vulcanius. Sic etiam scripsi §. 15 *ἐπὶ σέ* pro vulgato *ἐπί σε,* ex ed. Bas., plane ut paulo ante in omnibus editionibus recte expressum est *ἐγὼ βουλεύσομαι περὶ σοῦ.*

οὐδεμιᾶς —] Ed. Bas. *οὐδὲ μιᾶς,* quod recipi posset, nisi sciremus in illa editione saepe distracta legi quae bene distrahi non possunt. Vid. ad IV, 8, 9. Sensus loci tum hic foret: *cum ne una quidem ceterarum urbium eas acciperet.* Unde nollem Goellerus (ad Thucyd. II, 72 et VII, 59) contendisset, *μηδὲ μεθ' ἑτέρων* simill. nihil aliud esse quam *μετὰ μηδετέρων* etc. Thucydidem et qui eodem modo scripsere, discrimen fecisse inter utramque locutionem persuasum mihi est, atque id quidem, quod supra in interpretatione expressimus.

τοὺς σοὺς στρατηγοὺς καὶ σατράπας, νῦν δὲ καὶ σὲ καὶ
τὴν μετὰ σοῦ δύναμιν καὶ τὴν χώραν ἔχω τῶν θεῶν μοι
11 δόντων. Ὅσοι τῶν μετὰ σοῦ παραταξαμένων μὴ ἐν τῇ
μάχῃ ἀπέθανον, ἀλλὰ παρ' ἐμὲ κατέφυγον, τούτων ἐπι-
μέλομαι καὶ οὐκ ἄκοντες παρ' ἐμοί εἰσιν, ἀλλὰ καὶ αὐ-
12 τοὶ ἑκόντες ξυστρατεύονται μετ' ἐμοῦ. Ὡς οὖν ἐμοῦ τῆς
Ἀσίας ἁπάσης κυρίου ὄντος ἧκε πρὸς ἐμέ. Εἰ δὲ φοβῇ
μὴ ἐλθὼν πάθῃς τι ἐξ ἐμοῦ ἄχαρι, πέμπε τινὰς τῶν φί-
13 λων τὰ πιστὰ ληψομένους. Ἐλθὼν δὲ πρός με τὴν μη-
τέρα καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας καὶ εἰ ἄλλο τι
θέλεις, αἴτει καὶ λάμβανε. Ὅ τι γὰρ ἂν πείθῃς ἐμὲ,
14 ἔσται σοι. Καὶ τοῦ λοιποῦ ὅταν πέμπῃς παρ' ἐμὲ, ὡς

---

10. *νῦν δὲ καὶ σὲ*] Pronomen accentu ornavi qui in plerisque editionibus desideratur. Quae ei praeposita est particula *καί*, eam inserui e cod. F., Schmiedero obsecutus.

11. *ἀλλὰ καὶ αὐτοὶ ἑκόντες*] Secundam voculam quamquam dubitans inserui rursus e cod. F. — Pro *αὐτοί* Schmiederus excudi iussit *αὑτοί*, quia sic in codice F. scribi monuerat Gronovius. At non vidit vir optimus, *αὑτοί* ex typothetae tantum errore apud Gronovium esse expressum! Formula *οὐκ ἄκοντες, ἀλλὰ ἑκόντες* poetis magis quam pedestribus scriptoribus familiaris est. Cf. Soph. Oed. Reg. v. 1230 *ἑκὼν κοὐκ ἄκων.* Adde Eurip. Heracl. v. 532. Androm. v. 357. Aeschyl. Eumenidd. v. 5 *θελούσης οὐδὲ πρὸς βίαν τινός.* Vid. Arr. VII, 13, 1 *οὐχ ἑκὼν ἑκόντι.* VII, 17, 9 *καὶ ἑκόντα καὶ ἄκοντα.* Similiter Himer. Ecl. I, p. 24 *δόξομεν γὰρ ἑκόντες ἤδη καὶ οὐκ ἄκοντες δυστυχεῖς καὶ ὑποβεβλῆσθαι Φιλίππῳ.*

14. *ὅταν πέμπῃς παρ' ἐμέ*] In edd. vett. et tribus codd. Gronovii *πέμπῃς* non comparet. In uno cod. Flor. et cod. Aug. Vulcanii legitur *ἐπειδὰν ἔλθῃς.* Solus cod. F. praebuit quam in textu vides scripturam. Et ferri etiam possit vulgata. Saepe enim Graecos scriptores in enunciatis compositis verbum semel tantum ponere ubi bis positum exspectes, docuerunt Wernsd. ad Himer. Orat. VII, p. 534 et Siebel. ad Paus. I, 21, 8. Cf. Demosth. de coron. p. 262, Beck. (p. 294, Reisk.) *ὅπερ δ' ἂν ὁ φαυλότατος καὶ δυσμενέστατος ἄνθρωπος τῇ πόλει, τοῦτο πεποιηκὼς — ἐξήτασαι,* ubi plures codices post *ἄνθρωπος* inserunt *ποιήσειε,* recte quidem, sed, ut videtur, a glossatoris manu profectum. Vide Schaef. ad poett. gnomm. p. 228; ad Demosth. t. II, p. 268.

πρὸς βασιλέα τῆς Ἀσίας πέμπε, μηδὲ [ἃ βούλει] ἐξ ἴσου ἐπίστελλε, ἀλλ' ὡς κυρίῳ ὄντι πάντων τῶν σῶν φράζε εἴ του δέῃ· εἰ δὲ μή, ἐγὼ βουλεύσομαι περὶ σοῦ ὡς ἀδικοῦντος. Εἰ δὲ ἀντιλέγεις περὶ τῆς βασιλείας, ὑπομείνας ἔτι ἀγώνισαι περὶ αὐτῆς καὶ μὴ φεῦγε· ὡς ἐγὼ ἐπὶ σὲ πορεύσομαι οὗ ἂν ᾖς. Πρὸς μὲν Δαρεῖον ταῦτα ἐπέστειλεν.

XV. Ἐπεὶ δὲ ἔμαθε τά τε χρήματα ὅσα σὺν Κωφῆνι τῷ Ἀρταβάζου ἀποπεπόμφει ἐς Δαμασκὸν Δαρεῖος ὅτι ἑάλωκε, καὶ ὅσοι Περσῶν ἀμφ' αὐτὰ ἐγκατελείφθησαν σὺν τῇ ἄλλῃ βασιλικῇ κατασκευῇ ὅτι καὶ οὗτοι ἑάλωσαν, ταῦτα μὲν ὀπίσω κομίσαντα ἐς Δαμασκὸν Παρμενίωνα

μηδὲ [ἃ βούλει] ἐξ ἴσου ἐπίστελλε] Verba *ἃ βούλει* in edd. vett. et uno codice Gronovii frustra quaeras. »In uno codice erat *μηδὲ ἃ βούλει ἐξ ἴσου*, et sic Vulcanio repertum in V. C. In duobus vero vidi *μηδὲ ἃ ἐξ ἴσου*, quomodo etiam ex Optimo solum notavi, quod tamen parum intelligo, nisi *ἃ* accipias pro *τινά*. Sed opinor vero proxima esse quae ex duobus notata indicavi, corrigendum tantum *ἀβουλεί*, hoc est, *neque temere et sine consilio te mihi parem imaginans scribe.*« *Gronov.* Equidem satius duxi, verba ista ut suspecta uncis includere, neque Gronovii coniectura accepta, neque Schmiederum secutus qui *ἃ βούλει* omnino omisit. Necessariam esse illam accessionem nemo contenderit, cum statim sequatur quod idem fere significat *εἴ του δέῃ*, ubi, ut simul hic moneam, ed. Bas. habet *δέει*.

15. *ἐπέστειλεν*] Ita cod. F., et ex eo Schmiederus. Vulgo *ἀπέστειλεν*, minus apte. Verte: *Et haec quidem ad Darium scripsit.* Cf. VII, 18, 8 *ταῦτα ἐπέστειλε πρὸς τὸν ἀδελφόν.* VII, 23, 9 *καὶ Κλεομένει — ἐπιστέλλει ἐπιστολήν.*

C. XV. *ἀποπεπόμφει*] Ed. Basil. *ἀποπεπόμφη.* — Mox eadem *ἐγκατελήφθησαν*, de qua vocalium confusione vide ann. ad I, 2, 5.

τῇ κατασκευῇ] Sic Schmiederus e codd. Gronovii et cod. Aug. Vulcanii. In edd. vett. legebatur *παρασκευῇ*. Recte conferri iubet Gronovius II, 11, 12 *τὰς γυναῖκας — ξὺν τῇ ἄλλῃ κατασκευῇ ἐς Δαμασκὸν ἔτυχον ἐσταλκότες.* III, 15, 10 *καὶ τὴν ἄλλην κατασκευὴν τὴν βασιλικήν.* Addi poterant III, 19, 4, 6 *τὴν ἔτ' ἀμφ' αὐτὸν κατασκευήν.* VI, 25, 11 *καὶ τὴν κατασκευὴν τὴν βασιλικὴν — ἀφανίσαι.*

2 φυλάσσειν ἐκέλευσε. Τοὺς δὲ πρέσβεις τῶν Ἑλλήνων οἳ πρὸς Δαρεῖον πρὸ τῆς μάχης ἀφιγμένοι ἦσαν ἐπεὶ καὶ τούτους ἑαλωκέναι ἔμαθεν, παρ' αὑτὸν πέμπειν ἐκέλευ-
3 σεν. Ἦσαν δὲ Εὐθυκλῆς μὲν Σπαρτιάτης, Θεσσαλίσκος δὲ Ἰσμηνίου, καὶ Διονυσόδωρος Ὀλυμπιονίκης, Θηβαῖοι, Ἰφικράτης δὲ ὁ Ἰφικράτους τοῦ στρατηγοῦ Ἀθηναῖος.
4 Καὶ οὗτοι ὡς ἧκον παρ' Ἀλέξανδρον, Θεσσαλίσκον μὲν καὶ Διονυσόδωρον καίπερ Θηβαίους ὄντας εὐθὺς ἀφῆκε, τὸ μέν τι κατοικτίσει τῶν Θηβῶν, τὸ δὲ ὅτι συγγνωστὰ δεδρακέναι ἐφαίνοντο, ἠνδραποδισμένης ὑπὸ Μακεδόνων τῆς πατρίδος, σφίσιν τε ἥντινα ἠδύναντο ὠφέλειαν εὑρισκόμενοι καὶ εἰ δή τινα καὶ τῇ πατρίδι ἐκ Περσῶν καὶ

---

2. *τοὺς δὲ πρέσβεις τῶν Ἑλλήνων*] Edd. vett. et quattuor codd. Gronovii post *πρέσβεις* praepositionem *ἐκ* insertam habent. Ignorat eam cod. F. Nec tamen eiecta nobis est ob huius codicis auctoritatem, sed quod Arriani ratio scribendi eam recipi vetat. Vide quae diximus ad I, 12, 9. — Infra pro vulgato *ἔλαβεν* e codice F. scripsimus *ἔμαθεν*. In uno codice vidit Gronovius *ἐπείθετο*. Cod. Aug. Vulcanii habet *ἐπύθετο*, quod ex interpretamento ortum videtur.

3. *Θεσσαλίσκος δὲ Ἰσμηνίου*] Ita codd. Gronovii. *Ἰσμενίου* edd. vett. Articulum ante genitivum omissum nemo desideret. V. I, 16, 11 *Ἀλέξανδρος Φιλίππου*. II, 20, 2 *Πρωτέας Ἀνδρονίκου*. III, 5, 5 *Ἀπολλώνιος Χαρίνου*. Et quod instar omnium est VI, 28, 6 *Λεοννάτον Ἀντέου, Ἡφαιστίωνα τὸν Ἀμύντορος, Λυσίμαχον Ἀγαθοκλέους, Περδίκκαν δὲ Ὀρόντου, Πτολεμαῖον δὲ τὸν Λάγου*. (Cf. Hist. Ind. XVIII, 6). Sic Thucyd. II, 99 *Περδίκκας Ἀλεξάνδρου*, et IV, 119, ubi multa huius structurae exempla cumulata vide. Sic denique Xenophon, ut Anab. IV, 2, 13 *Κηφισόδωρον Κηφισοφῶντος, Ἀθηναῖον, καὶ Ἀμφικράτην Ἀμφιδήμου, Ἀθηναῖον*. — Mox ed. Basil. *Διονυσίδωρος*.

Ἰφικράτους τοῦ στρατηγοῦ] Schmiederus e codd. Gronovii et V. C. Vulcanii. Mirum est quod exhibent edd. vett. *ὁ Ἰφικράτους, στρατηγὸς, Ἀθηναῖος*. Fuit sine dubio hic Iphicrates filius Iphicratis cuius memor est Xenophon in Hist. Gr. IV, 5, 13.

4. *τὸ μέν τι*] Ed. Basil. *τὸ μέν τοι*. Male. Vulgatam tuentur I, 23, 1 *καὶ τοῦ τείχους τὸ μέν τι καταπεπτωκός*. III, 3, 1 *τὸ μέν τι τῷ θεῷ χρησόμενον*. VI, 22, 10 *τὸ μέν τι δάφνῃ ἐοικός*. Easdem voculas confusas vide II, 1, 2. IV, 6, 3. De pleonastico fere usu

Δαρείου. Ταῦτα μὲν ὑπὲρ ἀμφοῖν ἐπιεικῆ ἐνθυμηθεὶς, 5
ἰδίᾳ δὲ Θεσσαλίσκον μὲν αἰδοῖ τοῦ γένους ἀφιέναι εἶπεν
ὅτι τῶν ἐπιφανῶν Θηβαίων ἦν, Διονυσόδωρον δὲ ἐπὶ τῇ
νίκῃ τῶν Ὀλυμπίων. Ἰφικράτην δὲ φιλίᾳ τε τῆς Ἀθη- 6
ναίων πόλεως καὶ μνήμῃ τῆς δόξης τοῦ πατρὸς ζῶντά τε
ἀμφ' αὑτὸν ἔχων ἐς τὰ μάλιστα ἐτίμησε, καὶ νόσῳ τε-
λευτήσαντος τὰ ὀστᾶ ἐς τὰς Ἀθήνας τοῖς πρὸς γένους
ἀπέπεμψεν. Εὐθυκλέα δὲ Λακεδαιμόνιόν τε ὄντα, πό- 7
λεως περιφανῶς ἐχθρᾶς ἐν τῷ τότε, καὶ αὐτὸν οὐδὲν ἰδίᾳ
εὑρισκόμενον ἐς ξυγγνώμην ὅ τι γε καὶ λόγου ἄξιον, τὰ
μὲν πρῶτα ἐν φυλακῇ ἀδέσμῳ εἶχεν, ὕστερον δὲ ἐπεὶ με-
γάλα εὐτύχει, καὶ τοῦτον ἀφῆκεν. Ἐκ Μαράθου δὲ ὁρ- 8

---

pronominis indefiniti plura dicere otiosum foret post Bergl. ad Alciphr. p. 124, ed. Wagn. Heind. ad Plat. Phaed. p. 65, A. Stallb. ad Plat. Phileb. p. 15. Fritzsch. Qu. Lucc. p. 21. Iacobs. vv. ll. in diar. schol. Darmstad. 1828, P. II, p. 661. — Quod infra scripsit *εὑρισκόμενοι*, dictum videtur pro *εὑρίσκεσθαι πειρώμενοι*, uti locutus est Thucyd. I, 31 *ὠφέλειάν τινα πειρᾶσθαι ἀπ' αὐτῶν εὑρίσκεσθαι.* Cf. Krueg. ad Xen. Anab. II, 1, 8. V. Arr. IV, 9, 4 et ann. ad III, 17, 11.

5. *Διονυσόδωρον δέ*] Ed. Bas. *Διονυσόδωρος δέ.* — Infra eadem inepte *ἄπεμψε* pro *ἀπέπεμψε.*

7. *Εὐθυκλέα δέ*] Minus apte ed. Bas. *Εὐθ. τε*, quamquam vide Schaef. ad Dion. Hal. p. 192 sqq. — Pro *περιφανῶς ἐχθρᾶς* in edd. vett. et quattuor codd. Gronovii *περιφανοῦς, ἐχθρᾶς*, quod falsum esse iam sensit Vulcanius in interpretatione. Verum hausimus e codice F. Adverbium illud vide Hist. Ind. XXXII, 13 *καί μοι δοκεῖ περιφανέως σῶσαι τὴν στρατιάν.*

ὕστερον δὲ ἐπεὶ μεγάλα εὐτύχει] In edd. vett. legebatur *ὕστερον δὲ καὶ ὡς ἐπὶ μεγάλα εὐτύχει.* In quibusdam Gronovii codicibus deest *καί*, et in iisdem pro *μεγάλα* legitur *μέγα.* Quod cum Schmiedero recepimus, debemus cod. F. et uni alii. Adverbium *μεγάλα* optime stabilitur iis quae diximus in ann. ad I, 25, 9. Qui scripserunt *ἐπὶ μέγα*, in errorem deducti sunt, quia saepe apud Arrianum hanc formulam viderant, ut II, 26, 5. VI, 3, 6. VII, 21, 3; cf. ad II, 5, 3. At vero tum tantum istis vocibus utitur Arrianus, cum rei cuiusdam progressum sive, ut ita dicam, auctionem vult indicare. Non igitur adduntur nisi verbis activis vel talibus certe quae motum, progressum etc. significant. Particula *ὡς* vero ab

μηδεὶς Βύβλον τε λαμβάνει ὁμολογίᾳ ἐνδοθεῖσαν, καὶ Σιδῶνα, αὐτῶν Σιδωνίων ἐπικαλεσαμένων κατὰ ἔχθος τὸ
9 Περσῶν καὶ Δαρείου. Ἐντεῦθεν δὲ προὐχώρει ὡς ἐπὶ Τύρον, καὶ ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβεις Τυρίων ἀπὸ τοῦ κοινοῦ ἐσταλμένοι, ὡς ἐγνωκότων Τυ-
10 ρίων πράσσειν ὅ τι ἂν ἐπαγγέλλῃ Ἀλέξανδρος. Ὁ δὲ τήν τε πόλιν ἐπαινέσας καὶ τοὺς πρέσβεις (καὶ γὰρ ἦσαν τῶν ἐπιφανῶν ἐν Τύρῳ οἵ τε ἄλλοι καὶ ὁ τοῦ βασιλέως τῶν Τυρίων παῖς· αὐτὸς δὲ ὁ βασιλεὺς Ἀζέμιλκος μετ' Αὐ-

---

iisdem illis inserebatur, cum coniunctione sive *ἐπεί* sive simili quadam omissa totius enunciati nexus interrumperetur. De *ἐπί* et *ἐπεί* saepe confusis vide Pors. ad Eurip. Med. v. 675. Elmsl. ad Med. v. 1345. Iacobs. ad Anth. Palat. p. 473. Passov. ad Dionys. Perieg. p. 93.

8. *κατὰ ἔχθος τὸ Περσῶν*] Edd. ante Gron. *κατὰ ἔχθραν τῶν Περσῶν*. »Omnes plane antiqui, quos ego inspexi, sed et V. C. quem Vulcanius postea adhibuit *ἄχθος* vel *ἔχθος τὸ Περσῶν*, et repetit eius vocis usum V, 21, 4 *κατὰ ἔχθος τὸ Πώρου*.« *Gronov.* Vid. ann. ad I, 1, 4 et III, 26, 1. Simillima sunt *κατὰ οἰκειότητα τὴν Δαρείου* III, 21, 9. **κατὰ πίστιν τὴν Φιλώτα** III, 27, 1. *κατὰ γένος τὸ Ἀλεξάνδρου* IV, 10, 8. *κατὰ ζῆλον τὸν Ἀχιλλέως* VII, 14, 7. Hunc usum articuli vero a Thucydide didicisse Arrianum, id quod contendere videtur Poppo proll. ad Thucyd. I, 1, p. 369, non magis verisimile est, quam si quis contendat, Arrianum in usu particulae *ἐπεί* s. *ὅτε* cum optativo Xenophontem esse secutum. Aliter habent quae monuimus ad II, 18, 12. VI, 26, 12. VII, 14, 3 et passim alibi.

9. *ὅ τι ἂν ἐπαγγέλλῃ*] Sic scripsi pro vulgato *ἐπαγγέλῃ*, quod in suum usum convertit Passovius ad Parthen. Erott. p. 70. At vide Schneid. ad Plat. Civit. p. 109: » — — ut nullo modo liceat hoc exemplo aoristum secundum defendere, qui etiam propterea suspectus est, quod librarii saepe in hoc verbo $\overline{\lambda}$ pro $\overline{\lambda\lambda}$ posuerunt. E. g. L. IV, p. 432, D et Protag. p. 310, B *ἀγγέλεις*. Phaedr. p. 259, C *ἀπαγγέλειν*. Phaed. p. 59, E *παραγγέλουσιν*.« Quibus adde quae dixit Fritzsch. ad Luc. Philopseud. p. 357. Praeterea conferas II, 16, 10 *ἔδοξέ σφισι ποιεῖν ὅτιπερ ἐπαγγέλλῃ*. Mala scriptura ab editore Basileensi propagata passim correcta est, ut II, 4, 14, passim non correcta, ut III, 25, 5 et VII, 3, 3. Gronovio in talibus non esse confidendum ex iis quae in praefatione de codicibus ab eo collatis diximus, cuique persuasum erit.

τοφραδάτου ἔπλει) ἐκέλευσεν ἐπανελθόντας φράσαι Τυρίοις, ὅτι ἐθέλοι παρελθὼν ἐς τὴν πόλιν θῦσαι τῷ Ἡρακλεῖ.

XVI. Ἔστι γὰρ ἐν Τύρῳ ἱερὸν Ἡρακλέους παλαιότατον ὧν μνήμη ἀνθρωπίνη διασώζεται, οὐ τοῦ Ἀργείου Ἡρακλέους τοῦ τῆς Ἀλκμήνης. Πολλαῖς γὰρ γενεαῖς πρό- 2
τερον τιμᾶται ἐν Τύρῳ Ἡρακλῆς, ἢ Κάδμον ἐκ Φοινίκης ὁρμηθέντα Θήβας κατασχεῖν καὶ τὴν παῖδα Κάδμῳ τὴν Σεμέλην γενέσθαι, ἐξ ἧς καὶ [ὁ] τοῦ Διὸς Διόνυσος γίνε-
ται. Διόνυσος μὲν δὴ τρίτος ἂν ἀπὸ Κάδμου εἴη κατὰ Λά- 3

---

10. *Ἀζέμιλκος*] »In libris antiquis tum ita pronunciatur, ut est in vulgatis *Ἀζέλμικος*, tum etiam *Ἀζέλκημος*, *Ἀζέμικλος*, *Ἀζέμιλκος*. Ex quibus solum ultimum verum esse probant similia Orientis nomina, ut *Milca*, *Milcom*, *Melchom*, *Malcham*; et hinc alibi *Imilcar*, *Bomilcar*. Sane II, 24, 8 tam Optimus, quam duo alii mss. *Ἀζέμιλκος*.« *Gronov.* De similibus in codicibus literarum transpositionibus monuimus ad 1, 28, 3. IV, 17, 7.

C. XVI. *παλαιότατον ὧν μνήμη*] Coniecit ita scribendum esse Vulcanius in margine editionis Stephanianae; assentientes habet omnes codices Gronovii. In editione Basileensi sic legebatur: *παλαιότητα οὗ μνήμη ἀνθρωπίνη.* Eandem superlativi depravationem notavit Gronovius e III, 4, 3, ubi ed. Bas. habet *ψυχρότητα* pro genuino *ψυχρότατον*. Sic Hist. Ind. XXXIV, 2 recte nunc legitur *τὴν βραχυτάτην* pro vulgari *βραχύτητα*. Hist. Ind. XXIV, 2 retinendum censeo *τήν τε λαμπρότητα*, quamvis cod. F. exhibeat *τό τε λαμπρότατον*. Praeterea cf. ann. ad II, 12, 1. III, 4, 4.

2. *ἐξ ἧς καὶ [ὁ] τοῦ Διὸς Διόνυσος*] »Gronovius legendum censet *ἐξ ἧς καὶ τοῦ Διὸς ὁ Διόνυσος γίνεται*. Sed nec hoc Graecum est. Si mutare velis, lege: *ἐξ ἧς καὶ Διὸς Διόνυσος γίνεται.* Sic paulo post *Διόνυσόν τὸν Διὸς καὶ Κόρης*. Voces *ὁ τοῦ Διός* glossema redolent, ideoque uncis inclusi.« *Schmied.* Sunt sane quae vulgatam scripturam dubiam reddant. Sed si Schmiederum audires, particula *καὶ* inepte apposita esset. Ad vulgatam accedunt haec Soph. Aiac. v. 395 *ἀλλά μ' ἁ Διός γ' ἀλκίμα θεός*. Oed. Col. v. 623 *χὠ Διὸς Φοῖβος*. Euripid. Iph. Aul. v. 470 *ὁ Πριάμου Πάρις*. Plut. de Fort. p. 97, D *ὁ μὲν Φιλίππου Ἀλέξανδρος*. Eiusdem tamen generis neque haec sunt. Inde factum, ut articulum priorem cancellis circumscripserim.

βδακον τὸν Πολυδώρου τοῦ Κάδμου παῖδα, Ἡρακλῆς δὲ ὁ
4 Ἀργεῖος κατ' Οἰδίποδα μάλιστα τὸν Λαΐου. Σέβουσι δὲ καὶ
Αἰγύπτιοι ἄλλον Ἡρακλέα, οὐχ ὅνπερ Τύριοι ἢ Ἕλληνες.
Ἀλλὰ λέγει Ἡρόδοτος, ὅτι τῶν δώδεκα θεῶν Ἡρακλέα ἄγου-
σιν Αἰγύπτιοι, καθάπερ καὶ Ἀθηναῖοι Διόνυσον τὸν Διὸς
καὶ Κόρης σέβουσιν, ἄλλον τοῦτον Διόνυσον· καὶ ὁ Ἴακχος ὁ
μυστικὸς τούτῳ τῷ Διονύσῳ, οὐχὶ τῷ Θηβαίῳ ἐπᾴδεται.
5 Ὡς τόν γε ἐν Ταρτησσῷ πρὸς Ἰβήρων τιμώμενον Ἡρακλέα,
ἵνα καὶ στῆλαί τινες Ἡρακλέους ὠνομασμέναι εἰσὶ, δοκῶ ἐγὼ
τὸν Τύριον εἶναι Ἡρακλέα, ὅτι Φοινίκων κτίσμα ἡ Ταρτησ-
σὸς καὶ τῷ Φοινίκων νόμῳ ὅ τε νεὼς πεποίηται τῷ Ἡρακλεῖ

---

5. *κτίσμα ἡ Ταρτησσός*] Sensum magis quam verba respiciens Eustathius ad Dion. Perieg. p. 185 scripsit: *Ἀῤῥιανὸς δὲ καὶ τὴν Ταρτησὸν* (sic) *Φοινίκων κτίσμα φησίν*. — Mox in ed. Bas. legitur *τῷ Φοινίκῳ νόμῳ*. — Infra eadem *οὐδέν τι προσήκει* pro *προσήκειν*, vitio aperto.

7. *ἀπελάσαι — τὰς βόας*] Sic codd. quos inspexit Gronovius omnes. *τὰς βοῦς* edd. omnes. »Quia superius omnes codices retinent *τὰς βοῦς*, nihil mutavi.« *Schmied.* Quasi haec causa esse possit etiam hic retinere quod omnes codices respuunt! Similem substantivi in eodem fere enunciato formae mutationem vide II, 24, 8. Cf. ann. ad II, 20, 1. V, 6, 8. VI, 15, 2. De accusativi vocis *βοῦς* duplici forma vide Bornem. ad Xenoph. Anab. III, 5, 9. Ceterum neminem spero fore qui me vituperet, quod supra pro vulgato *ἐπελάσαι* de meo dederim *ἀπελάσαι*. — Pro *οὐδὲ τοῦτον φαῦλον ἆθλον* apud Eustath. ad Dion. Perieg. p. 214, ed. Bernh. legitur *οὐδὲ τοῦτο*, non inepte. Sed hoc dicere voluisse videtur Arrianus: *neque hunc laborem parvum iudicasse.*

8. *οἶδα δὲ ἐγὼ καὶ ἐς τοῦτο ἔτι — τρέφουσαν*] In edd. omnibus et codd. Gronovii legitur *ἐς τοῦτο, ὅτι — τρέφουσαν*. Alteram scripturam cuius fautor exstiti, Vulcanius commendavit in margine editionis suae. Atque egregie ea confirmatur ab Eusthathio ad Dionys. Perieg. v. 558, p. 214, ed. Bernh. locum Arriani sic scriptum exhibente, ut Vulcanius voluit. Accedit denique ipsius Arriani auctoritas, ut qui dixerit Hist. Ind. VIII, 9 *ὅντινα καὶ ἐς τοῦτο ἔτι — ἐκκομίζουσι*. Tact. c. XLII *δρώμενα εἰς τοῦτο ἔτι*. Peripl. Ponti Eux. c. VII, init. *μαχιμώτατοί εἰσιν ἐς τοῦτο ἔτι*. Et in incerto op. apud Eustath. ad Dion. Perieg. p. 166 *Βενετοὶ*

τῷ ἐκεῖ καὶ θυσίαι θύονται. Γηρυόνην δὲ ἐφ' ὅντινα ὁ 6 Ἀργεῖος Ἡρακλῆς ἐστάλη πρὸς Εὐρυσθέως τὰς βοῦς ἀπελάσαι τὰς Γηρυόνου καὶ ἀγαγεῖν ἐς Μυκήνας, οὐδέν τι προσήκειν τῇ γῇ τῶν Ἰβήρων Ἑκαταῖος ὁ λογοποιὸς λέγει· οὐδὲ ἐπὶ νῆσόν τινα Ἐρύθειαν ἔξω τῆς μεγάλης θαλάσσης σταλῆναι Ἡρακλέα· ἀλλὰ τῆς ἠπείρου τῆς περὶ 7 Ἀμβρακίαν τε καὶ Ἀμφιλόχους βασιλέα γενέσθαι Γηρυόνην, καὶ ἐκ τῆς ἠπείρου ταύτης ἀπελάσαι Ἡρακλέα τὰς βόας οὐδὲ τοῦτον φαῦλον ἆθλον τιθέμενον. Οἶδα δὲ ἐγὼ 8 καὶ εἰς τοῦτο ἔτι εὔβοτον τὴν ἤπειρον ταύτην καὶ βοῦς τρέφουσαν καλλίστας· καὶ ἐς Εὐρυσθέα τῶν μὲν ἐξ Ἠπεί-

---

ἐς τοῦτο ἔτι ἀντὶ Ἐνετῶν κλήζονται. Nihilominus tamen non cum Bernhardyo ad Dion. Perieg. p. 900 contenderim vulgatam omnino esse corruptam. Haud raro enim Graeci post verba sentiendi, cogitandi, dicendi, quae duplicem admittunt constructionem, unam cum accusativo cum infinitivo vel participio, alteram cum indicativo adiecta particula ὡς sive ὅτι, hanc duplicem constructionem coniungunt, ut post ὅτι s. ὡς infinitivus positus compareat vel participium. Testis est ipse Arrianus, ut III, 26, 1 καὶ λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος ὅτι προηγγελμένην ἤδη οἱ καὶ πρότερον. Et vide, si plura cupis, Goell. ad Thucyd. IV, 37. Popp. proll. ad Thuc. I, p. 198. Heind. ad Plat. Gorg. p. 115; et inprimis Fritzsch. Qu. Lucc. p. 172 sqq. Unde, nisi graviora testimonia particulam ἔτι sustentarent, in vulgata adquievissem. Gronovius vero aperte erravit ἐς τοῦτο interpretatus *ad hoc*, i. e. *praeter ea quae dixi ad confirmationem huius sententiae.* Nam omnia exempla quae ad confirmandum hanc interpretationem attulit VII, 7, 9. VII, 30, 5. Hist. Ind. VIII, 9, tantum abest ut eam confirment, ut excepto loco VII, 7, 9, ubi scriptura vulgata male habet, prorsus ab ea abhorreant. Unice veram ista verba interpretandi viam ingressus est Vulcanius, vertens: *ad hunc usque diem* s. *ad hoc usque tempus.* Et particula ἔτι admissa hic est verborum sensus: *Neque me latet, etiam ad hunc usque diem — opimas boves in illa terra pasci.*

καὶ ἐς Εὐρυσθέα — ἀφῖχθαι] Haec est scriptura codd. Gronovii et V. C. Vulcanii. Cum in editione Basileensi praepositio neglecta esset, Vulcanius in ora editionis suae coniecit πρὸς Εὐρυσθέα, non male. At cf. IV, 12, 5 ὡς δὲ ἐς Καλλισθένην ἧκεν ἡ πρόποσις. —

ρου βοῶν κλέος ἀφῖχθαι καὶ τοῦ βασιλέως τῆς Ἠπείρου
τὸ ὄνομα τὸν Γηρυόνην, οὐκ ἔξω τοῦ εἰκότος τίθεμαι.
9 Τῶν δὲ ἐσχάτων τῆς Εὐρώπης Ἰβήρων οὔτ' ἂν τοῦ βα-
σιλέως τὸ ὄνομα γινώσκειν Εὐρυσθέα, οὔτε εἰ βοῦς κα-
λαὶ ἐν ταύτῃ τῇ χώρᾳ νέμονται, εἰ μή τις Ἥραν τούτοις
ἐπάγων, ὡς αὐτὴν ταῦτα Ἡρακλεῖ δι' Εὐρυσθέως ἐπαγ-
γέλλουσαν, τὸ οὐ πιστὸν τοῦ λόγου ἀποκρύπτειν ἐθέλοι
τῷ μύθῳ. Τούτῳ Ἡρακλεῖ τῷ Τυρίῳ ἔφη ἐθέλειν θῦ-
10 σαι Ἀλέξανδρος. Ὡς δὲ ἀπηγγέλθη ταῦτα πρὸς τῶν
πρέσβεων εἰς τὴν Τύρον, τὰ μὲν ἄλλα ἔδοξέ σφισι ποι-
εῖν ὅτιπερ ἐπαγγέλλῃ Ἀλέξανδρος, εἰς δὲ τὴν πόλιν
μήτε τινὰ Περσῶν μήτε Μακεδόνων δέχεσθαι, ὡς τοῦτο

τὸν Γηρυόνην] »Has voces pro glossemate habeo. Saltem scriptum esse deberet τὸ τοῦ Γηρυόνου.« *Schmied.* Nihil scrupuli residet in illis vocibus. Neque opus est Schmiederi emendatione.

9. οὔτε εἰ βοῦς καλαί] Ita cod. F. cum Aug. Vulcanii. Reliqui codd. εἴτε εἰ βοῦς —. In edd. vett. legebatur εἴτε βοῦς. In nominativi forma βοῦς pro βόες nemo offendat. Sic dixit IV, 30, 16 ναῦς ἐποιήθησαν, de qua forma vide ann. ad II, 20, 1. Unde etiam apud Xenophontem Cyrop. IV, 1, 9 non cum Zeunio condemnem quod plures codd. habent πολλοὶ δὲ βοῦς, quamquam melius esse potest quod hodie legitur βόες.

10. εἰς δὲ τὴν πόλιν] »Sic rescripsi ex ed. Basil. et Vulcaniana. In Veneta est ἐς δὲ τὴν πόλιν. In Gronoviana typorum lapsu, deinde etiam in reliquis editionibus excidit adversativa δέ.« *Schmied.* Forma εἰς, an ἐς h. l. praestet, haud facile decerni potest. Utraque forma Arrianum usum esse in praefatione demonstratum est.

ἀσφαλέστατον — γενησόμενον] Recepimus quod sine ulla dubitatione verum coniecit cl. Lobeckius ad Phryn. p. 248. Vulgata scriptura ὡς — τοῦτο — γνωσόμενοι non habet quo defendatur. Alteram scripturam centena firmam reddunt exempla, ut II, 18, 2 ὡς ἁλωσομένην τὴν Τύρον. III, 24, 5 ὡς πρὸς ταῦτά γ' οὐχ ἥξοντα Ἀλέξανδρον. IV, 29, 9, ὡς, εἰ ξυμμίξοι, ἐσόμενον ἔργον. V, 4, 5 ὡς τάγε — οὐκ ἐξελεγχθησόμενα.

C. XVII. αὐτήν τε ὀπίσω —] Ultimam vocem, qua carent edd. vett., cum Schmiedero inseruimus ex auctoritate codicum Gronovii et V. C. Vulcanii.

καὶ Αἴγυπτον καὶ Κύπρον ἐχομένας] Ita codd. Gron. et V. C. Vulcanii. Edd. ante Gronovium ἐχομένην. Ad quae Grono-

ἔς τε τὰ παρόντα τῷ λόγῳ εὐπρεπέστατον, καὶ ἐς τοῦ πολέμου τὴν κρίσιν, ἄδηλον ἔτι οὖσαν, ἀσφαλέστατόν σφισι γενησόμενον. Ὡς δὲ ἐξηγγέλθη Ἀλεξάνδρῳ τὰ ἐκ 11
τῆς Τύρου, τοὺς μὲν πρέσβεις πρὸς ὀργὴν ὀπίσω ἀπέπεμψεν, αὐτὸς δὲ ξυναγαγὼν τούς τε ἑταίρους καὶ τοὺς ἡγεμόνας τῆς στρατιᾶς καὶ ταξιάρχας καὶ ἰλάρχας, ἔλεξεν ὧδε.

XVII. Ἄνδρες φίλοι καὶ ξύμμαχοι, ἡμῖν οὔτε τὴν ἐπ' Αἴγυπτον πορείαν ἀσφαλῆ ὁρῶ, θαλασσοκρατούντων Περσῶν· Δαρεῖόν τε διώκειν, ὑπολιπομένους αὐτήν τε ὀπίσω τὴν Τυρίων πόλιν ἀμφίβολον καὶ Αἴγυπτον καὶ Κύπρον ἐχομένας πρὸς Περσῶν, οὐδὲ τοῦτο ἀσφαλὲς ἔς

vius: »Vulgata satis se tuetur ex densa consuetudine manus Arrianeae singularem numerum ponentis, qui tamen ad utrumque praecedens aut sequens referri debeat. Sic aliquoties λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος pro λέγουσι III, 26, 1 et VI, 11, 10. Sic μεγίστην μοῖραν — ποιεῖ Ἐρατοσθένης τε καὶ Μεγασθένης V, 6, 2. μεταξὺ Ἰνδοῦ ποταμοῦ καὶ Ὑδάσπου V, 3, 8. ξυμβολὰς τοῦ τε Ἀκεσίνου καὶ τοῦ Ὑδραώτου ποταμοῦ VI, 5, 15. Haec cum ita sint, nihilominus Mss. exhibent ἐχομένας, perinde ut V, 6, 7 Ἡρόδοτός τε καὶ Ἑκαταῖος οἱ λογοποιοί. VII, 7, 6 τῶν γὰρ δὴ ποταμῶν τοῦ τε Εὐφράτου καὶ τοῦ Τίγρητος. Sic cum tot locis libere agat auctor, plane novum occurrit V, 5, 1 ὅσα Μεγασθένης τε καὶ Ἐρατοσθένης δοκίμω ἄνδρε ξυνεγραψάτην. Propterea censeo auscultandum antiquis exemplaribus.« Ex his omnibus nihil aliud vides, nisi Gronovium nihil vidisse. Minime libere agit Arrianus, sed ut solet in plurimis, certis quibusdam iisque Atticorum praeceptis orationem suam accomodat. Ponit enim singularem verbi, quando sive duo sive plura substantiva sequuntur, pluralem, quando praecedunt. Cf. I, 17, 6 χειμὼν ἐπιγίγνεται καὶ βρονταὶ σκληραί. II, 5, 10 πομπεύσας αὐτός τε καὶ ἡ στρατιά. II, 11, 12 τό τε στρατόπεδον ἑάλω καὶ ἡ μήτηρ καὶ ἡ γυνή. III, 6, 1 ἐγεφυρώθη ὅ τε — πόρος — καὶ αἱ διώρυχες πᾶσαι. III, 22, 7 ἵνα τήν τε μητέρα αἰχμαλωτισθεῖσαν καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐπεῖδεν. Quibus adde IV. 21, 2. IV, 24, 6. V, 8, 3. VI, 4, 7. Contra vide I, 17, 9 Κάλαν δὲ καὶ Ἀλέξανδρον ἄγοντας, ubi vulgatam ἄγοντα quominus retineas, impediunt omnes codices. III, 2, 4 οὓς Φαρνάβαζος καὶ Αὐτοφραδάτης ἐγκατέστησαν. III, 22, 6 εὐθὺς δὲ Ἰωνία τε καὶ Αἰολὶς εἴχοντο. VI, 1, 6 τὸν μὲν Ὑδάσπην — τὸν δ'

τε τὰ ἄλλα καὶ μάλιστα δὴ ἐς τὰ Ἑλληνικὰ πράγματα·
2 μή ποτ᾽ ἄρα ἐπικρατήσαντες αὖθις τῶν ἐπὶ θαλάσσῃ χω-
ρίων οἱ Πέρσαι, προχωρησάντων ἡμῶν ξὺν τῇ δυνάμει ὡς
ἐπὶ Βαβυλῶνά τε καὶ Δαρεῖον, αὐτοὶ ξὺν πλείονι στόλῳ
μεταγάγοιεν τὸν πόλεμον ἐς τὴν Ἑλλάδα, Λακεδαιμονίων
μὲν ἡμῖν ἐκ τοῦ εὐθέως πολεμούντων, τῆς δὲ Ἀθηναίων
πόλεως φόβῳ μᾶλλόν τι ἢ εὐνοίᾳ τῇ πρὸς ἡμᾶς πρὸς τὸ
3 παρὸν κατεχομένης· ἐξαιρεθείσης δὲ Τύρου ἥ τε Φοινίκη
ἔχοιτο ἂν πᾶσα, καὶ τὸ ναυτικὸν ὅπερ πλεῖστόν τε καὶ
κράτιστον τοῦ Περσικοῦ τὸ Φοινίκων παρ᾽ ἡμᾶς μεταχω-
4 ρήσειν εἰκός. Οὐ γὰρ ἀνέξονται οὔτε οἱ ἐρέται οὔτε οἱ
ἐπιβάται Φοίνικες, ἐχομένων σφίσι τῶν πόλεων, αὐτοὶ
5 ὑπὲρ ἄλλων πλέοντες κινδυνεύειν. Κύπρος δὲ ἐπὶ τῷδε

Ἀκεσίνην — ξυμβάλλοντας, et quae eiusdem generis sunt centena alia. Aliter explicanda sunt quae leguntur I, 15, 3 *τό τε κράτιστον τῆς Περσικῆς ἵππου ἐπετέτακτο, οἵ τε Μέμνονος παῖδες καὶ αὐτὸς ὁ Μέμνων μετὰ τούτων ἐκινδύνευσε.*

2. *ὡς ἐπὶ Βαβυλῶνα*] Noluimus obsequi codici F., qui particulam *ὡς* non agnoscit. Schmiederus, ut solet, statim eam eiecit. At vide II, 15, 9 *προὐχώρει ὡς ἐπὶ Τύρον.* III, 18, 14 *ἦγεν ὡς ἐπὶ τὸν ποταμόν.* V, 13, 2 *ἤλαυνεν ὡς ἐπὶ τὸν Πῶρον.* VI, 8, 1 *προὐχώρει ὡς ἐπὶ τοὺς ἄλλους Μάρδους.* Saepe autem *ὡς* a librariis omissum esse evincunt quae diximus in ann. ad I, 27, 5 et VI, 7, 6. — Paulo infra ed. Bas. *μεταγάγοιε.*

ἐκ τοῦ εὐθέως] Maluimus cum edd. Venet. et Basil., quae hanc praebent formam, peccare, quam novum quid intrudere cum Vulcanio et qui eum exceperunt, Gronovio, Raphelio, Schmiedero. Hi enim scripserunt *εὐθέος.* Eadem scripturae discrepantia obtinet V, 27, 1. Quo vero iure ita scripserint, quibusve testimoniis illa nitatur formae mutatio, frustra quaeras. Gronovium de his quae vulgo dicuntur minutiis codices suos non consuluisse persuasum mihi est. Et scriptores fatiscentis Graecitatis *ἐκ τοῦ εὐθέως* scripsisse non negabit qui perlegerit cl. Lobeckii annotationem ad Phryn. p. 247 sqq. Neque assentior Siebelisio ad Paus. VII, 12, 1 contendenti, apud Pausaniam ubique scribendum esse *ἐκ τοῦ εὐθέος*, etiam ubi omnes codd. habeant *εὐθέως.* Apud Arr. Cyneg. c. XXIV hodie quidem legitur *ἐκ τοῦ εὐθέος.* Num autem pro genuino habendum? Cf. vv. ll. ad Thucyd. I, 34.

ἢ οὐ χαλεπῶς ἡμῖν προσχωρήσει, ἢ ἐξ ἐπίπλου εὐμαρῶς ληφθήσεται. Καὶ ταῖς τε ἐκ Μακεδονίας ναυσὶ καὶ ταῖς 6
Φοινίσσαις πλεόντων ἡμῶν τὴν θάλασσαν, καὶ Κύπρου ἅμα προσγενομένης, θαλασσοκρατοῖμέν τε ἂν βεβαίως καὶ ὁ ἐς Αἴγυπτον στόλος εὐμαρῶς ἡμῖν ἐν ταὐτῷ γίνεται. Αἴγυπτον δὲ παραστησαμένοις ὑπέρ τε τῆς Ἑλλά- 7
δος καὶ τῆς οἰκίας οὐδὲν ἔτι ὕποπτον ὑπολείπεται· τόν τε ἐπὶ Βαβυλῶνος στόλον μετὰ τοῦ ἐς τὰ οἴκοι ἀσφαλοῦς καὶ ξὺν μείζονι ἅμα ἀξιώσει ποιησόμεθα, ἀποτετμημένοι τήν τε θάλασσαν Περσῶν ξύμπασαν καὶ τὴν ἐπὶ τάδε τοῦ Εὐφράτου γῆν.

XVIII. Ταῦτα λέγων οὐ χαλεπῶς ἔπειθεν ἐπιχειρεῖν τῇ Τύρῳ· ἀλλά καί τι θεῖον ἀνέπειθεν αὐτὸν, ὅτι

---

3. παρ' ἡμᾶς] Ed. Bas. παρ' ἡμῶν. Quae casuum horum mutatio passim in ea observata est, ut II, 13, 7, 10.

4. οὔτε οἱ ἐρέται οὔτε —] Prior particula in edd. vett. desideratur. Inserta est ex auctoritate codd. Gron. Ceterum si ab omnibus libris abesset, nemo eam additam vellet. Vid. Plut. Lycurg. c. 29 καὶ μηδὲν ἀλλάσσειν μήτε μετακινεῖν. Pyrrh. c. 3 οὐδεὶς δ' ἦν πένης οὔτε ἄδοξος οὕτως. Conferas Schaef. ad Bos. Ell. p. 777. Lob. ad Aiac. p. 314. Herm. ad Soph. Philoct. v. 760. Blomfield. ad Aeschyl. Agam. v. 543.

5. ἐπὶ τῷδε] Ed. Bas. ἐπὶ τόδε, perperam. Est enim ἐπὶ τῷδε aut *post, deinde*, ut h. l. et IV, 11, 16 τὸν πρῶτον προσκυνηθῆναι — καὶ ἐπὶ τῷδε ἐμμεῖναι τοῖς Πέρσαις, aut *propterea, hanc ob causam*, ut I, 12, 9 καὶ ἐπὶ τῷδε οὐκ ἀπαξιῶ ἐμαυτόν. III, 5, 10 ἐπὶ τῷδε ἐκπέμπειν. Adde III, 28, 12. VI, 1, 7. VII, 20, 8.

6. πλεόντων — τὴν θάλασσαν] Sic dixit VI, 19, 10 ὡς πεπλευκέναι τὴν μεγάλην θάλασσαν. VII, 20, 18 οὐ γὰρ ἐπὶ τῷ πλεῦσαι τὴν μεγάλην θάλασσαν. Vid. Dorv. ad Char. p. 249. Wernsd. ad Himer. p. 236. Simile est quod habes VI, 23, 1 γῆν πολλὴν πορεύεσθαι.

7. τήν τε θάλασσαν —] Ita edd. Venet. Basil. Vulc. Schmied. Mediam vocem primus neglexit Blancardus. Secuti sunt Gronovius, Raphelius, Borheckius.

C. XVIII. ἐπιχειρεῖν τῇ Τύρῳ· ἀλλά καί τι θεῖον] In ed. Bas. legitur ἐπιχειρεῖν τῇ Τύρῳ, θεῖον ἀνέπειθεν. Quae cum haud apte cohaererent, Vulcanius scripsit — ἔπειθεν. Ἐπιχειρεῖν δὲ τῇ Τύρῳ κ. τ. λ. »In hac autem interpolatione non prima solum periodus

*ἐνύπνιον αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐδόκει αὐτὸς μὲν τῷ
τείχει προσάγειν τῶν Τυρίων, τὸν δὲ Ἡρακλέα δεξιοῦ-*
2 *σθαί τε αὐτὸν καὶ ἀνάγειν ἐς τὴν πόλιν. Καὶ τοῦτο ἐξη-
γεῖτο Ἀρίστανδρος ὡς ξὺν πόνῳ ἁλωσομένην τὴν Τύρον,*
3 *ὅτι καὶ τὰ τοῦ Ἡρακλέους ἔργα ξὺν πόνῳ ἐγένοντο. Καὶ
γὰρ καὶ μέγα ἔργον τῆς Τύρου ἡ πολιορκία ἐφαίνετο.
Νῆσός τε γὰρ αὐτοῖς ἡ πόλις ἦν καὶ τείχεσιν ὑψηλοῖς
πάντῃ ὠχύρωτο· καὶ τὰ ἀπὸ θαλάσσης πρὸς τῶν Τυρίων
μᾶλλόν τι ἐν τῷ τότε ἐφαίνετο, τῶν τε Περσῶν ἔτι θα-
λασσοκρατούντων καὶ αὐτοῖς τοῖς Τυρίοις νεῶν ἔτι πολ-*
4 *λῶν περιουσῶν. Ὡς δὲ ταῦτα ὅμως ἐκράτησε, χῶμα ἔγνω*
5 *χωννύναι ἐκ τῆς ἠπείρου ὡς ἐπὶ τὴν πόλιν. Ἔστι δὲ
πορθμὸς τεναγώδης τὸ χωρίον, καὶ τὰ μὲν πρὸς τῇ ἠπείρῳ
τῆς θαλάσσης βραχέα καὶ πηλώδη αὐτοῦ· τὰ δὲ πρὸς
αὐτῇ τῇ πόλει ἵνα τὸ βαθύτατον τοῦ διάπλου, τριῶν μά-*
6 *λιστα ὀργυιῶν τὸ βάθος. Ἀλλὰ λίθων τε πολλῶν ἀφθο-
νία ἦν καὶ ὕλης ἥντινα τοῖς λίθοις ἄνωθεν ἐπεφόρουν.
Χάρακές τε οὐ χαλεπῶς ἐν τῷ πηλῷ κατεπήγνυντο καὶ*

---

nimis violenter abscisa est, sed et adversativa particula *δέ* neminem prorsus ex antiquis codicibus habet notorem.« *Gronov.* Veram scripturam servavit unus codd. Gron. et V. C. Vulcanii. Nimirum vox *θεῖον* sic nude posita nusquam apud Arrianum reperitur. Vide II, 3, 3. III, 3, 6. IV, 8, 7. IV, 13, 11. V, 3, 1 cett. Plane gemina sunt quae dixit I, 18, 10 *κρατήσειν ἐλπίζων, καί τι καὶ θεῖον ἀνέπειθεν αὐτόν* —. II, 6, 9 *ἀλλὰ τὰ χείρω μᾶλλον — ἔπειθε· καί τι καὶ δαιμόνιον τυχὸν ἦγεν αὐτόν.*

2. *τὰ — ἔργα — ἐγένοντο*] Fuit cum scriptum mallemus *ἐγένετο.* Hodie tamen contra libros nihil muto, praesertim cum illa constructio similibus exemplis firmari possit. Vid. II, 20, 10 *ὅσας τῶν λιμένων τὰ στόματα ἐδέχοντο;* et ann. ad IV, 21, 11.

3. *αὐτοῖς ἡ πόλις ἦν*] Ita omnes, quos inspexit Gronovius, codices, ita edd. Venet. et Basil. Unde non intelligo, cur Vulcanius scripserit *αὐτὴ ἡ πόλις.* Fortasse nesciebat quo referendum esset pluralis *αὐτοῖς.* Nostris tamen temporibus in talibus nemo offendat. Plura de constructionibus ad sensum diximus in annot. ad I, 21, 7. — Mox ed. Bas. *ὠχύρατο.*

πολλῶν περιουσῶν] Schmiederus e cod. F. *πολλῶν περ οἰσῶν* edd. vett. cum rell. codd. Gronovii.

αὐτὸς ὁ πηλὸς ξύνδεσμος τοῖς λίθοις ἐς τὸ ἐπιμένειν ἐγίγνετο. Καὶ προθυμία τῶν Μακεδόνων εἰς τὸ ἔργον 7
καὶ Ἀλεξάνδρου πολλὴ ἦν, παρόντος τε καὶ αὐτοῦ ἕκαστα ἐξηγουμένου καὶ τὰ μὲν λόγῳ ἐπαίροντος, τὰ δὲ καὶ χρήμασι, τούς τε ἐκπρεπέστερον κατ' ἀρετὴν πονουμένους ἐπικουφίζοντος. Ἀλλ' ἔστε μὲν τὸ πρὸς τῇ ἠπείρῳ ἐχώννυντο, 8
οὐ χαλεπῶς προὐχώρει τὸ ἔργον ἐπὶ βάθος τε ὀλίγον χωννύμενον καὶ οὐδενὸς ἐξείργοντος. Ὡς δὲ τῷ βαθυτέρῳ 9
ἤδη ἐπέλαζον, καὶ ἅμα τῇ πόλει αὐτῇ ἐγγὺς ἐγίγνοντο, ἀπό τε τῶν τειχῶν ὑψηλῶν ὄντων βαλλόμενοι ἐκακοπάθουν, ἅτε καὶ ἐπ' ἐργασίᾳ μᾶλλόν τι ἢ ὡς ἐς μάχην ἀκριβῶς ἐσταλμένοι· καὶ ταῖς τριήρεσιν ἄλλῃ καὶ ἄλλῃ τοῦ χώματος ἐπιπλέοντες οἱ Τύριοι, ἅτε δὴ θαλασσοκρατοῦντες ἔτι, ἄπορον πολλαχῇ τὴν πρόσχωσιν τοῖς Μακεδόσιν ἐποίουν. Καὶ οἱ Μακεδόνες πύργους ἐπάνω τοῦ 10
χώματος ὅτιπερ προκεχωρήκει αὐτοῖς ἐπὶ πολὺ τῆς θαλάσσης ἐπέστησαν δύο, καὶ μηχανὰς ἐπὶ τοῖς πύργοις. Προκαλύμματα δὲ δέῤῥεις καὶ διφθέραι αὐτοῖς ἦσαν, ὡς 11

---

6. *λίθων τε πολλῶν ἀφθονία*] Facile foret corrigere *πολλὴ ἀφθονία*, plane ut Xenophon dixit Anab. I, 9, 15 *τοιγαροῦν πολλὴ ἦν ἀφθονία — τῶν ἐθελόντων.* VI, 4, 3 *ἤδη δὲ πολλὴ ἦν πάντων ἀφθονία.* Sed non opus est ulla emendatione. Similes pleonasmos multos adscripserunt Lob. ad Phryn. p. 754 et Engelh. ad Plat. Lach. p. 22. — Paulo infra in ed. Bas. post *χάρακες* non comparet particula *τε*.

7. *τὰ δὲ καὶ χρήμασι, τούς τε —*] Edd. ante Gronovium et quattuor codd. habebant *τὰ δὲ καὶ χρήσιμα, τούς τε.* Verum dedit Gronovius e codice F. Eandem corruptelam ex transpositione literarum ortam vide apud Thucyd. V, 116. VII, 72. Pro *χρήμασιν*, quod vidimus in omnibus editionibus, *χρήμασι* scribi iussimus.

9. *τῷ βαθυτέρῳ*] Ed. Bas. *τό τε βαθυτέρῳ*, unde colligas scribendum esse *τῷ τε βαθυτέρῳ.* — Mox eadem *ἀπ' ἐργασίᾳ* pro *ἐπ' ἐργασίᾳ*, et *οὔτε δὴ* pro *ἅτε δή*. Perperam.

11. *διφθέραι αὐτοῖς ἦσαν*] »Tolerari potest, sed tamen relativum hoc ad longinquius ita retrocedere debet, et disceditur ab msstis, (sed excipio Optimum, ex quo id non notavi) in quibus legitur *αὐταῖς*, nempe *μηχαναῖς*.« *Gronov.* Quid his verbis dicere voluerit

μήτε πυρφόροις βέλεσιν ἀπὸ τοῦ τείχους βάλλεσθαι, τοῖς τε ἐργαζομένοις προβολὴν ἐν τῷ αὐτῷ εἶναι πρὸς τὰ τοξεύματα· ἅμα τε ὅσοι προσπλέοντες τῶν Τυρίων ἔβλαπτον τοὺς χωννύντας, ἀπὸ τῶν πύργων βαλλόμενοι οὐ
12 χαλεπῶς ἀνασταλήσεσθαι ἔμελλον. Οἱ δὲ Τύριοι πρὸς ταῦτα ἀντιμηχανῶνται τοιόνδε.

XIX. Ναῦν ἱππαγωγὸν κλημάτων τε ξηρῶν καὶ ἄλλης ὕλης εὐφλέκτου ἐμπλήσαντες, δύο ἱστοὺς ἐπὶ τῇ πρώρᾳ καταπηγνύουσι καὶ ἐν κύκλῳ περιφράσσουσιν ἐς ὅσον μακρότατον, ὡς φορυτόν τε ταύτῃ καὶ δᾷδας ὅσας πλείστας
2 δέξασθαι. Πρὸς δὲ πίσσαν τε καὶ θεῖον καὶ ὅσα ἄλλα ἐς τὸ παρακαλέσαι μεγάλην φλόγα ἐπὶ ταύτῃ ἐπεφόρησαν.
3 Παρέτεινον δὲ καὶ κεραίαν διπλῆν ἐπὶ τοῖς ἱστοῖς ἀμφοτέροις, καὶ ἀπὸ ταύτης ἐξήρτησαν ἐν λέβησιν ὅσα

Gronovius, non assequor. Pertinet enim αὐτοῖς ad ultimas praegressi enunciati voces τοῖς πύργοις. Ceterum imitatus est Arrianus Thucydidem, qui scripsit II, 75 καὶ προκαλύμματα εἶχε δέῤῥεις καὶ διφθέρας, ὥστε τοὺς ἐργαζομένους καὶ τὰ ξύλα μήτε πυρφόροις οἰστοῖς βάλλεσθαι ἐν ἀσφαλείᾳ τε εἶναι. Vide Goell. ad l. l. et Poppo. ad Thucyd. t. I, p. 370.

ἐν τῷ αὐτῷ εἶναι] Ita codd. Gronovii omnes. ἐν τῷ εἶναι edd. vett., sine sensu. Conferri iubet Gronovius III, 22, 8 βασιλεύς τε ἐν τῷ αὐτῷ καὶ δεσμώτης. IV, 7, 3 ἧκον δὲ ἐν τῷ αὐτῷ. V, 18, 1 καὶ ἐν τῷ αὐτῷ — ἑπέρων. VII, 11, 11 ἐν τῷ αὐτῷ γὰρ ἐγίγνοντο — οἱ γάμοι. Et II, 17, 6 ἐν ταὐτῷ. Quibus locis adde IV, 7, 8 et VI, 3, 5. — Paulo ante ed. Bas. προσβολήν. Easdem voces confusas vide I, 6, 3.

C. XIX. ἐς ὅσον μακρότατον] Non potuimus quin h. l. codicis F. scripturam reciperemus pro vulgato ὅσον μακρότερον, cum superlativum poscat constans ut Arriani, ita omnium bonorum scriptorum usus. V. I, 5, 3 ὅσους εὐοπλοτάτους. I, 24, 2 ὅσους πλείστους. II, 13, 2 δύναμιν ὅσην πλείστην. V, 25, 4 ὅσοι ἐπιεικέστατοι. Apte conferri etiam possunt III, 4, 3 οἷον ψυχρότατον. V, 4, 11 οἵους μεγίστους. V, 14, 13 οἷα ἐγγύτατα εἶναι. Alius generis est quod legitur I, 27, 11 καὶ τῶν ὁπλιτῶν ὅσοι κουφότεροι, quamquam alias saepe in eadem dicendi formala reperitur superlativus, ut III, 21, 3. IV, 28, 15. V, 20, 4. De comparativi et superlativi confusione vide ad I, 29, 4. Hist. Ind. VII, 8 nollem

ἐπιχυθέντα ἢ ἐπιβληθέντα ἐπὶ μέγα τὴν φλόγα ἐξάψειν
ἔμελλον· ἕρματά τε ἐς τὴν πρύμναν ἐνέθεσαν, τοῦ ἐξᾶ-
ραι εἰς ὕψος τὴν πρώραν πιεζομένης κατὰ πρύμναν τῆς
νεώς. Ἔπειτα ἄνεμον τηρήσαντες ὡς ἐπὶ τὸ χῶμα ἐπι- 4
φέροντα, ἐξάψαντες τριήρεσι τὴν ναῦν κατ' οὖρον εἷλκον.
Ὡς δὲ ἐπέλαζον ἤδη τῷ τε χώματι καὶ τοῖς πύργοις, πῦρ 5
ἐμβαλόντες εἰς τὴν ὕλην, καὶ ὡς βιαιότατα ἅμα ταῖς τριή-
ρεσιν ἐπανελκύσαντες τὴν ναῦν ἐνσείουσιν ἄκρῳ τῷ χώ-
ματι. Αὐτοὶ δὲ οἱ ἐν τῇ νηὶ καιομένῃ ἤδη ἐξενήξαντο 6
οὐ χαλεπῶς· καὶ ἐν τούτῳ ἥ τε φλὸξ πολλὴ ἐνέπιπτε
τοῖς πύργοις καὶ αἱ κεραῖαι περικλασθεῖσαι ἐξέχεαν ἐς
τὸ πῦρ ὅσα ἐς ἔξαψιν τῆς φλογὸς παρεσκευασμένα ἦν.
Οἱ δὲ ἀπὸ τῶν τριηρῶν πλησίον τοῦ χώματος ἀνακω- 7
χεύοντες ἐτόξευον ἐς τοὺς πύργους, ὡς μὴ ἀσφαλὲς εἶναι

---

scripsisset Schmiederus e codice F, *καὶ μᾶλλον δή* pro vulgato *καὶ μάλιστα δή*.

2. *πίσσαν τε καὶ θεῖον*] In mente habuisse potest Arrianus Xenoph. Cyrop. VII, 5, 23 *πίτταν καὶ στυππεῖον, ἃ ταχὺ πολλὴν παρακαλεῖ φλόγα.* Similia vide apud Appian. Libb. I, p. 482 Schw., et Punicc. VIII, c. 125. Arriani verba respexit fortasse Suidas s. v. *φάρμακα· πίττα τε ἦν καὶ θεῖον καὶ ὅσα φάρμακα δυνατὰ ἦν κινῆσαι φλόγα μεγάλην.* De elliptica dicendi ratione in vocc. *ὅσα ἄλλα* vide ann. ad IV, 2, 3. Cf. I, 22, 2 *καὶ οἱ μὲν δᾷδάς τε ταῖς μηχαναῖς ἐνέβαλον καὶ ὅσα ἄλλα ἐς τὸ ἐξάψαι τε φλόγα καὶ ἐπὶ μέγα προκαλέσασθαι.*

3. *παρέτεινον*] Ed. Bas. *παρέτεινεν*, et infra eadem *ἐπικληθέντα* pro *ἐπιβληθέντα*, de qua literarum confusione diximus ad I, 8, 5.

ἐξάψειν] Constanti fere usu hoc verbum dicitur de incendendo igne, ut apud Arr. I, 22, 2. Diod. Sic. XVI, 58 *συνέβη τοσαύτην ἐξαφθῆναι φλόγα.* Quibus adde exempla a Valckenario collecta ad Phalar. Epp. p. XIX, ed. Bat.

ἕρματα — νεώς] Accurate haec verba exscripsit Suidas s. v. *ἕρμα.* Nam quod hodie apud eum legitur *ἕρμα τε*, id futuro lexici eius editori in *ἕρματά τε* mutandum erit. Sola forma *νηός* pro *νεώς* a Suida ipso profecta videtur. — Mox scripsimus *πρώραν* ex edd. Bas. et Vulc. pro vulgato *πρῷραν.* Vide si tanti est, Spitzn. prosod. p. 17.

7. *οἱ δὲ ἀπὸ τῶν τριήρων*] Sic edd. omnes praeter Basileensem,

8 πελάσαι ὅσοι σβεστήριον τῇ φλογὶ ἐπέφερον. Καὶ ἐν τούτῳ κατεχομένων ἤδη ἐκ τοῦ πυρὸς τῶν πύργων, ἐκδραμόντες ἐκ τῆς πόλεως πολλοὶ καὶ ἐς κελήτια ἐμβάντες ἄλλη καὶ ἄλλη ἐποκείλαντες τοῦ χώματος, τόν τε χάρακα οὐ χαλεπῶς διέσπασαν τὸν πρὸ αὐτοῦ προβεβλημένον, καὶ τὰς μηχανὰς ξυμπάσας κατέφλεξαν ὅσας μὴ τὸ
9 ἀπὸ τῆς νεὼς πῦρ ἐπέσχεν. Ἀλέξανδρος δὲ τό τε χῶμα ἀπὸ τῆς ἠπείρου ἀρξάμενος πλατύτερον χωννύναι, ὡς πλέονας δέξασθαι πύργους, καὶ τοὺς μηχανοποιοὺς μη-
10 χανὰς ἄλλας κατασκευάζειν ἐκέλευσεν. Ὡς δὲ ταῦτα παρεσκευάζετο, αὐτὸς τούς τε ὑπασπιστὰς ἀναλαβὼν καὶ τοὺς Ἀγριᾶνας ἐπὶ Σιδῶνος ἐστάλη ὡς ἀθροίσων ἐκεῖ ὅσαι ἤδη ἦσαν αὐτῷ τριήρεις, ὅτι ἀπορώτερα τὰ τῆς πολιορκίας ἐφαίνετο, θαλασσοκρατούντων τῶν Τυρίων.

XX. Ἐν τούτῳ δὲ Γηρόστρατός τε ὁ Ἀράδου βασιλεὺς καὶ Ἔνυλος ὁ Βύβλου ὡς ἔμαθον τὰς πόλεις σφῶν ὑπ' Ἀλεξάνδρου ἐχομένας, ἀπολιπόντες Αὐτοφραδάτην τε

---

ubi scriptum τριηρῶν. Utrumque quia ferri potest, ex auctoritate editionis Basileensis ut hoc loco, ita I, 19, 6, 7. II, 21, 1. III, 19, 11 dedimus τριηρῶν. Quamquam eadem illa editio II, 21, 7 praefert τριήρων. Qui plura cupit, is adeat Math. Gr. Gr. p. 176. Buttm. in add. ad Gr. Gr. t. II, p. 401. Goell. et Popp. ad Thucyd. VI, 46. Goettl. ad Theod. Gr. p. 224. Schaef. ad Demosthen. t. I, p. 346. Popp. in lit. Diar. Ien. 1826, p. 423.

ὅσοι σβεστήριον — ἐπέφερον] Olim in mentem venit scribere ὅσοις σβεστήριον —. Recte Vulcanius: *ut non nisi cum periculo ad exstinguendum incendium propius accedi posset.*

8. κατεχομένων] Ed. Bas. κατεχομένην.

10. τοὺς Ἀγριᾶνας] Edd. τοὺς Ἀγριάνας. — Mox ed. Basil. ἐπὶ Σιδῶνας.

C. XX, τὰς ξὺν αὐτῷ νέας] Haec Ionica accusativi forma, si excipias hunc locum, semel tantum in Expeditione reperitur, V, 6, 18, passim in Hist. Indica, ut XXVI, 9, bis. XVII, 10. XXXVI, 5. Longe frequentior est altera forma τὰς ναῦς, quam vide I, 3, 3. II, 2, 7. VI, 5, 3. VII, 16, 1. Nominativus pluralis semper est *αἱ νῆες*, ut II, 20, 1, 5. V, 7, 3 etc., nisi quod

καὶ τὰς ξὺν αὐτῷ νέας παρ' Ἀλέξανδρον σὺν τῷ ναυτικῷ τῷ σφετέρῳ ἀφίκοντο, καὶ αὐτῶν Σιδωνίων τριήρεις σὺν αὐτοῖς, ὥστε Φοινίκων μὲν νῆες ὀγδοήκοντα μάλιστα αὐτῷ παρεγένοντο. Ἧκον δὲ ἐν ταῖς αὐταῖς ἡμέραις καὶ ἐκ 2
Ῥόδου τριήρεις, ἥ τε περίπολος καλουμένη καὶ ξὺν ταύτῃ ἄλλαι ἐννέα. Καὶ ἐκ Σόλων καὶ Μαλλοῦ τρεῖς καὶ Λυκίας δέκα· ἐκ Μακεδονίας δὲ πεντηκόντορος ἐφ' ἧς Πρωτέας Ἀνδρονίκου ἐπέπλει. Οὐ πολλῷ δ' ὕστερον καὶ οἱ 3
τῆς Κύπρου βασιλεῖς ἐς τὴν Σιδῶνα κατέσχον ναυσὶν ἑκατὸν μάλιστα καὶ εἴκοσιν, ἐπειδὴ τήν τε ἧσσαν τὴν κατ' Ἰσσὸν Δαρείου ἐπύθοντο καὶ ἡ Φοινίκη πᾶσα ἐχομένη ἤδη ὑπ' Ἀλεξάνδρου ἐφόβει αὐτούς. Καὶ τούτοις πᾶσιν 4
ἔδωκεν Ἀλέξανδρος ἄδειαν τῶν πρόσθεν, ὅτι ὑπ' ἀνάγκης μᾶλλόν τι ἢ κατὰ γνώμην τὴν σφῶν ἐδόκουν ξυνταχθῆναι τοῖς Πέρσαις ἐς τὸ ναυτικόν. Ἐν ᾧ δὲ αἵ τε μηχαναὶ 5
αὐτῷ ξυνεπήγνυντο καὶ αἱ νῆες ὡς εἰς ἐπίπλουν τε καὶ ναυμαχίας ἀπόπειραν ἐξηρτύοντο, ἐν τούτῳ δὲ ἀναλαβὼν

IV, 30, 16 hodie legitur *ναῦς ἐποιήθησαν.* Cuius loci memor est Lobeck. ad Phryn. p. 170. Cf. Diod. Sic. XVII, 97 *δύο μακραὶ ναῦς.* Formam *νῆας* ex Arriano memorat Eustathius ad Dionys. Perieg. p. 170, ed. Bernh.

2. *καὶ Μαλλοῦ*] Ed. Bas. *Μαλοῦ.* Mox eadem *Προτέας.*

3. *ἐς τὴν Σιδῶνα κατέσχον ναυσίν*] Sic dixit auctor hymni in Cerer. v. 126 *νηῒ θοῇ Θορικόνδε κατέσχεθον.* Homerum verbo *κατασχεῖν* semper accusativum adiunxisse monuit Voss. ad h. l. p. 46. Neque aliter Herodotus, ut VIII, 40 *ἐς Σαλαμῖνα κατίσχει τὰς νῆας.*

5. *ὡς εἰς ἐπίπλουν*] Edd. vett. *ὡς εἰς ἔσπλουν.* In uno codice Florentino vidit Gronovius *ὡς εἰς πλοῦν.* Sed plerique codd. Gronovii cum C. V. Vulcanii recte habent *ἐπίπλουν.* Nam aliud est *ἔσπλους*, aliud *ἐπίπλους.* Illud enim dicitur de exteriori portus parte, quo tendunt naves, cum portum ipsum intrare cupiunt (*die Einfahrt*). I, 19, 11 *ὡς μὴ βιάσαιντο οἱ βάρβαροι τὸν εἴσπλουν.* II, 20, 10 *βύζην τὸν ἔσπλουν φραξάμενοι ἐφύλασσον.* Contra autem *ἐπίπλους* dicitur de impetu navium et conflictu, ut II, 21, 8 *ὡς ἀναστέλλεσθαι τὸν ἐπίπλουν τῶν νεῶν.* Thucyd. I, 50 *ἐπεπαιώνιστο αὐτοῖς ὡς ἐς ἐπίπλουν.*

τῶν τε ἱππέων ἴλας ἐστὶν ἃς καὶ τοὺς ὑπασπιστὰς καὶ
τοὺς Ἀγριᾶνάς τε καὶ τοὺς τοξότας, ἐπ᾽ Ἀραβίας στέλλε-
6 ται εἰς τὸν Ἀντιλίβανον καλούμενον τὸ ὄρος. Καὶ τὰ
μὲν βίᾳ τῶν ταύτῃ ἐξελών, τὰ δὲ ὁμολογίᾳ παραστησά-
μενος, ἕνδεκα ἡμέραις ἐπανῆγεν εἰς τὴν Σιδῶνα, καὶ κα-
ταλαμβάνει Κλέανδρον τὸν Πολεμοκράτους ἐκ Πελοπον-
νήσου ἥκοντα καὶ ξὺν αὐτῷ μισθοφόρους Ἕλληνας τετρα-
7 κισχιλίους. Ὡς δὲ συνετέτακτο αὐτῷ τὸ ναυτικόν, ἐπιβι-
βάσας τοῖς καταστρώμασι τῶν ὑπασπιστῶν ὅσοι ἱκανοὶ
ἐδόκουν ἐς τὸ ἔργον, εἰ μὴ διέκπλοις μᾶλλόν τι ἢ ἐν χερ-
σὶν ἡ ναυμαχία γίγνοιτο, ἄρας ἐκ τῆς Σιδῶνος ἐπέπλει
τῇ Τύρῳ ξυντεταγμέναις ταῖς ναυσίν, αὐτὸς μὲν κατὰ τὸ
δεξιὸν κέρας ὃ δὴ ἐς τὸ πέλαγος αὐτῷ ἀνεῖχε, καὶ ξὺν
αὐτῷ οἵ τε Κυπρίων βασιλεῖς καὶ ὅσοι Φοινίκων πλὴν
8 Πνυταγόρου. Οὗτος δὲ καὶ Κρατερὸς τὸ εὐώνυμον κέ-
ρας εἶχον τῆς πάσης τάξεως. Τοῖς δὲ Τυρίοις πρότερον
μὲν ναυμαχεῖν ἐγνωσμένον ἦν, εἰ κατὰ θάλατταν ἐπιπλέοι

ἴλας ἔστιν ἃς —] Codices Gronovii ad unum omnes *ἴλας ἐς τινάς*. Unde fecit Gronovius quod cum Schmiedero in textum recipere non dubitavimus. Vide quae de illa loquendi formula Arriano perquam familiari diximus ad I, 7, 17. I, 24, 1. IV, 9, 3. De syllabis saepe male distractis vide ann. ad I, 5, 20. In edd. vett. etiam minus apte legebatur *ἴλας τινάς*. — Paulo supra ed. Bas. *ἐπίπλουν τε ναυμαχίαν* (sic). Edd. Vulc. et Blanc. *ἐπίπλουν καὶ ναυμαχίας*. Sed verum tuentur omnes fere codd. Gronovii cum C. V. Vulcanii.

6. *ἕνδεκα ἡμέραις*] Facius, qui, monente Vulcanio, vertit *decimo die*, legisse videtur *ἐν δέκα ἡμέραις*, quod et ipsum verum esse potest. Sic dixit Arrianus IV, 3, 16 *ἐν ἡμέραις εἴκοσι*. IV, 22, 12 *ἐξεῖλον ἐν τριάκοντα ἡμέραις*. Quibuscum conferas ann. ad III, 20, 2.

7. *διέκπλοις*] Bene Vulcanius: *nisi navium irruptione potius quam manu navale proelium fieret.* De significatione vocis *διέκπλους* accurate dixit Goellerus ad Thucyd. I, 49, p. 123.

ξυντεταγμέναις ταῖς ναυσίν] Sic cod. F. et ex eo Schmiederus. Tres codd. Gronovii *ξυντεταγμένως*, quod dedit quoque Vulcanius pro *ξυντεταγμένος*, scriptura editionis Basileensis et unius codicis Florentini. Lectio codicis F. iam probata fuit Dorvillio ad Char.

σφίσιν Ἀλέξανδρος. Τότε δὲ πλῆθος νεῶν πολὺ ἀπροσ- 9
δοκήτως κατιδόντες (οὐ γάρ πω πεπυσμένοι ἦσαν τάς τε
Κυπρίων ναῦς καὶ τὰς Φοινίκων ξυμπάσας Ἀλέξανδρον
ἔχοντα), καὶ ἅμα ξυντεταγμένως τοῦ ἐπίπλου γιγνομένου
(ὀλίγον γὰρ πρὶν προσχεῖν τῇ πόλει ἀνεκώχευσαν ἔτι πε-
λάγιαι αἱ ξὺν Ἀλεξάνδρῳ νῆες· ἔπειτα οὕτω ξυνταξάμε-
νοι ὡς οὐκ ἀντανήγοντο, πολλῷ τῷ ῥοθίῳ ἐπέπλεον),
ταῦτα ὁρῶντες οἱ Τύριοι ναυμαχεῖν μὲν ἀπέγνωσαν· τριή- 10
ρεσι δὲ ὅσας τῶν λιμένων τὰ στόματα ἐδέχοντο, βύζην
τὸν ἔσπλουν φραξάμενοι ἐφύλασσον, ὡς μὴ ἐς τῶν λιμέ-
νων τινὰ ἐγκαθορμισθῆναι τῶν πολεμίων τὸν στόλον.
Ἀλέξανδρος δὲ, ὡς οὐκ ἀντανήγοντο οἱ Τύριοι, ἐπέπλει 11
τῇ πόλει· καὶ ἐς μὲν τὸν λιμένα τὸν πρὸς Σιδῶνος βιά-
ζεσθαι ἀπέγνω διὰ στενότητα τοῦ στόματος, καὶ ἅμα ἀν-
τιπρώροις τριήρεσι πολλαῖς ὁρῶν πεφραγμένον τὸν ἔσπλουν·
τρεῖς δὲ τὰς ἐξωτάτω ἐφορμούσας τῷ στόματι τριήρεις
προσπεσόντες οἱ Φοίνικες καὶ ἀντιπρώροις ἐμβαλόντες

---

p. 627. Erroris ansam dedit fortasse quod statim sequitur II, 20, 9 *ξυντεταγμένως τοῦ ἐπίπλου γιγνομένου*, ubi ed. Bas. rursus *ξυντεταγμένος*. Ceterum vide ann. ad I, 13, 1 et II, 11, 5.

πλὴν Πνυταγόρου] Haec est scriptura omnium codicum et editionum. Facius, nescio unde, *excepto Pythagora*. Nam apud Curtium IV, 3, 11 recte scriptum exstat *Pnytagoras*, quamquam nonnullos libros *Pythagoras* exhibere iam monuit Raderus. Sic etiam apud Athen. IV, p. 167, C unus codex habet *Πυθαγόραν* pro vulgato *Πνυταγόραν*. De Pnytagora, rege Cypriorum vide quae copiose disputavit Perizon. ad Ael. VII, 2 et post eum Wessel. ad Diod. Sic. XV, 4.

9. *ἀνεκώχευσαν ἔτι πελάγιαι*] *in alto subsistebant.* Eodem modo *πελαγίζειν* dici *de navibus altum tenentibus* observarunt Dorv. ad Char. p. 627 et Wernsd. ad Himer. p. 300. — Mox ed. Bas. *πολλῶν τῷ ῥοθίῳ*. Cf. Suidas (ex Arriano?) s. v. *ῥόθιον· προβεβλημένων τὰς ἀσπίδας πολλῷ τῷ ῥοθίῳ — παραπλέουσι.* Vide ad VI, 3, 5.

ταῦτα ὁρῶντες] Haec verba ad redordiendam post parenthesin orationem posita esse iam monuimus ad II, 1, 5.

11. *βιάζεσθαι ἀπέγνω*] Ed. Bas., ut saepe alibi, *ἐπέγνω*. — Infra eadem *ἐμβάλλοντες*.

12 καταδύουσιν. Οἱ δὲ ἐν ταῖς ναυσὶν οὐ χαλεπῶς ἀπενή-
13 ξαντο ἐς τὴν γῆν φιλίαν οὖσαν. Τότε μὲν δὴ οὐ πόῤῥω
τοῦ ποιητοῦ χώματος κατὰ τὸν αἰγιαλὸν ἵνα σκέπη τῶν
14 ἀνέμων ἐφαίνετο, οἱ σὺν Ἀλεξάνδρῳ ὡρμίσαντο. Τῇ δὲ
ὑστεραίᾳ τοὺς μὲν Κυπρίους ξὺν ταῖς σφετέραις ναυσὶ
καὶ Ἀνδρομάχῳ τῷ ναυάρχῳ κατὰ τὸν λιμένα τὸν ἐκ Σι-
15 δῶνος φέροντα ἐκέλευσεν ἐφορμεῖν τῇ πόλει· τοὺς δὲ
Φοίνικας κατὰ τὸν ἐπέκεινα τοῦ χώματος τὸν πρὸς Αἴ-
γυπτον ἀνέχοντα, ἵνα καὶ αὐτῷ ἡ σκηνὴ ἦν.

XXI. Ἤδη δὲ καὶ μηχανοποιῶν αὐτῷ πολλῶν ἔκ τε
Κύπρου καὶ Φοινίκης ἁπάσης συλλελεγμένων, μηχαναὶ
πολλαὶ συμπεπηγμέναι ἦσαν αἱ μὲν ἐπὶ τοῦ χώματος, αἱ
δὲ ἐπὶ τῶν ἱππαγωγῶν νεῶν ἃς ἐκ Σιδῶνος ἅμα οἷ ἐκό-
μισεν, αἱ δὲ ἐπὶ τῶν τριηρῶν ὅσαι αὐτῶν οὐ ταχυναυτοῦ-
2 σαι ἦσαν. Ὡς δὲ παρεσκεύαστο ἤδη ξύμπαντα, προσῆγον
τὰς μηχανὰς κατά τε τὸ ποιητὸν χῶμα καὶ ἀπὸ τῶν νεῶν
ἄλλῃ καὶ ἄλλῃ τοῦ τείχους προσορμιζομένων τε καὶ ἀπο-

---

13. *κατὰ τὸν αἰγιαλόν*] Edd. vett. cum tribb. codd. Gronovii *κατὰ τῶν αἰγιαλῶν*. Quam scripturam nisi cod. F. et unus alius ineptam ostenderent praebentes *κατὰ τὸν αἰγιαλόν*, ipsa linguae ratio respueret ut falsam. Vide modo II, 24, 6 *ἀθροισθέντες δὲ κατὰ τὸ Ἀγηνόριον*. IV, 5, 12 *ἡ ἔσβασις κατὰ κρημνώδεις τὰς ὄχθας*.

15. *ἡ σκηνή*] Ed. Bas. *ἡ σκευή*.

C. XXI. *συλλελεγμένων*] Sic Schmiederus ex omnibus codicibus Gronovii atque ed. Basileensi. Eandem formam postea etiam e cod. vet. enotavit Vulcanius, quamquam in ed. Steph. dederat *συνειλεγμένων*, quod ipsum passim reperitur apud Arrianum, ut I, 3, 6 *συνειλεγμένους*. III, 19, 4 *ξυνείλεκτο*. IV, 2, 2 *συνειλεγμένοι*. Alteram formam par exemplorum numerus tuetur. Vid. VI, 22, 8 *ξυλλελεγμένον*. VI, 26, 3 *συλλελεγμένον*. Cf. Buttm. Gr. Gr. uber. II, p. 180.

τριηρῶν] Ex ed. Bas. *τριήρων* cett. edd. Vid. ad II, 19, 7.

2. *κατά τε*] Ed. Basil. *κατά τι*.

3. *πύργους ξυλίνους*] Recte ita edd. Venet. Basil. Vulc. et Schmied. *πύργοις ξυλίνοις* primus Blancardus. Secuti sunt Gronovius, Raphelius, Borheckius.

εἴπῃ ἄλλῃ] Schmiederus e codd. Gronovii et ed. Basil. *εἴποι*

πειρωμένων τοῦ τείχους. Οἱ δὲ Τύριοι ἐπί τε τῶν ἐπάλ- 3
ξεων τῶν κατὰ τὸ χῶμα πύργους ξυλίνους ἐπέστησαν ὡς
ἀπομάχεσθαι ἀπ' αὐτῶν, καὶ εἴπη ἄλλῃ αἱ μηχαναὶ προσ-
ήγοντο, βέλεσί τε ἠμύνοντο καὶ πυρφόροις οἰστοῖς ἔβαλ-
λον αὐτὰς τὰς ναῦς, ὥστε φόβον παρέχειν τοῖς Μακεδόσι
πελάζειν τῷ τείχει. Ἦν δὲ αὐτοῖς καὶ τὰ τείχη κατὰ τὸ 4
χῶμα τό τε ὕψος εἰς πεντήκοντα καὶ ἑκατὸν μάλιστα πό-
δας καὶ ἐς πλάτος ξύμμετρον λίθοις μεγάλοις ἐν γύψῳ
κειμένοις ξυμπεπηγότα. Ταῖς δὲ ἱππαγωγοῖς τε καὶ ταῖς 5
τριήρεσι τῶν Μακεδόνων ὅσαι τὰς μηχανὰς προσῆγον τῷ
τείχει καὶ ταύτῃ οὐκ εὔπορον ἐγίγνετο πελάζειν τῇ πό-
λει, ὅτι λίθοι πολλοὶ ἐς τὸ πέλαγος προβεβλημένοι ἐξεῖρ-
γον αὐτῶν τὴν ἐγγὺς προσβολήν. Καὶ τούτους Ἀλέξαν- 6
δρος ἔγνω ἐξελκύσαι ἐκ τῆς θαλάσσης· ἠνύετο δὲ χαλε-
πῶς τοῦτο τὸ ἔργον, οἷα δὴ ἀπὸ νεῶν καὶ οὐκ ἀπὸ γῆς
βεβαίου γινόμενον· ἄλλως τε καὶ οἱ Τύριοι ναῦς κατα- 7
φράξαντες παρὰ τὰς ἀγκύρας ἐπῆγον τῶν τριηρῶν καὶ

ἄλλῃ Vulcanius, unde transiit in edd. Blanc. Gron. Raphel. At vide ann. ad I, 26, 9. — Mox ed. Bas. πυρφόρους.

4. τὰ τείχη κατὰ τὸ χῶμα] Noli scriptum τὰ κατὰ τὸ χῶμα. Ordo verborum hic est: ἦν δὲ αὐτοῖς καὶ κατὰ τὸ χῶμα τὰ τείχη κ. τ. λ. Plura diximus ad VII, 10, 12. — Mox post πλάτος ξύμμετρον comma delevi, ut haec verba cum sequentibus cohaererent. Nihilo minus tamen orationem h. l. minus concinne esse compositam nemo non videt.

5. ταῖς δὲ ἱππαγωγοῖς] Eadem hac forma *de navibus equos vehentibus* utuntur Herodotus et Thucydides. Apud Polybium I, 14 vocantur νῆες ἱππηγοί. Diodorus communi nomine eas appellat ναῦς φορτηγούς, ut alibi, ita XVI, 77, ubi tamen ad explicandam illam vocem addit τὰς τοὺς ἵππους τε καὶ τὰ βέλη καὶ τἄλλα κομιζούσας. Vide Goell. ad Thucyd. VI, 43. Valck. ad Herod. VI, 48.

6. ἀπὸ γῆς βεβαίου] Hanc adiectivi formam vides quoque II, 23, 8 ἐπειδὴ πρῶτον βεβαίῳ τε καὶ — ἀποτόμῳ τῇ προσβάσει ἐχρήσαντο. Sed III, 30, 1 dixit ὅτι οὐ βεβαία — ἡ γνώμη ἐστίν. Similiter Xenophon Cyrop. III, 2, 23 εἰρήνη βεβαία. Sed Hist. Gr. VII, 1, 44 τὴν πόλιν βέβαιον παρέξω. Confer praeterea intpp. ad Thom. Magistr. p. 149 sq. — De duplici forma ἀνύειν et ἀνύτειν vide ann. ad VII, 15, 1.

ὑποτέμνοντες τὰς σχοίνους τῶν ἀγκυρῶν ἄπορον τὴν προσ-
8 όρμισιν ταῖς πολεμίαις ναυσὶν ἐποίουν. Ἀλέξανδρος δὲ
τριακοντόρους πολλὰς ἐς τὸν αὐτὸν τρόπον φράξας ἐπέ-
στησεν ἐγκαρσίας πρὸ τῶν ἀγκυρῶν, ὡς ὑπ' αὐτῶν ἀνα-
στέλλεσθαι τὸν ἐπίπλουν τῶν νεῶν· ἀλλὰ καὶ ὡς ὕφα-
9 λοι κολυμβηταὶ τὰς σχοίνους αὐτοῖς ὑπέτεμνον. Οἱ δὲ
ἁλύσεσιν εἰς τὰς ἀγκύρας ἀντὶ σχοίνων χρώμενοι οἱ Μα-
κεδόνες καθίεσαν, ὥστε μηδὲν ἔτι πλέον τοῖς κολυμβη-
10 ταῖς γίγνεσθαι. Ἐξάπτοντες οὖν βρόχους τῶν λίθων, ἀπὸ
τοῦ χώματος ἀνέσπων αὐτοὺς ἔξω τῆς θαλάσσης· ἔπειτα
μηχαναῖς μετεωρίσαντες κατὰ βάθους ἀφίεσαν ἵνα οὐκέτι
11 προβεβλημένοι βλάψειν ἔμελλον. Ὅπου δὲ καθαρὸν πε-
ποίητο τῶν προβόλων τὸ τεῖχος, οὐ χαλεπῶς ἤδη ταύτῃ
12 αἱ νῆες προσεῖχον. Οἱ δὲ Τύριοι πάντῃ ἄποροι γιγνόμε-
νοι ἔγνωσαν ἐπίπλουν ποιήσασθαι ταῖς Κυπρίαις ναυσὶν
αἳ κατὰ τὸν λιμένα ἐφώρμουν τὸν ἐς Σιδῶνα τετραμμέ-
13 νον. Ἐκ πολλοῦ δὴ καταπετάσαντες τοῦ λιμένος τὸ στόμα
ἱστίοις τοῦ μὴ καταφανῆ γενέσθαι τῶν τριηρῶν τὴν πλή-

---

7. *ἄπορον τὴν προσόρμισιν*] Ed. Bas. *τὴν προσόρμησιν*, quod ferri non potest. E contrario peccatum est III, 9, 12, ubi pro vulgato *ἐξόρμησις* a cod. F. commendatur *ἐξόρμισις*.

8. *ὡς ὑπ' αὐτῶν*] Ed. Bas. *ὡς ἐπ' αὐτόν*. — Mox edd. Gronov. Raphel. Borheck. Schmied. *καὶ ὡς*, quamquam in edd. Basil. Vulc. et Blanc. clare expressum est *καὶ ὥς*.

ὕφαλοι κολυμβηταί] Thucyd. IV, 26 *ἐσένεον δὲ καὶ κατὰ τὸν λιμέναι κολυμβηταὶ ὕφυδροι*. Arrianum hic Thucydidem esse imitatum non ita confidenter contenderim, ut Poppo contendit in Proll. ad Thuc. I, p. 370.

9. *οἱ δὲ — οἱ Μακεδόνες*] Duplex subiectum neminem hodie morabitur. Similia sunt prooem. 3 *ὁ μὲν — Ἀριστόβουλος*. I, 15, 6 *οἱ μὲν — οἱ Μακεδόνες, οἱ δὲ — οἱ Πέρσαι*. IV, 29, 6 *τῶν μὲν — τῶν Ἰνδῶν*. VI, 26, 9 *τὴν μὲν — τὴν ὀλίγην, τὴν δὲ — τὴν μείζονα*. Sic Thucyd. VII, 57 *οἱ μὲν — οἱ Κυθήριοι*. Adde quae dixit Goellerus ad Thuc. I, 144, p. 215.

13. *ἐπὶ τὴν σκηνὴν ἐπεχώρει*] Scio quidem verbum *ἐπιχωρεῖν* h. l. defendi posse, ut sit *se conferre*. Sed cum Arrianus nuspiam, quod sciam, sic usus sit illo verbo, (vid. ad I, 27, 7) cum de eadem re infra II, 22, 1 dixerit *ἀποχωρῆσαι ἐπὶ τὴν σκηνήν*, cum de-

ρωσιν, ἀμφὶ μέσον ἡμέρας ὁπότε οἵ τε ναῦται ἐπὶ τὰ ἀναγκαῖα ἐσκεδασμένοι ἦσαν καὶ Ἀλέξανδρος ἐν τούτῳ μάλιστα ἀπὸ τοῦ ἐπὶ θάτερα τῆς πόλεως ναυτικοῦ ἐπὶ τὴν σκηνὴν ἐπεχώρει, πληρώσαντες πεντήρεις μὲν τρεῖς καὶ τετρήρεις ἴσας, τριήρεις δὲ ἑπτὰ, ὡς ἀκριβεστάτοις τε τοῖς πληρώμασι καὶ τοῖς ἀπὸ τῶν καταστρωμάτων μάχεσθαι μέλλουσιν εὐοπλοτάτοις, καὶ ἅμα εὐθαρσεστάτοις ἐς τοὺς ναυτικοὺς ἀγῶνας. Τὰ μὲν πρῶτα ἀτρέμα τῇ 14
εἰρεσίᾳ ἐπὶ μιᾶς νεὼς ἐξέπλεον ἄνευ κελευστῶν τὰς κώπας παραφέροντες· ὡς δὲ ἐπέστρεφον ἤδη ἐπὶ τοὺς Κυπρίους καὶ ἐγγὺς τοῦ καθορᾶσθαι ἦσαν, τότε δὴ ξὺν βοῇ τε πολλῇ καὶ ἐγκελευσμῷ ἐς ἀλλήλους καὶ ἅμα τῇ εἰρεσίᾳ ξυντόνῳ ἐπεφέροντο.

XXII. Ξυνέβη δὲ ἐκείνῃ μὲν τῇ ἡμέρᾳ Ἀλέξανδρον ἀποχωρῆσαι ἐπὶ τὴν σκηνὴν, οὐ διατρίψαντα δὲ κατὰ τὸ εἰωθὸς δι' ὀλίγου ἐπὶ τὰς ναῦς ἐπανελθεῖν. Οἱ 2
δὲ Τύριοι προσπεσόντες ἀπροσδοκήτως ταῖς ναυσὶν ὁρμούσαις, καὶ ταῖς μὲν πάντῃ κεναῖς ἐπιτυχόν-

---

nique verba *ἀποχωρεῖν* et *ἐπιχωρεῖν* confusa sint III, 20, 3: non dubito fere, quin etiam hoc loco Arrianea manus restituatur scribenti *ἀπεχώρει*: praesertim cum constet praepositiones *ἐπί* et *ἀπό* plus centies in libris atque editionibus veteribus confusas esse. Vide ad Arr. I, 11, 4. I, 19, 2. Aesch. Perss. v. 918. Sieb. ad Paus. I, 7, 2.

τετρήρεις ἴσας] sc. *τὸν ἀριθμόν*, ut dixit I, 5, 11 *παῖδας τρεῖς καὶ κόρας ἴσας τὸν ἀριθμόν*. Plane ita Xenoph. Cyrop. V, 2, 1 *οἱ δὲ εἵποντο — ἴσοι ὄντες τὸν ἀριθμόν*. Vide ann. ad I, 5, 11.

εὐθαρσεστάτοις] »Manuscr. Opt. cum uno alio *εὐθαρσοτάτοις*. Sic et Vulcanius ex Augustano.« *Gronov.* Recepit hanc superlativi formam Schmiederus. At vereor, ut bene ita consuluerit integritati manus Arrianeae. Edd. vett. et tres codd. Gronovii praebent *εὐθαρσεστάτοις*, quod firmat Xen. Hist. Gr. VII, 1, 9 *ὥστε τοὺς συμμάχους εὐθαρσεστάτους προσιέναι*. Positivi forma Arriano non est *εὔθαρσος*, sed *εὐθαρσής*, ut III, 10, 4. Cf. Xen. vit. Ages. XI, 10.

14. *ἄνευ κελευστῶν*] Ed. Bas. corrupte *ἄνα*. — Mox eadem *ξὺν τόνῳ*. Ceterum vide ann. ad VI, 3, 5 et VI, 5, 1.

τες, τῶν δ' ὑπ' αὐτὴν τὴν βοὴν καὶ τὸν ἐπίπλουν χαλεπῶς ἐκ τῶν παρόντων πληρουμένων, τήν τε Πνυταγόρου τοῦ βασιλέως πεντήρη εὐθὺς ὑπὸ τῇ πρώτῃ ἐμβολῇ κατέδυσαν καὶ τὴν Ἀνδροκλέους τοῦ Ἀμαθουσίου καὶ τὴν Πασικράτους τοῦ Θουριέως· τὰς δὲ ἄλλας ἐς τὸν αἰγιαλὸν ἐξωθοῦντες ἔκοπτον.
3 Ἀλέξανδρος δὲ ὡς ᾔσθετο τὸν ἔκπλουν τῶν Τυρίων τριηρῶν, τὰς μὲν πολλὰς τῶν ξὺν αὐτῷ νεῶν ὅπως ἑκάστη πληρωθείη, ἐπὶ τῷ στόματι τοῦ λιμένος ἀνακωχεύειν ἔταξεν, ὡς μὴ καὶ ἄλλαι ἐκπλεύσειαν τῶν Τυρίων νῆες· αὐτὸς δὲ πεντήρεις τε τὰς ξὺν αὐτῷ ἀναλαβὼν καὶ τῶν τριηρῶν ἐς πέντε μάλιστα ὅσαι ἔφθησαν αὐτῷ κατὰ τάχος πληρωθεῖσαι, περιέπλει τὴν πόλιν

C. XXII. 2. *πληρουμένων*] »Sic Opt. et ex codice Augustano Vulcanius. Et huc alludunt reliqui, in quibus est *πληρουμένην*.« *Gronov.* *πληρουμένην* exhibet quoque ed. Basil. *πεπληρωμένων* Vulcanius ex coniectura, ut videtur. Secuti sunt Blanc. Gron. Raphel. Verum dedit Schmiederus. Participium enim praesentis sive potius imperfecti hoc loco non solum aptissimum, sed unice fere rectum esse concedet qui Graeci sermonis paulo peritior est. In ipso demum clamore atque impetu naves, prout licebat, *instruebantur.* Sententia paululum immutata participium perfecti stare posse non diffiteor. Sic dixit VI, 5, 9 *τῶν βαρβάρων τῶν οὐ προσχωρούντων καταδρομὴν ποιησάμενος.* h. e. *in barboros sese convertit qui ei non parebant.* Dicere etiam potuit *τῶν οὐ προσκεχωρηκότων*, *qui ei se non subiecerant*, ut iis quasi oppositi essent, de quibus dixerat VI, 3, 9 *ἐς ὅσους δὲ τῶν ἤδη προσκεχωρηκότων Ἰνδῶν ἡ βοὴ — ἐξίκετο.*

εὐθὺς ὑπὸ τῇ πρώτῃ ἐμβολῇ] Cod. F. et ex eo Schmiederus. *εὐθὺς ἀπὸ τῆς πρώτης ἐμβολῆς* edd. vett. cum rell. codd. Quae mala scriptura nescio an progenita sit e consueta et satis vulgata dicendi formula *εὐθὺς ἀπ' ἀρχῆς*, simill. Quomodo ipse Arrianus scripsit III, 16, 1 *εὐθὺς ἐξ ἀρχῆς.* V. 6, 11 *εὐθὺς ἀπὸ τῶν πηγῶν — ἀνίσχει.* Sed horum locorum alia ratio est. Nimirum *εὐθὺς ὑπὸ τῇ πρ. ἐμβολῇ* idem fere valet, ac si scriptum esset *εὐθὺς ἐν τῇ πρ. ἐμβολῇ* h. e. *gleich während des ersten Angriffs.* Eadem praepositioni vis est V, 2, 9 *ὑπὸ τῇ κατακλίσει τοῦ θεοῦ.* Conferas ann. ad I, 16, 7. Et simile quoque est quod legitur V, 19, 9 *ἀπήχθη εὐθὺς ἐπὶ τῷ κηρύγματι.*

ὡς ἐπὶ τοὺς ἐκπεπλευκότας τῶν Τυρίων. Οἱ δὲ ἀπὸ τοῦ 4
τείχους τόν τε ἐπίπλουν τῶν πολεμίων κατιδόντες καὶ
Ἀλέξανδρον αὐτὸν ἐπὶ τῶν νεῶν, βοῇ τε ἐπανάγειν ἐνεκελεύοντο τοῖς ἐκ τῶν σφετέρων νεῶν, καὶ ὡς οὐκ ἐξακουστὸν ἦν ὑπὸ θορύβου ξυνεχομένων ἐν τῷ ἔργῳ, σημείοις
ἄλλοις καὶ ἄλλοις ἐπεκάλουν ἐς τὴν ἀναχώρησιν. Οἱ δὲ 5
ὀψέ ποτε αἰσθόμενοι τὸν ἐπίπλουν τῶν ἀμφ' Ἀλέξανδρον ὑποστρέψαντες εἰς τὸν λιμένα ἔφευγον· καὶ ὀλίγαι μὲν τῶν νεῶν φθάνουσιν ὑπεκφυγοῦσαι, ταῖς δὲ πλείοσιν ἐμβαλοῦσαι αἱ ξὺν Ἀλεξάνδρῳ τὰς μὲν αὐτῶν ἄπλους ἐποίησαν, πεντήρης δέ τις καὶ τετρήρης αὐτῶν ἐπ' αὐτῷ τῷ στόματι τοῦ λιμένος ἐλήφθησαν. Φόνος δὲ τῶν ἐπιβα-

---

3. *τριηρῶν*] Ed, Basil. *τριήρων* rell. edd. — Infra pro *ἐκπλεύσειαν* ed. Bas. habet *ἐκπλεῦσιν*. Et mox eadem *πληρωθῆσαι*.

4. *βοῇ τε — νεῶν*] Haec verba, quae neque in edd. vett., neque in quattuor codd. Gronovii comparebant, solus praebuit cod. F. Lacunae origo aperta est. Oculi librariorum aberrarunt a priori *νεῶν* ad posterius, ita ut quae in medio posita essent, negligerentur. Plane sic orta est lacuna IV, 24, 9, ubi cum versus intervallo bis positum esset *τὰ ὄρη*, octo verba interposita exciderunt.

5. *τῶν ἀμφ' Ἀλέξανδρον*] In edd. vett. articulo carentibus minus apte distinctum est post *ἐπίπλουν*. Unus codd. Florr. habet *τὸν ἐπίπλουν τὸν ἀμφ' Ἀλέξανδρον*. Veram scripturam suppeditavit cod. F.

ὑποστρέψαντες — ἔφευγον] Eadem temporum ratio est I, 21, 11 *ἀφέντες ἔφευγον*. III, 14, 3 *αὐτὸς ἐπιστρέψας ἔφευγε*. III, 21, 14 *οὐδὲ ἐς χεῖρας ἐλθόντες ἔφευγον*. IV, 24, 2 *οἱ δὲ βάρβαροι αἰσθόμενοι ἔφευγον*. V, 24, 10 *ἔφευγον ἀπολιπόντες*. VI, 8, 11 *ἀποστρέψαντες ἤδη ἔφευγον*. Imperfecto enim utitur, quod non solum indicare vult, rem aliquando esse factam, sed quod rem, ut facta est, quasi ob oculos legentium ponit. Inde etiam intelligitur, alias bene habere aoristum, uti dixit III, 18, 12 *οἱ δὲ — οὐδὲ ἐς χεῖρας ἐλθόντες ἔφυγον*. III, 25, 14 *προσιόντα μαθὼν ἔφυγε*. Sic scripsit II, 22, 5 *φόνος οὐ πολὺς ἐγένετο*. Sed III, 14, 7 *τὸ ἔργον ἐγίγνετο καρτερόν*. Sic V, 24, 11 *ἐγκαταληφθέντες ἀπέθανον*. Contra VI, 7, 11 *ἐγκαταλαμβανόμενοι ἀπέθνησκον*. Vid. ann. ad I, 11, 6 et VI, 18, 4. Ex parte tantum verum est quod de talibus imperfectis iudicavit Krueg. ad Xen. Anab. I, 2, 18.

πεντήρης δέ τις καὶ τετρήρης] Schmiederus e codice F. *τετρή-*

6 τῶν οὐ πολὺς ἐγένετο. Ὡς γὰρ ᾔσθοντο ἐχομένας τὰς ναῦς, ἀπενήξαντο οὐ χαλεπῶς ἐς τὸν λιμένα. Ὡς δὲ οὐδεμία ἔτι τοῖς Τυρίοις ἐκ τῶν νεῶν ὠφέλεια ἦν, ἐπῆγον
7 ἤδη οἱ Μακεδόνες τὰς μηχανὰς τῷ τείχει αὐτῶν. Κατὰ μὲν δὴ τὸ χῶμα προσαγόμεναι διὰ ἰσχὺν τοῦ τείχους οὐδὲν ἤνυον ὅ τι καὶ λόγου ἄξιον. Οἱ δὲ κατὰ τὸ πρὸς Σιδῶνα τετραμμένον τῆς πόλεως τῶν νεῶν τινας τῶν μη-
8 χανοφόρων προσῆγον. Ὡς δὲ οὐδὲ ταύτῃ ἤνυον, ἐς τὸ πρὸς νότον ἄνεμον καὶ πρὸς Αἴγυπτον ἀνέχον τεῖχος μετ-

---

ρεις. Quod minus placet, quamquam haud considerate Gronovius e plurali *τετρήρεις* colligi posse contendit, *omnes* quadriremes captas esse. Nam si omnes codices pluralem praeberent, a me receptus ita defenderetur, ut e praegresso *τὶς* subaudirem *τινές*. — Mox ed. Bas. *ἐπικρατῶν* pro *ἐπιβατῶν*.

6. *ἐκ τῶν νεῶν ὠφέλεια ἦν*] Priores tres voces in codice F. non vidit Gronovius. Sed tantum abest, ut iis hic bene carere possimus, ut ad illustrandam vocem *ὠφέλεια* quam maxime necessaria sint. Vide mihi I, 20, 6 *ἀπὸ τῶν ναυτῶν ὠφέλειαν γίγνεσθαι.* II, 2, 6 *παρ᾽ αὐτοῦ τινα ὠφέλειαν.* VII, 11, 7 *πρίν τινα ὠφέλειαν παρὰ τῶν Οὐξίων γενέσθαι.* Et quae simillima sunt I, 19, 4 *ἀποκεκλείκεσαν τοῖς Μιλησίοις τὴν ἐκ τῶν Περσῶν ὠφέλειαν.* II, 15, 4 *ὠφέλειαν εὑρισκόμενοι ἐκ Περσῶν.* VII, 17, 6 *ἀφελέσθαι αὐτοὺς τὰς ἐκ τῶν χρημάτων ὠφελείας.* Cf. Schoem. ad Isaei orr. p. 482. — Paulo supra ed. Bas. *οὐδὲ μία.* — Infra eadem *οἱ δὲ κατὰ πρὸς Σιδόνα.*

8. *ὡς δὲ ἤνυον*] Forte factum esse potest, ut in ed. Bas. expressum sit *ἤνυεν*, cum Vulcanius habeat *ἤνυον* neque Gronovius quidquam de codicibus suis monuerit. Sed ferri potest scriptura editionis Basileensis, quia statim sequitur *μετῆει.* Vulgatam haec tuentur III, 8, 3 *καὶ Ἀλέξανδρος ἐνέκειτο —, τοὺς δέ τινας ἀπέκτειναν.* IV, 18, 8 *ὡς δὲ ἐπέλασαν, — καταλαμβάνει.* IV, 24, 16 *ὡς πλησίον ἤδη ἀφεώρων, — διανέμει τὴν στρατιάν.* Vide ad VI, 19, 3.

ἐς τὸ πρὸς νότον ἄνεμον] Post *νότον* in ed. Bas. et quattuor codd. Gronovii insertum legitur *ἦν*. Quod Vulcanius cum non intelligeret quomodo stare posset, post *ἤνυον* de suo dedit *ὅσον*. At neque hac ratione expedita est oratio. Unde cum Schmiedero *ἦν* reiecimus codicem F. secuti, qui ista vocula caret.

9. *πρῶτόν τε κατεσείσθη*] Copulam adiecimus, monente Schmiedero, ex edd. Venet. et Basil. Neglexit eam primus Vulcanius. —

ᾔει, πάντῃ ἀποπειρώμενος τοῦ ἔργου. Καὶ ἐνταῦθα πρῶ- 9
τόν τε κατεσείσθη τὸ τεῖχος ἐπὶ μέγα, καί τι καὶ κατη-
ρείφθη αὐτοῦ παραῤῥαγέν. Τότε μὲν δὴ ὅσον ἐπιβαλὼν 10
γεφύρας ᾗ ἐρήριπτο τοῦ τείχους, ἀπεπειράθη ἐς ὀλίγον
τῆς προσβολῆς· καὶ οἱ Τύριοι οὐ χαλεπῶς ἀπεκρούσαντο
τοὺς Μακεδόνας.

XXIII. Τρίτῃ δὲ ἀπὸ ταύτης ἡμέρᾳ νηνεμίαν τε φυ-
λάξας καὶ παρακαλέσας τοὺς ἡγεμόνας τῶν τάξεων ἐς τὸ
ἔργον, ἐπῆγε τῇ πόλει ἐπὶ τῶν νεῶν τὰς μηχανάς. Καὶ 2

Mox pro vulgato κατηρίφθη dedimus κατηρείφθη ex coniectura Lennepii ad Phal. Epp. IV, p. 19. Plura vide ad I, 21, 7.

10. ὅσον ἐπιβαλὼν γεφύρας] Quod dicit Schmiederus, ὅσον h. l. vertendum esse *tanquam*, *quasi*, id vereor ut cuiquam satisfecerit. Verum cognoscere iam poterat ex interpretatione Vulcanii: *Tunc igitur iniectis pontibus ea parte, qua murum demolitus erat.* Quamquam illud ὅσον non satis accurate expressit Vulcanius. Hic est enim loci sensus: *iniectis pontibus ibi tantum, ubi murus perfractus erat.* Plane gemina sunt haec I, 27, 10 ἀλλ' ἀναχωρήσουσιν οἱ πολλοὶ αὐτῶν, ὅ σ ο ν φυλακὴν καταλιπόντες ἐπὶ τοῖς ὄρεσιν, h. e. *relicto tantum in montibus praesidio.* Similia quaedam de huius pronominis vi et usu monuerunt Herm. ad Viger. p. 726 et Siebel. ad Paus. I, 23, 6. Cf. ann. ad V, 13, 6.

ᾗ ἐρήριπτο] Ed. Vulc. et Blanc. ἐῤῥίπτο. Codd. Gronovii cum edd. Venet. et Basil. ἐρέριπτο, quod, ut vides, correctum dedimus, cum forma brevior ab Arriani manu abhorrere videatur. Vid. I, 19, 3 κατερήριπτο. I, 22, 1 ἐρηριμμένον. I, 22, 4 κατερηριμμένον. II, 27, 7 τὰ ἐρηριμμένα. Conferas ann. ad I, 21, 12. Ex his exemplis etiam apparet, Lennepio ad Phalar. IV, p. 19 non esse obsequendum coniicienti ἐρήρειπτο, quod refellit iam cl. Lobeckius ad Phryn. p. 33. Forma ἐῤῥίπτο propterea tantum altera deterior est, quod ἐῤῥῖφθαι apud Arrianum non dicitur de *muris deiectis.* Vid. VII, 14, 5 et 6. Diodorus quidem dixit XVII, 25 πύργων ἐῤῥιμμένων.

C. XXIII. νηνεμίαν] De hac forma et simill. vide Lob. ad Phrynich. p. 710. Ceterum ed. Bas. νηνεμίας.

2. καὶ πρῶτα μέν] Ita omnes edd. praeter Basileensem, in qua πρῶτον. Altera scriptura, sine dubio a Vulcanio e codice suo desumta praestat, quantum ex Arriani more loquendi videre est. I, 4, 5 καὶ τὰ μὲν πρῶτα — ὡς δέ. I, 6, 3 τὰ μὲν πρῶτα — ἔπει-

πρῶτα μὲν κατέσεισε τοῦ τείχους ἐπὶ μέγα. Ὡς δὲ ἀπο-
χρῶν εἰς πλάτος ἐφάνη τὸ παρεῤῥηγμένον, τὰς μὲν μηχα-
νοφόρους ναῦς ἐπανάγειν ἐκέλευσεν· ὁ δὲ δύο ἄλλας ἐπῆ-
γεν αἳ τὰς γεφύρας αὐτῷ ἔφερον, ἃς δὴ ἐπιβάλλειν ἐπε-
3 νόει τῷ κατεῤῥηγμένῳ τοῦ τείχους. Καὶ τὴν μὲν μίαν
τῶν νεῶν οἱ ὑπασπισταὶ ἔλαβον, ᾗ ἐπετέτακτο Ἄδμητος·
τὴν ἑτέραν δὲ ἡ Κοίνου τάξις οἱ πεζέταιροι καλούμενοι,
καὶ αὐτὸς ξὺν τοῖς ὑπασπισταῖς ἐπιβήσεσθαι τοῦ τείχους
4 ᾗ παρείκοι ἔμελλε. Τὰς τριήρεις δὲ τὰς μὲν ἐπιπλεῖν

τα. I, 20, 13 *τὰ πρῶτα μέν*. III, 15, 3 *καὶ πρῶτα μέν*. V, 18, 9 *πέμπει — πρῶτα μέν*. VI, 8, 12 *πρῶτα μὲν οὖν*. VII, 9, 2 *καὶ πρῶτά γε*. Ad constructionem verborum confer II, 27, 6 *κατέσεισαν τοῦ τείχους ἐπὶ πολύ*. Cum Arrianeis compararunt Popp. proll. ad Thuc. I, p. 370 et Goellerus Thucyd. II, 76 *ἡ τοῦ μεγάλου οἰκοδομήματος — ἐπὶ μέγα κατέσεισε*.

τῷ κατεῤῥηγμένῳ τοῦ τείχους] Lennepius ad Phalar. Epp. IV, p. 20, cum formae *κατεῤῥηγμένον* et similibus ex eodem fonte derivatis bellum indicasset, pro *κατεῤῥηγμένῳ* coniecit *κατερηρειμμένῳ*. Frustra. Nec, quod Buttmannus Gr. Gr. uber. II, p. 226 contendit, perfectum verbi *ῥηγνύναι* passivum non reperiri, satis firmis nititur fundamentis. Arrianus quidem supra scripsit *παρεῤῥηγμένον* et IV, 26, 9 *παρέῤῥηκτο*. Cum autem dixerit *κατεῤῥάγη* IV, 26, 12, ut *παραῤῥαγεῖσα* II, 10, 7. *παραῤῥαγέν* II, 22, 9. VI, 7, 10: quidni liceat statuere, etiam scripsisse h. l. *κατεῤῥηγμένῳ* de *muro perfracto* s. potius *defracto?* Pro perfecto passivo, ut apud alios scriptores, ita apud Arrianum vidimus etiam perfectum secundum activi, II, 11, 2 et IV, 26, 11 *τὸ παρεῤῥωγός*. Apud Herodotum II, 12, ubi hodie legitur *κατεῤῥηγνυμένην* et pro quo Fischerus ad Weller. t. III, p. 169 coniecit scribendum esse *καταῤῥηγνυμένην*, ego quidem malim scriptum *κατεῤῥηγμένην*.

3. *οἱ πεζέταιροι*] Sic recte Blancardus primus pro vulgato *ἀσθενέστεροι*. Vet. cod. Vulcanii s. Stephani *ἀσθέτεροι*. De corrupta huius vocis scriptura vide quae diximus ad I, 28, 5 et VI, 6, 1. — Infra pro *ἐπιβήσασθαι*, quod nescio quo errore in Schmiederi editionem irrepserat, dedimus *ἐπιβήσεσθαι* ex omnibus ceteris editionibus. Et sic scribendum esse monuit Bernhardyus ad Dion. Perieg. p. 829.

4. *εἰ βιάσαιντο τὸν εἴσπλουν*] Gemina est constructio I, 19, 11 *ὡς μὴ βιάσαιντο οἱ βάρβαροι τὸν εἴσπλουν*. h. e. *ne barbari navibus*

κατὰ τοὺς λιμένας ἀμφοτέρους ἐκέλευσεν, εἴ πως πρὸς
σφᾶς τετραμμένων τῶν Τυρίων βιάσαιντο τὸν ἔσπλουν.
Ὅσαι δὲ αὐτῶν βέλη ἀπὸ μηχανῶν βαλλόμενα εἶχον ἢ 5
ὅσαι τοξότας ἐπὶ τῶν καταστρωμάτων ἔφερον, ταύτας δὲ
ἐκέλευσεν ἐν κύκλῳ περιπλεούσας τὸ τεῖχος ἐποκέλλειν τε
ὅποι παρείκοι, καὶ ἀνακωχεύειν ἐντὸς βέλους ἔστε τὸ
ἐποκεῖλαι ἄπορον γίγνοιτο, ὡς πανταχόθεν βαλλομένους
τοὺς Τυρίους ἐν τῷ δεινῷ ἀμφιβόλους γίγνεσθαι. Ὡς δὲ 6
αἵ τε νῆες αἱ ξὺν Ἀλεξάνδρῳ προσέσχον τῇ πόλει, καὶ αἱ

---

vi irrumperent. Alias praepositionem *εἰς* adiunctam vides, ut II, 20, 11 *ἐς τὸν λιμένα βιάζεσθαι ἀπέγνω.* VI, 9, 4 *βιάσασθαι ἐπειρῶντο εἰς τὴν ἄκραν.* Et similiter *εἴσω* IV, 26, 11 *βιάσασθαι εἴσω τοῦ τείχους.* Vide Baehr. ad Plut. Philop. p. 18, et quos ibi testes attulit Wesselingium, Schaeferum, alios.

5. *ταύτας δέ*] Secundam vocem recte inseruit Schmiederus e codd. Gronovii. Testimonia comparata vide ad I, 15, 8 et I, 20, 4. — Mox pro *ἐποκέλλειν* ed. Bas. *ἀποκελεύειν.*

ἀμφιβόλους] Suid. s. v. *ἀμφίβολοι· πανταχόθεν βαλλόμενοι.* Unde Toupius Opp. critt. t. I, p. 27 suspicatur lexicographum, cum illa scribebat, hunc Arriani locum in mente habuisse. Sane quidem ita fuisse potest. Sed nescio an glossa illa rectius referatur ad III, 18, 12 *οἱ δὲ πολέμιοι πάντοθεν ἀμφίβολοι γιγνόμενοι — ἔφυγον.* Hoc enim loco in adiectivo illa inest vis quam memorat Suidas. Quem nunc tractamus locum, in eo est *ἀμφίβολος* *dubius, incertus consilii.* III, 3, 8 *οἱ ἡγεμόνες τῆς ὁδοῦ ἀμφίβολοι ἦσαν.* IV, 29, 8 *ὡς ἀμφοτέρωθεν βαλλομένους τοὺς Ἰνδοὺς ἀμφιβόλους γίγνεσθαι.* V, 9, 2 *ὡς τὸν Πῶρον ἀμφίβολον γίγνεσθαι.* Plenius V, 15, 5 *ἐγίγνετο μὲν καὶ ὡς ἀμφίβολος τῇ γνώμῃ.* Huc etiam trahendum II, 17, 2 *ὑπολιπομένους τὴν Τύρον πόλιν ἀμφίβολον.* Ex omnibus his exemplis clarum est, *ἀμφίβολος* Arriano semper dici *de hominibus qui nesciunt quid sit faciendum*, vel *de hominibus incertae fidei.* De *rebus quae ambiguae sunt nec satis constant* dicitur ei *ἀμφίλογος.* IV, 10, 9 *καὶ γὰρ οὐδὲ ἐκεῖνο εἶναι ἀμφίλογον.* V, 4, 3 *ταῦτα μὲν ὑπὲρ τοῦ Ἰνδοῦ τὰ μάλιστα οὐκ ἀμφίλογα ἀναγεγράφθω.* VII, 22, 9 *οὔ μοι δοκεῖ ἰέναι ἐς ἀμφίλογον.* — Supra pro *ὅποι παρείκοι* cur Poppo Thucyd. I, p. 369 scribendum censeat *ὅπῃ παρείκοι*, ego non assequor. V. ad I, 26, 8.

6. *ἀπ' αὐτῶν*] Ita Schmiederus e cod. F. pro *ἐπ' αὐτῶν*, quod habent edd. vett. et quattuor codd. Gronovii. Ad confirmandam

γέφυραι ἐπεβλήθησαν τῷ τείχει ἀπ' αὐτῶν, ἐνταῦθα οἱ ὑπασπισταὶ εὐρώστως κατὰ ταύτας ἀνέβαινον ἐπὶ τὸ τεῖχος. [ὅ τε γὰρ Ἄδμητος ἀνὴρ ἀγαθὸς ἐν τῷ τότε ἐγένετο] καὶ ἅμα Ἀλέξανδρος εἵπετο αὐτοῖς, τοῦ τε ἔργου αὐτοῦ καρτερῶς ἁπτόμενος καὶ θεατὴς τῶν ἄλλων ὅτῳ τι λαμ-
7 πρὸν κατ' ἀρετὴν ἐν τῷ κινδύνῳ ἐτολμᾶτο. Καὶ ταύτῃ πρῶτον ᾗ ἐπετέτακτο Ἀλέξανδρος, ἐλήφθη τὸ τεῖχος, οὐ χαλεπῶς ἀποκρουσθέντων ἀπ' αὐτοῦ τῶν Τυρίων, ἐπειδὴ πρῶτον βεβαίῳ τε καὶ ἅμα οὐ πάντῃ ἀποτόμῳ τῇ προσ-
8 βάσει ἐχρήσαντο οἱ Μακεδόνες. Καὶ Ἄδμητος μὲν πρῶτος ἐπιβὰς τοῦ τείχους καὶ τοῖς ἀμφ' αὐτὸν ἐγκελευόμενος ἐπιβαίνειν, βληθεὶς λόγχῃ ἀποθνήσκει αὐτοῦ. Ἐπὶ δὲ αὐτῷ Ἀλέξανδρος ἔσχε τὸ τεῖχος ξὺν τοῖς ἑταίροις.
9 Ὡς δὲ εἴχοντο αὐτῷ πύργοι τε ἔστιν οἳ καὶ μεταπύργια, αὐτὸς μὲν παρῄει διὰ τῶν ἐπάλξεων ὡς ἐπὶ τὰ βασίλεια, ὅτι ταύτῃ εὐπορωτέρα ἐφαίνετο ἐς τὴν πόλιν ἡ κάθοδος.

---

scripturam codicis F. attulit Gronovius IV, 26, 11 *καὶ ἀπὸ μηχανῆς γέφυραν ἐπιβαλών.* V, 7, 10 *καὶ ἀπ' ἀμφοῖν ξύλα — ἐπιβάλλεται.* Eadem praepositioni potestas est VII, 21, 6 *ὡς μηδ' ἐπάρδεσθαι ἀπ' αὐτοῦ τὴν γῆν,* quod cave putes dictum pro *ὑπ' αὐτοῦ.*

ὅ τε γὰρ — ἐγένετο] »Hae voces glossema redolent. Sunt enim maxime alieno loco. Iis reiectis constructio plana est, nec impeditur, quum alias in mox sequentibus potius legendum esset *αὐτῷ,* non *αὐτοῖς.* Admeti fatum narratur paulo post sect. 8, eumque *ἄνδρα ἀγαθὸν γενέσθαι* c. 24, 7. Denique si Admetus virum fortem se in ea re gessit, vel potius fortiter pugnans mortuus est, inde non sequitur, milites strenue murum conscendisse.« *Schmied.* Non potuimus, quin Schmiedero assentiremur. E textu tamen illas voces removere non ausi uncis eas includi curavimus, id quod Schmiedero iam sic visum erat.

βληθεὶς λόγχῃ] De morte huius Admeti Diod. Sic. XVII, 45 *Ἄδμητος, διαφέρων ἀνδρείᾳ καὶ σώματος ῥώμῃ τεθαῤῥηκὼς τὴν βίαν τῶν Τυρίων ὑπέστη καὶ πληγεὶς πελέκει μέσην τὴν κεφαλὴν παραχρῆμα κατέστρεψε τὸν βίον ἡρωικῶς.* Haec Diodori verba propterea tantum adscripsimus, ut cognoscatur, quam libere sese gesserint veteres historiarum scriptores in narrandis iisdem rebus.

9. *καὶ μεταπύργια*] Placuit haec forma Arriano etiam VI, 7, 10. Par est exemplorum numerus alterius formae *μεσοπύργιον,* I, 21, 7.

XXIV. *Οἱ δὲ ἐπὶ τῶν νεῶν οἵ τε Φοίνικες κατὰ τὸν λιμένα τὸν πρὸς Αἴγυπτον καθ' ὅνπερ καὶ ἐφορμοῦντες ἐτύγχανον, βιασάμενοι καὶ τὰ κλεῖθρα διασπάσαντες ἔκοπτον τὰς ναῦς ἐν τῷ λιμένι, ταῖς μὲν μετεώροις ἐμβάλλοντες, τὰς δὲ ἐς τὴν γῆν ἐξωθοῦντες. Καὶ οἱ Κύπριοι* 2
κατὰ τὸν ἄλλον λιμένα τὸν ἐκ Σιδῶνος φέροντα, οὐδὲ τοῦτον κλεῖθρόν γε ἔχοντα εἰσπλεύσαντες, εἷλον εὐθὺς ταύτῃ τὴν πόλιν. Τὸ δὲ πλῆθος τῶν Τυρίων τὸ μὲν τεῖχος ὡς 3
ἐχόμενον εἶδον, ἐκλείπουσιν· ἀθροισθέντες δὲ κατὰ τὸ Ἀγηνόριον καλούμενον ἐπέστρεψαν ταύτῃ ἐπὶ τοὺς Μακεδόνας. Καὶ Ἀλέξανδρος ξὺν τοῖς ὑπασπισταῖς ἐπὶ τού- 4
τους χωρήσας, τοὺς μὲν αὐτοῦ μαχομένους διέφθειρεν αὐτῶν, τοῖς δὲ φεύγουσιν ἐφείπετο. Καὶ φόνος ἦν πολὺς 5
τῶν τε ἀπὸ τοῦ λιμένος ἐχόντων ἤδη τὴν πόλιν καὶ τῆς Κοίνου τάξεως παρεληλυθυίας εἰς αὐτήν. Ὀργῇ γὰρ ἐχώ- 6
ρουν ἐπίπαν οἱ Μακεδόνες, τῆς τε πολιορκίας τῇ τριβῇ

IV, 26, 13. De utriusque vocis significatione vide Wessel. ad Diod. Sic. XVII, 24 et Goell. ad Thuc. III, 23, p. 356. De duplici forma dixit cl. Lob. ad Phryn. p. 124.

C. XXIV. *ἔκοπτον — ἐξωθοῦντες*] Similiter II, 22, 2 *τὰς δὲ ἄλλας ἐς τὸν αἰγιαλὸν ἐξωθοῦντες ἔκοπτον.* Cf. Dorv. ad Char. p. 363. — Supra ad verba *οἵ τε Φοίνικες* Raphelius scripsit haec: »*et quidem, nempe Phoenices.* Cum plurium gentium naves Alexander habuerit, quas ex universa classe hoc loco velit intelligi, ista nota *οἵ τε* indicat. Ita et supra vertimus II, 18, 7. III, 3, 2.« Sane sic verti possunt illa verba. Sed *τὲ* pertinet ad *καί* quod in initio paragraphi secundi positum est. Eadem ratio est loci a Raphelio citati III, 3, 2 — *ἀπὸ γένους τε ὄντι τοῦ ἀμφοῖν· καί τι καὶ — ἀνέφερε.*

2. *οὐδὲ τοῦτον κλεῖθρόν γε*] Haec est omnium codicum scriptura. Ita etiam verba collocata sunt apud Vulc. Blanc. Raphel. In ed. Basil. legitur, *οἱ δὲ* (l. *οὐδὲ*) *κλεῖθρον τοῦτόν γε.* Raphelius, cum recte animadverteret hunc esse loci sensum: *neque claustrum quidem hunc habentem,* suspicabatur verbis transpositis legendum esse *οὐδὲ κλεῖθρόν γε τοῦτον.* Quae coniectura Borbeckio et Schmiedero tam proba visa est, ut statim eam in textum transferrent. Mihi non item. Ac vellem perpendissent quod Raphelius statim addidit,

ἀχθόμενοι καὶ ὅτι λαβόντες τινὰς αὐτῶν οἱ Τύριοι πλέοντας ἐκ Σιδῶνος ἐπὶ τὸ τεῖχος ἀναβιβάσαντες ὅπως ἄποπτον εἴη ἀπὸ τοῦ στρατοπέδου, σφάξαντες ἔῤῥιψαν εἰς
7 τὴν θάλασσαν. Ἀπέθανον δὲ τῶν μὲν Τυρίων ἐς ὀκτακισχιλίους, τῶν δὲ Μακεδόνων ἐν τῇ τότε προσβολῇ Ἄδμητός τε ὁ πρῶτος ἑλὼν τὸ τεῖχος, ἀνὴρ ἀγαθὸς γενόμενος, καὶ ξὺν αὐτῷ εἴκοσι τῶν ὑπασπιστῶν· ἐν δὲ τῇ πάσῃ
8 πολιορκίᾳ μάλιστα ἐς τετρακοσίους. Τοῖς δὲ ἐς τὸ ἱερὸν τοῦ Ἡρακλέους καταφυγοῦσιν, (ἦσαν δὲ αὐτῶν τε τῶν Τυρίων οἱ μάλιστα ἐν τέλει καὶ ὁ βασιλεὺς Ἀζέμιλκος, καὶ Καρχηδονίων τινὲς θεωροὶ ἐς τιμὴν τοῦ Ἡρακλέος κατὰ δή τινα νόμον παλαιὸν εἰς τὴν μητρόπολιν ἀφικόμενοι)

τοῦτον ante *κλεῖθρόν γε* collocatum »paulo, quam cetera, submissiore voce pronunciandum esse.«

6. *ὅπως ἄποπτον εἴη*] Eadem huic adiectivo significatio est II, 10, 4 *καίπερ ἐν ἀπόπτῳ ἤδη ἔχων τὴν Δαρείου δύναμιν*, h. e. *quamvis in conspectu iam haberet Darii exercitum.* Vide Lobeck. ad Sophocl. Aiac. v. 15.

7. *ἀνὴρ ἀγαθὸς γενόμενος*] Pertinet haec formula ad ea quae Arriano adamata sunt saepeque ab eo repetuntur. Vide modo I, 15, 4 *κατεκόπησαν ἄνδρες ἀγαθοὶ γενόμενοι.* II, 10, 10 *πίπτει ἀνὴρ ἀγαθὸς γενόμενος.* III, 27, 5 *ἔτι μὴ ἀγαθῷ νομιζομένῳ ἀποθανεῖν.* IV, 4, 7 *ὅτι ἀνὴρ ἀγαθὸς γενόμενος τετελευτήκει.* IV, 16, 12 *οὐ κατὰ κιθαρῳδὸν ἀνὴρ ἀγαθὸς γενόμενος.* In his *ἄνδρες ἀγαθοὶ γενέσθαι* dicuntur ii, qui *in proelio fortiter pugnantes interierunt.* Uno tantum loco apud Arrianum *ἀνὴρ ἀγαθός* praegnantem significationem habet simplicis substantivi *ἀνήρ*, V, 19, 1 *ὥσπερ ἀνὴρ ἀγαθὸς ἀνδρὶ ἀγαθῷ προσέλθοι.* Vide Schaef. ad Greg. Cor. p. 203. Fritzsch. Qu. Lucc. p. 205.

8. *Ἀζέμιλκος*] Edd. vett *Ἀζέλμικος.* Alteram formam tuetur cod. F. cum duobus aliis codd. Gronovii. Vid. ann. ad II, 15, 10. — Infra pro *Ἡρακλέος* existat qui scribi malit *Ἡρακλέους*, quae forma alibi semper obtinet apud Arrianum, ut II, 18, 2. IV, 10, 6. Sed non opus videtur hac correctione, modo perpendas, vel ipsos Atticos scriptores similia eiusmodi non prorsus respuere, et apud Arrianum nostrum haud pauca reperiri quae ex eodem fonte sint derivanda. Vide de accusativo *νέας* ad II, 20, 1; de forma *ἠώς* ad I, 23, 5; de *φάος* ad III, 15, 7, de *ῥέει* ad III, 29, 4. De ge-

τούτοις ξύμπασιν ἄδειαν δίδωσιν Ἀλέξανδρος, τοὺς δὲ ἄλ-
λους ἠνδραπόδισε. Καὶ ἐπράθησαν Τυρίων τε καὶ τῶν 9
ξένων ὅσοι ἐγκατελήφθησαν μάλιστα ἐς τρισμυρίους.
Ἀλέξανδρος δὲ τῷ Ἡρακλεῖ ἔθυσέ τε καὶ πομπὴν ἔστειλε 10
ξὺν τῇ δυνάμει ὡπλισμένῃ· καὶ αἱ νῆες ξυνεπόμπευσαν
τῷ Ἡρακλεῖ καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ἱερῷ καὶ λαμπάδα
ἐποίησε· καὶ τὴν μηχανὴν ᾗ τὸ τεῖχος κατεσείσθη, ἀνέ- 11
θηκεν εἰς τὸν νεών· καὶ τὴν ναῦν τὴν Τυρίαν τὴν ἱερὰν
τοῦ Ἡρακλέος ἥντινα ἐν τῷ ἐπίπλῳ ἔλαβε, καὶ ταύτην
τῷ Ἡρακλεῖ ἀνέθηκε, καὶ ἐπίγραμμα ἐπ᾽ αὐτῇ, ἢ αὐτὸς
ποιήσας, ἢ ὅτου δὴ ἄλλου ποιήσαντος οὐκ ἄξιον μνήμης
τὸ ἐπίγραμμα· διὰ τοῦτο καὶ ἐγὼ αὐτὸ ἀναγράψαι ἀπη-

---

nitivi forma *Ἡρακλέος* recte iudicavit Bernhard. ad Dion. Perieg. p. 851.

κατὰ δή τινα νόμον] In ed. Bas. et omnibus codd. Gronovii legebatur *κατὰ δή τινα νόμιμον*, ex qua scriptura Gronovius eruit quod Schmiedero receptum est *κατὰ δή τι νόμιμον*. Sed maiorem verisimilitudinis speciem habet coniectura Vulcanii *κατὰ δή τινα νόμον*. Unde eam probavimus. Nimirum a genuino *νόμον* eo facilius a scribis transiri poterat ad formam *νόμιμον*, quod haud raro ea substantivi vice fungitur apud Arrianum (v. ad IV, 1, 2). Ceterum Arrianus ipse optime confirmat Vulcanii coniecturam. Dixit enim II, 26, 8 *κατὰ νόμον*. VII, 24, 5 *κατὰ δή τινα νόμον*. Particula *δή* *scilicet* eundem locum tenet, atque apud Plut. vit. Num. c. III *ἡμέρᾳ δὲ γεγονὼς κατὰ δή τινα θείαν τύχην*.

11. *ἥντινα — ἔλαβε*] Quod Struvius, philologus celeberrimus extra dubitationem posuit, apud Herodotum pronomen *ὅστις* saepe dictum esse pro simplici *ὅς* (v. Quaestt. Herodott. Spec. I, p. 6 sq.), idem etiam de Arriano praedicari posse ex ingenti exemplorum numero cuique legentium apparebit. Vide modo II, 12, 5 *ἐς τὴν σκηνὴν ἥτις ἐξῃρημένη ἦν*. II, 16, 6 *Γηρυόνην δὲ ἐφ᾽ ὅντινα Ἡρακλῆς ἐστάλη*. III, 19, 4 *ξὺν τῇ δυνάμει ἥτις — ξυνειλεκτο*. IV, 22, 6 *τὸν μὲν ὕπαρχον ὅστις αὐτῷ ἐτάχθη*. V, 29, 5 *τὴν πόλιν ἥντινα Ἡφαιστίων ἐτάχθη ἐκτειχίσαι*. VI, 19, 5 *τὴν νῆσον ἐς ἥντινα*. Et quod instar omnium est VI, 21, 2 *ἐπὶ τροπὰς ἃς ἐν χειμῶνι ὁ ἥλιος ἐπιστρέφει*, collato VII, 21, 2 *ὑπὸ τροπὰς ἅστινας — ὁ ἥλιος ἐπιστρέφει*.

ἢ ὅτου — ἐπίγραμμα] Haec paulo perversiora sunt neque Ar-

12 ξίωσα. Τύρος μὲν δὴ οὕτως ἑάλω, ἐπὶ ἄρχοντος Ἀνικήτου Ἀθήνησι, μηνὸς Ἑκατομβαιῶνος.

XXV. Ἔτι δὲ ἐν τῇ πολιορκίᾳ τῆς Τύρου ξυνεχομένου Ἀλεξάνδρου, ἀφίκοντο παρὰ Δαρείου πρέσβεις ὡς αὐτὸν, ἀπαγγέλλοντες μύρια μὲν τάλαντα ὑπὲρ τῆς μητρός τε καὶ τῆς γυναικὸς καὶ τῶν παίδων δοῦναι ἐθέλειν Ἀλεξάνδρῳ Δαρεῖον· τὴν δὲ χώραν πᾶσαν τὴν ἐντὸς Εὐφράτου ποταμοῦ ἔστε ἐπὶ θάλασσαν τὴν Ἑλληνικὴν Ἀλεξάνδρου εἶναι· γήμαντα δὲ τὴν Δαρείου παῖδα Ἀλέξανδρον
2 φίλον τε εἶναι Δαρείῳ καὶ ξύμμαχον. Καὶ τούτων ἐν τῷ ξυλλόγῳ τῶν ἑταίρων ἀπαγγελθέντων, Παρμενίωνα μὲν

---

riani simplicitate digna. Id tamen necesse fuit, ut pro commate vulgo post ἐπίγραμμα posito distingueretur puncto minusculo.

12. ἐπὶ ἄρχοντος Ἀνικήτου] »In Dionysii Dinarcho p. 116 Νικήτης huius anni archon appellatur, unde Νικήτου hic (apud Diod. XVII, 40) et apud Arrianum II, 24 refingit Ioh. Meursius de Archont. IV, 13, coniectura satis plausibili.« *Wessel.* ad Diod. XVII, 40. Cf. Clint. Fast. Hell. p. 164, ed. Krueg. Nobis quidem neque apud Diodorum, ubi archon Νικήρατος vocatur, neque apud Arrianum vulgata scriptura mutanda videtur. Conferas, si placet, quae diximus ad II, 11, 14.

C. XXV. ὡς αὐτόν] Ita omnes codd. Gronovii, C. V. Vulcanii et ed. Basil. Vulcanius apud Stephanum primus scripsit πρὸς αὐτόν. Secuti sunt Blanc. Gron. Raphel. Borheck. Lectionem codicum sine dubio veram recepit Schmiederus. Intacta mansit praepositio I, 4, 9 ἐνταῦθα ἀφίκοντο πρέσβεις ὡς Ἀλέξανδρον. IV, 22, 7 προπέμψας κήρυκα ὡς τὸν Ταξίλην. V, 20, 11 ἧκεν ὡς Ἀλέξανδρον. Vide ann. ad I, 25, 12. III, 19, 10. Goell. ad Thuc. VIII, 103. — Supra ed. Bas. πολιορκίᾳ, omisso articulo.

ἐντὸς Εὐφράτου] Ed. Bas. Εὐφράτην. Infra eadem σύμμαχον, quod altero ξύμμαχον non deterius est. Vide quae diximus in praefatione.

2. ὅτι αὐτὸς ἂν Ἀλέξανδρος ὢν] Sic codd. Gronovii. Apud Vulcanium aliter collocata leguntur haec verba, ὅτι αὐτὸς Ἀλέξανδρος ὢν ἂν ἠγάπησε. In ed. Bas. minus recte locus sic exhibetur scriptus: ὅτι ἂν αὐτὸς Ἀλέξανδρος ἦν, ἐπὶ τούτοις ἠγάπησε. Quod ad narrationem ipsam attinet, conferas Diod. Sic. XVII, 54 Παρμενίων δὲ πρῶτος εἶπεν· ἐγὼ μὲν, ὦ Ἀλέξανδρε, ἔλαβον ἂν τὰ διδόμενα καὶ τὴν σύνθεσιν ἐποιησάμην· ὁ δὲ Ἀλέξανδρος ὑπολαβὼν εἶπε·

λέγουσιν Ἀλεξάνδρῳ εἰπεῖν, ὅτι αὐτὸς ἂν Ἀλέξανδρος ὢν ἐπὶ τούτοις ἠγάπησε καταλύσας τὸν πόλεμον μηκέτι πρόσω
κινδυνεύειν. Ἀλέξανδρον δὲ Παρμενίωνι ἀποκρίνασθαι, 3
ὅτι καὶ αὐτὸς ἄν, εἴπερ Παρμενίων ἦν, οὕτως ἔπραξεν, ἐπεὶ δὲ Ἀλέξανδρός ἐστιν, ἀποκρίνασθαι Δαρείῳ ἅπερ
δὴ καὶ ἀπεκρίνατο. Ἔφη γάρ, οὔτε χρημάτων δεῖσθαι 4
παρὰ Δαρείου, οὔτε τῆς χώρας λαβεῖν ἀντὶ πάσης τὸ μέρος· εἶναι γὰρ τά τε χρήματα καὶ τὴν χώραν αὐτοῦ πᾶσαν· γῆμαί τε ἂν ἐθέλοι τὴν Δαρείου παῖδα, γῆμαι ἂν καὶ οὐ διδόντος Δαρείου· ἐκέλευέ τε αὐτὸν ἥκειν εἴ τι
εὑρέσθαι ἐθέλοι φιλάνθρωπον παρ᾽ αὐτοῦ. Ταῦτα ὡς 5

κἀγὼ εἰ Παρμενίων ἦν, ἔλαβον ἄν. Plut. Alex. c. XXIV *καὶ Παρμενίωνος εἰπόντος· ἐγὼ μὲν, εἰ Ἀλέξανδρος ἤμην, ἔλαβον ἂν ταῦτα· κἀγὼ νὴ Δία, εἶπεν ὁ Ἀλέξανδρος, εἰ Παρμενίων.*

3. *ὅτι καὶ αὐτὸς ἂν — ἔπραξεν ἂν*] Nescio quo errore apud Vulcanium particula *ἂν* ante *ἔπραξεν* repetita sit, cum ea, per se non damnanda, nec in ed. Bas., neque in codd. Gron. compareat. Geminatae illius particulae exemplum attulit iam Gronovius, V, 18, 11 *καὶ ἂν καὶ κατέκτανεν ἂν τυχόν.* Cf. Herm. ad Vig. p. 814 sq. De male addito *ἂν* vide ann. ad V, 28, 6. — Mox ed. Bas. *ἀποκρίνεσθαι.*

4. *ἀντὶ πάσης*] Ed. Bas. sola *ἀντὶ τῆς πάσης.* Gronovius de codicibus suis ne *γρύ* quidem, quamquam persuasum habeo, etiam in uno vel altero codice, si accuratius inquisieris, articulum inventum iri.

γῆμαί τε ἂν ἐθέλοι] Ita cod. F. cum duobus aliis codd. Florr. et ed. Basil. *ἂν ἐθέλῃ* duo codd. Gron. cum edd. Vulc. et Blanc. Sed coniunctivus ex correctione ortus videtur. Nimirum in oratione obliqua nonnunquam particulam *ἂν* s. *ἢν* optativo adiunctam reperiri, ubi coniunctivum exspectabas, verissime observavit Math. Gr. Gr. ub. p. 1021 post Herm. ad Vig. p. 822. Huc accedit quod Arrianus non omnia effugit quae labentis Graecitatis communia et quasi propria essent. Et recentiores Graecos scriptores haud raro *ἐὰν* cum optativo construxisse in aperto posuit Schaeferus Mell. critt. p. 87. Exemplis ibi allatis adde Alciphr. I, 37, p. 218 *ἐὰν δὲ μηδ᾽ οὕτως ἀνύοιμεν, θερμοτέρου φαρμάκου δεῖ.* III, 3, t. II, p. 14 *καὶ ὤμοσα μήποτε ὑπομεῖναι ἐλθεῖν, μηδ᾽ ἂν φθάνοιμι λιμῷ κατασκλῆναι.*

ἤκουσε Δαρεῖος, τὰς μὲν ξυμβάσεις ἀπέγνω τὰς πρὸς Ἀλέξανδρον, ἐν παρασκευῇ δὲ τοῦ πολέμου αὖθις ἦν.

6 Ἀλέξανδρος δὲ ἐπ᾽ Αἴγυπτον ἔγνω ποιεῖσθαι τὸν στόλον· καὶ ἦν αὐτῷ τὰ μὲν ἄλλα τῆς Παλαιστίνης καλουμένης Συρίας προσκεχωρηκότα ἤδη· εὐνοῦχος δέ τις ᾧ ὄνομα ἦν Βάτις, κρατῶν τῆς Γαζαίων πόλεως οὐ προσεῖχεν Ἀλεξάνδρῳ· ἀλλὰ Ἄραβάς τε μισθωτοὺς ἐπαγόμενος, καὶ σῖτον ἐκ πολλοῦ παρεσκευακὼς διαρκῆ ἐς χρόνιον πολιορκίαν, καὶ τῷ χωρίῳ πιστεύων μήποτε ἂν βίᾳ ἁλῶναι, ἔγνω μὴ δέχεσθαι τῇ πόλει Ἀλέξανδρον.

XXVI. Ἀπέχει δὲ ἡ Γάζα τῆς μὲν θαλάσσης εἴκοσι μάλιστα σταδίους, καὶ ἔστι ψαμμώδης καὶ βαθεῖα ἐς αὐτὴν ἡ ἄνοδος καὶ ἡ θάλασσα ἡ κατὰ τὴν πόλιν τεναγώ-

---

5. ἀπέγνω] Ed. Bas. ἐπέγνω.

C. XXVI. 2. ὡς ἐπ᾽ Αἰγύπτου — ἰόντι] Fuit cum scriptum mallem ὡς ἐπ᾽ Αἴγυπτον, quomodi dixit I, 2, 1 ἀπέχει δὲ οὗτος ἀπὸ τοῦ Ἴστρου ὡς ἐπὶ τὸν Αἷμον ἰόντι. Praeterea etiam notandum est, ut ἐπί saepe cum genitivo constructum videmus (cf. ann. ad III, 25, 6), ita ὡς ἐπί non nisi cum accusativo coniunctum reperiri, ut I, 11, 5. I, 20, 10. II, 13, 1. III, 1, 2. V, 24, 2. VI, 8, 1. VII, 7, 2 et centenis aliis locis. Nihilominus tamen vulgatam scripturam servavimus, quod uno simili loco ea firmatur. III, 23, 11 προῄει ὡς ἐφ᾽ Ὑρκανίας εἰς Ζαδράκαρτα.

ἐπὶ τῇ ἀρχῇ] Ed. Basil. ἐπὶ τὴν ἀρχήν.

4. ἐδόκει αἱρετέον εἶναι] »Mss. omnes, ipse quoque Optimus, αἱρετέον εἶναι, quae ultima vox in edd. omnibus desideratur. Etiam Vulcanius ex Augustano inversis vocibus αἱρετέον ἐδόκει εἶναι.« *Gronov.* Vide IV, 10, 9 καὶ γὰρ οὐδὲ ἐκεῖνο εἶναι ἀμφίλογον, ubi Schmiederus ex auctoritate codicis F. minus recte reiecit verbum substantivum. — Ceterum animadverte comparativi usum ellipticum. Dicendum enim erat Arriano plenius τοσούτῳ μᾶλλον ἐδόκει —, ὅσῳ ἀπορώτερον. Simile quid vide VII, 12, 9 ὅσῳ ἐπικρύπτεται, τοσῷδε φιλοτιμότερον ἐξηγούμενός. Cf. Schaef. ad Soph. Oed. Col. v. 744.

τῷ παραλόγῳ] Non semel in Arriani scriptis nobis se offerunt imitationes Thucydidei loquendi moris. Huc etiam spectare videtur usus vocis ὁ παράλογος tanquam substantivi, de quo usu apud Thucydidem vide Goell. ad Thuc. I, 65 et VII, 61, et ante eum Krueg. Comm. Thuc. p. 267. Vid. Arr. I, 9, 8 μέγαν τὸν παρά-

δης πᾶσα. Μεγάλη δὲ πόλις ἡ Γάζα ἦν καὶ ἐπὶ χώματος ὑψηλοῦ ᾤκιστο, καὶ τεῖχος περιεβέβλητο αὐτῇ ὀχυρόν. Ἐσχάτη δὲ ᾠκεῖτο ὡς ἐπ' Αἰγύπτου ἐκ Φοινίκης ἰόντι, ἐπὶ τῇ ἀρχῇ τῆς ἐρήμου. 2
Ἀλέξανδρος δὲ ὡς ἀφίκετο πρὸς τὴν πόλιν, τῇ μὲν πρώτῃ κατεστρατοπέδευσεν ᾗ μάλιστα ἐπίμαχον αὐτῷ ἐφαίνετο τὸ τεῖχος, καὶ μηχανὰς συμπηγνύναι ἐκέλευσεν· οἱ δὲ μηχανοποιοὶ γνώμην ἀπεδείκνυντο, ἄπορον εἶναι βίᾳ ἑλεῖν τὸ τεῖχος, διὰ ὕψος τοῦ χώματος. 3
Ἀλλ' Ἀλεξάνδρῳ ἐδόκει αἱρετέον εἶναι ὅσῳ ἀπορώτερον· ἐκπλήξειν γὰρ τοὺς πολεμίους τὸ ἔργον τῷ παραλόγῳ ἐπὶ μέγα, καὶ τὸ μὴ ἑλεῖν αἰσχρὸν εἶναί οἱ λεγόμενον ἔς τε τοὺς Ἕλληνας καὶ ἐς Δαρεῖον. 4
Ἐδόκει δὴ χῶμα ἐν κύκλῳ τῆς πόλεως χωννύναι, ὡς ἐξ 5

λογον παρέσχε. I, 16, 3 ἐκπλήξει τοῦ παραλόγου. III, 10, 5 πολλὰ ἐκ τοῦ παραλόγου συμβάντα. IV, 19, 7 τῷ παραλόγῳ τῆς ὄψεως. IV, 26, 7 τῷ παραλόγῳ ἐκπλαγέντες. Adiectivi vice fungitur illud vocabulum Hist. Ind. XX, 11 παραλόγῳ εὐτυχίῃ πεποιθότες. XXX, 7 ἐπὶ τῇ παραλόγῳ σωτηρίᾳ. Diodoro semper dicitur τὸ παράλογον s. τὰ παράλογα. XV, 33 τὸ παράλογον τῆς τύχης. XV, 54 τὰ παράλογα τῆς τύχης. XVII, 42 τὸ παράλογον τῆς συμφορᾶς.

τὸ μὴ ἑλεῖν αἰσχρὸν εἶναί οἱ] Ed. Basil. omissa voce *αἰσχρόν* corrupte τὸ μὴ ἑλεῖναί οἱ.

5. ἐν κύκλῳ τῆς πόλεως] »Has voces mala manu ex cap. 27, 5 huc translatas censeo. Ad eum finem, ut machinae ad murum adduci possent, non necesse erat agger, qui totam urbem circuiret; et mox etiam videmus, eum exstructum esse modo κατὰ τὸ νότιον τῆς πόλεως τεῖχος, non vero ἐν κύκλῳ τῆς πόλεως. Quum vero Alexander videret, se cum una mole versus unam urbis partem non multum proficere, tunc demum (c. 27, 5) iubet χῶμα χωννύναι ἐν κύκλῳ πάντοθεν τῆς πόλεως, ut omni ex parte murum aggredi posset.« *Schmied.* Qui illas voces uncis includi iussit. Sed vana est viri suspicio. Nam qui sequitur pluralis τοῖς τείχεσιν, aperte indicat, Alexandro iam, cum urbem aggrediebatur, animo constitutum fuisse, *muros* mole s. aggere cingere. Cum autem videret, faciliorem esse accessum ad eam partem moenium quae austrum versus exstructa erant, ibi *potissimum* molem strui iussit, non opinatus, Gazaeos tam fortiter defensuros esse urbem. Hi enim eruptione facta Macedones ab aggere repulerunt Alexandrumque ipsum vulnerarunt. Itaque ubi tormenta mari transmissa acce-

ἴσον ἀπὸ τοῦ χωσθέντος ἐπάγεσθαι τὰς μηχανὰς τοῖς
τείχεσι. Καὶ ἐχώννυτο κατὰ τὸ νότιον μάλιστα τῆς πό-
6 λεως τεῖχος, ἵνα ἐπιμαχώτερα ἐφαίνετο. Ὡς δὲ ἐδόκει
ἐξῆρθαι συμμέτρως τὸ χῶμα, μηχανὰς ἐπιστήσαντες οἱ
7 Μακεδόνες ἐπῆγον ὡς ἐπὶ τὸ τεῖχος τῶν Γαζαίων. Καὶ
ἐν τούτῳ θύοντι Ἀλεξάνδρῳ καὶ ἐστεφανωμένῳ τε καὶ
κατάρχεσθαι μέλλοντι τοῦ πρώτου ἱερείου κατὰ νόμον,
τῶν τις σαρκοφάγων ὀρνίθων ὑπερπετόμενος ὑπὲρ τοῦ
βωμοῦ λίθον ἐμβάλλει εἰς τὴν κεφαλὴν ὅντινα τοῖν πο-
8 δοῖν ἔφερε. Καὶ Ἀλέξανδρος ἤρετο Ἀρίστανδρον τὸν μάν-
τιν ὅ τι νοοῖ ὁ οἰωνός· ὁ δὲ ἀποκρίνεται· Ὅτι, ὦ βασι-
λεῦ, τὴν μὲν πόλιν αἱρήσεις, αὐτῷ δὲ σοὶ φυλακτέα ἐστὶν
ἐπὶ τῇδε τῇ ἡμέρᾳ.

XXVII. Ταῦτα ἀκούσας Ἀλέξανδρος, τέως μὲν πρὸς
2 ταῖς μηχαναῖς ἔξω βέλους αὑτὸν εἶχεν. Ὡς δὲ ἐκδρομή
τε ἐκ τῆς πόλεως καρτερὰ ἐγένετο, καὶ πῦρ τε ἐπέφερον

---

perat Alexander, totam urbem aggere cinxit, quo celerius eam expugnaret. Hic est rerum ab Arriano narratarum ordo. Neque video quae in iis insit difficultas. — Mox ed. Bas. ἐξίσου.

ἵνα ἐπιμαχώτερα ἐφαίνετο] Suspiceris ἐπιμαχωτέρα s. ἐπιμαχώτερον. Sed vulgata proba est. Saepe enim Graeci quae ad explicandam quandam enunciati praegressi partem addunt, non ad certum nomen referunt, sed ad ea quae toto enunciato exprimuntur (cf. Popp. ad Thuc. t. I, p. 105 sqq.). Eadem ratio obtinet apud Arr. II, 10, 2 ἔστι δὲ ὅπου καὶ χάρακα παρατείνας αὐταῖς, ἵνα εὐεφοδώτερα ἐφαίνετο. III, 20, 5 εἴσω παρῆλθε τῶν πυλῶν ἔστε οἰκούμενα ἦν, ubi qui Latine verterunt hunc locum, ad unum omnes constructione paulo minus consueta decepti sunt. Ita etiam qui III, 22, 9 pro vulgato ὁποῖα καὶ βασιλεύοντος αὐτοῦ, scribi volet ὁποία, Arriano haud recte consuluerit. Ex parte huc trahas I, 1, 15 ὅτι ταύτῃ εὐπορώτερα ἦν, pro quo plenius dixit II, 23, 9 ὅτι εὐπορωτέρα ἐφαίνετο ἡ κάθοδος. VI, 20, 3 ὅπῃ εὐπορωτέρα ἡ ἐκβολὴ γίνεται. Praeterea cf. Thuc. I, 10 φαίνοιτ' ἂν ὑποδεέστερα, uti scripsit Beckerus pro vulgato ὑποδεεστέρα. Vide Goell. ad Thucyd. t. II, p. 413.

8. ὅ τι νοοῖ] Ita codd. Gronovii omnes. ὅ τι νοεῖ edd. vett; non minus apte, si fides habenda est scripturae VII, 18, 8 ἐρομένου δὲ ὅ τι νοεῖ τὸ σημεῖον. Similiter habent quoque II, 15, 10 ἐκέ-

ταῖς μηχαναῖς οἱ Ἄραβες καὶ τοὺς Μακεδόνας ἀμυνομένους κάτωθεν αὐτοὶ ἐξ ὑπερδεξίου τοῦ χωρίου ἔβαλλόν τε καὶ ὤθουν κατὰ τοῦ ποιητοῦ χώματος, ἐνταῦθα ἢ ἑκὼν ἀπειθεῖ Ἀλέξανδρος τῷ μάντει, ἢ ἐκπλαγεὶς ἐν τῷ ἔργῳ οὐκ ἐμνημόνευσε τῆς μαντείας, ἀλλ᾽ ἀναλαβὼν τοὺς ὑπασπιστὰς παρεβοήθει ἵνα μάλιστα ἐπιέζοντο οἱ Μακεδόνες. Καὶ 3
τούτους μὲν ἔσχε τοῦ μὴ οὐκ αἰσχρᾷ φυγῇ ὠσθῆναι κατὰ τοῦ χώματος, αὐτὸς δὲ βάλλεται καταπέλτῃ διὰ τῆς ἀσπίδος διαμπὰξ καὶ τοῦ θώρακος ἐς τὸν ὦμον. Ὡς δὲ ἔγνω 4
τὰ ἀμφὶ τὸ τραῦμα ἀληθεύσαντα Ἀρίστανδρον, ἐχάρη ὅτι καὶ τὴν πόλιν δὴ αἱρήσειν ἐδόκει Ἀριστάνδρου ἕνεκα. Καὶ αὐτὸς μὲν τὸ τραῦμα ἐθεραπεύετο χαλεπῶς. Ἀφικνοῦν- 5
ται δ᾽ αὐτῷ μετάπεμπτοι ἀπὸ θαλάσσης αἱ μηχαναὶ αἷς Τύρον εἷλε· καὶ χῶμα χωννύναι ἐν κύκλῳ πάντοθεν τῆς πόλεως ἐκέλευσεν, εὖρος μὲν ἐς δύο σταδίους, ὕψος δὲ ἐς πόδας πεντήκοντα καὶ διακοσίους. Ὡς δὲ αἵ τε μη- 6

λευσε φράσαι, ὅτι ἐθέλοι. Et IV, 5, 1 ὅτι ἐθέλει ποιεῖν τὰ ἐπαγγελλόμενα. Vide ann. ad II, 6, 7. V, 3, 1. VI, 19, 6.

C. XXVII. ταῦτα ἀκούσας] »Verba ταῦτα ἀκούσας — εἶχεν retraxerat Gronovius ad caput praecedens. Ego huic capiti adiungere malui, quia sunt prima pars periodi quae continuatur verbis ὡς δὲ ἐκδρομὴ κ. τ. λ.« *Schmied.* Certum quidquam de talibus statui non potest. Sed cum hodie multa capita a pronomine ταῦτα ordiantur, ut II, 18. III, 25. IV, 7. IV, 12. cet., cum etiam τέως μὲν — ὡς δέ paulo arctius coniungenda videantur (vid. ad II, 8, 4), Schmiederum secuti sumus. — Pro αὐτῶν ed. Bas. αὐτόν.

2. τῷ μάντει] Ed. Bas. τῷ μάντι. — Infra eadem omisso augmento, πιέζοντο. cf. VI, 19, 2.

3. καταπέλτῃ] Ed. Bas. κατὰ πέλτῃ. Similem similis narrationis colorem vide IV, 23, 5 αὐτὸς δὲ τιτρώσκεται βέλει διὰ τοῦ θώρακος ἐς τὸν ὦμον· τὸ δὲ τραῦμα οὐ χαλεπὸν αὐτῷ ἐγένετο· ὁ γὰρ θώραξ ἔσχε τοῦ μὴ οὐ διαμπὰξ διὰ τοῦ ὤμου ἐλθεῖν τὸ βέλος. Cf. ann. ad IV, 24, 7. — Mox ed. Bas. ἀληθεύσαντα.

6. ὡς δέ — αὐτῷ ἐποιήθησαν] Sic edd. Venet. et Basil.; sic quoque codd., quos contulit Gronovius, omnes. Unde mirum sane cur Vulcanio placuerit scribere ὡς δὲ — ἐποιήθησαν, omisso dativo pronominis. Secuti eum sunt Blancardus, Gronovius, Raphelius. Codicum auctoritatem firmiorem reddunt haec Arriani I, 14, 1

χαναὶ αὐτῷ ἐποιήθησαν, καὶ ἐπαχθεῖσαι κατὰ τὸ χῶμα κατέσεισαν τοῦ τείχους ἐπὶ πολὺ, ὑπονόμων τε ἄλλῃ καὶ ἄλλῃ ὀρυσσομένων καὶ τοῦ χοῦ ἀφανῶς ἐκφερομένου τὸ τεῖχος πολλαχῇ ἠρείπετο ὑφιζάνον κατὰ τὸ κενούμενον· τοῖς τε βέλεσιν ἐπὶ πολὺ κατεῖχον οἱ Μακεδόνες ἀναστέλλοντες τοὺς προμαχομένους ἐκ τῶν πύργων· ἐς μὲν τρεῖς προσβολὰς οἱ ἐκ τῆς πόλεως, ἀποθνησκόντων τε αὐτοῖς πολ-
7 λῶν καὶ τιτρωσκομένων, ὅμως ἀντεῖχον· τῇ τετάρτῃ δὲ τῶν Μακεδόνων τὴν φάλαγγα πάντοθεν προσαγαγὼν Ἀλέξανδρος, τῇ μὲν ὑπορυσσόμενον τὸ τεῖχος καταβάλλει, τῇ δὲ παιόμενον ταῖς μηχαναῖς κατασείει ἐπὶ πολὺ, ὡς μὴ χαλεπὴν ταῖς κλίμαξι τὴν προσβολὴν κατὰ τὰ ἐρηριμμένα
8 ἐνδοῦναι. Αἵ τε οὖν κλίμακες προσήγοντο τῷ τείχει καὶ ἔρις πολλὴ ἦν τῶν Μακεδόνων ὅσοι τι ἀρετῆς μετεποι-

---

προετάχθησαν δὲ αὐτῷ. III, 6, 1 καὶ ἐγεφυρώθη αὐτῷ ὁ κατὰ Μέμφιν πόρος. IV, 4, 6 ὡς αἵ τε διφθέραι αὐτῷ παρεσκευασμέναι ἦσαν. IV, 30, 16 καὶ αὕτη ἐκόπη αὐτῷ ὑπὸ τῆς στρατιᾶς. V, 29, 3 ὡς δὲ κατεσκευασμένοι αὐτῷ οἱ βωμοὶ ἦσαν. Vide ann. ad III, 11, 4. IV, 4, 6. VI, 21, 6.

τοῦ χοῦ] Vulcanius de suo dedit τοῦ χοός. Sed alteram formam firmant codd. Gronovii, V. C. Vulcanii et ed. Basil. Neque dubitavi eam cum Schmiedero recipere, etsi Buttmannus Gr. Gr. ub. I, p. 241 contendat, substantivum χοῦς secundae declinationis nuspiam inveniri. Nam cum semper diceretur πρόχους, πρόχου, quidni credendum est etiam χοῦς, χοῦ dictum esse? Nonne, ut hoc solum addam, quamvis semper fere scriptum reperiatur ῥοῦς, ῥοῦ· νοῦς, νοῦ, similia, tamen etiam nonnunquam scripsere ῥοός, ῥοΐ· νοός, νοΐ, et in plurali, πλόες pro πλοῖ, νόες pro νοῖ et quae sunt eiusmodi alia? Vide Choerob. ap. Anecd. Beck. p. 1196. Itpp. ad Greg. Cor. p. 480. Ceterum vellem Buttmannus adscripsisset exempla genitivi χοός. Equidem frustra quaesivi talia, ubi scriptura non fluctuaret.

ἠρείπετο] Ed. Bas. ἐῤῥίπτετο. Sed ἠρείπετο Vulcanius dedit, ut videtur, e codice suo; et si ex silentio Gronovii coniecturam facere licet, eandem formam tuentur codd. Florr. Adde quae diximus ad I, 21, 7 et II, 22, 10. — Mox pro ὑφιζάνον ed. Basil. ἐφιζάνον. Minus recte. Vide ann. ad I, 1, 13. III, 18, 11. IV, 6, 6.

7. κατασείει ἐπὶ πολύ] Ed. Bas. ut hic, sic supra ἐπιπολύ.

8. ὅσοι — μετεποιοῦντο] Imitatus est Arrianus Thucydidem II, 51

οῦντο, ὅστις πρῶτος αἱρήσει τὸ τεῖχος· καὶ αἱρεῖ πρῶτος
Νεοπτόλεμος τῶν ἑταίρων τοῦ Αἰακιδῶν γένους· ἐπὶ δὲ αὐτῷ
ἄλλαι καὶ ἄλλαι τάξεις ὁμοῦ τοῖς ἡγεμόσιν ἀνέβαινον. Ὡς δὲ 9
ἅπαξ παρῆλθόν τινες ἐντὸς τοῦ τείχους τῶν Μακεδόνων,
κατασχίσαντες ἄλλας καὶ ἄλλας πύλας ὅσαις ἕκαστοι ἐπε-
τύγχανον, δέχονται εἴσω τὴν στρατιὰν πᾶσαν. Οἱ δὲ Γα- 10
ζαῖοι καὶ τῆς πόλεώς σφισιν ἤδη ἐχομένης ξυνεστηκότες
ὅμως ἐμάχοντο· καὶ ἀπέθανον πάντες αὐτοῦ μαχόμενοι,
ὡς ἕκαστοι ἐτάχθησαν. Παῖδας δὲ καὶ γυναῖκας ἐξηνδρα- 11
πόδισεν αὐτῶν Ἀλέξανδρος· τὴν πόλιν δὲ ξυνοικίσας ἐκ
τῶν περιοίκων ἐχρῆτο ὅσα φρουρίῳ ἐς τὸν πόλεμον.

καὶ μάλιστα οἱ ἀρετῆς τι μεταποιούμενοι. Ubi vide Goelleri annot. Cf. Ruhnk. ad Timae. p. 179. Lennep. ad Phal. Epp. p. 101, (p. 115, ed. Lips.). Infra ed Bas. αἱρέσει et αἱρει.

τοῦ Αἰακιδῶν γένους] Ed. Bas. τῶν Αἰακιδῶν γένους, quod ferri non potest.

9. τινες — τῶν Μακεδόνων] Haec verba, quamquam pluribus aliis interiectis, arctissime cohaerent. Ac solet ita Arrianus genitivum pendentem a loco suo removere. Vid. I, 7, 1 ἐπαγομένων τινῶν αὐτοὺς ἐπὶ νεωτερισμῷ ἐκ τῆς πόλεως. I, 15, 4 ὅσοι γε μὴ πρὸς Ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐτῶν. II, 10, 9 καί τι καὶ τοῖς γένεσι, τῷ τε Ἑλληνικῷ καὶ Περσικῷ, φιλοτιμίας. III, 23, 1 τοὺς ὑπολειφθέντας ἐν τῇ διώξει τῆς στρατιᾶς. VI, 9, 8 τοὺς μὲν ὦθει εἴσω τοῦ τείχους τῶν Ἰνδῶν. VI, 20, 4 ἐν δὲ τῷ κατάπλῳ ἀφίκετο τῆς ἐκβολῆς. VI, 21, 10 ὅσοι μὲν δὴ ἐς ἀλκὴν ἐτράποντο αὐτῶν. VII, 5, 2 ὅτῳ οὐκ ἀποχρῶσα ἡ μισθοφορὰ τῶν στρατιωτῶν ἐστι. Cf. Goell. ad Thuc. I, 21, p. 85. Dorv. ad Chariton. p. 393. Idem a Cicerone factum monuit Math. ad Or. IV in Catilin. p. 177, ed. sec.

κατασχίσαντες] Ed. Basil. κατασχίσοντες.

ΑΡΡΙΑΝΟΥ
ΑΝΑΒΑΣΕΩΣ ΑΛΕΞΑΝΔΡΟΥ
ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

*Ἀλέξανδρος δὲ ἐπ᾽ Αἰγύπτου ἵναπερ τὸ πρῶτον ὡρ-
μήθη, ἐστέλλετο, καὶ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ τῆς Γάζης ἐλαύ-*
2 *νων ἧκεν ἐς Πηλούσιον τῆς Αἰγύπτου. Ὁ δὲ ναυτικὸς
στρατὸς παρέπλει αὐτῷ ἐκ Φοινίκης ὡς ἐπ᾽ Αἴγυπτον·*
3 *καὶ καταλαμβάνει τὰς ναῦς ἐν Πηλουσίῳ ὁρμούσας. Μα-
ζάκης δὲ ὁ Πέρσης ὃς ἦν σατράπης Αἰγύπτου ἐκ Δαρείου
καθεστηκὼς, τήν τε ἐν Ἰσσῷ μάχην ὅπως συνέβη πεπυ-*

C. I. *ἐπ᾽ Αἰγύπτου*] Ed. Bas. *ἐπ᾽ Αἴγυπτον.* Minus apte. Vide ann. ad II, 26, 2 et III, 25, 6.

3. *Μαζάκης*] Ed. Basil. *Μαζάβης,* ex solenni literarum confusione, de qua supra diximus ad I, 8, 5 et I, 19, 7. Idem nomen hodie legitur III, 22, 2, ubi in edd. ante Gronovium male scriptum erat *Μαζαίου.*

καὶ Δαρεῖον — ὅτι ἔφυγε] Ita omnes libri quos inspexit Gronovius, ita etiam ed. Bas. Vulcanius primus *Δαρεῖος.* Secuti sunt Blanc. et Raphel. Accusativum recte habere nemo negabit perlectis quae annotata sunt ad I, 26, 8. III, 10, 2 et IV, 9, 3. Ex iis locis quos Gronovius h. l. adscripsit huc pertinent tres, II, 5, 8 *καὶ ἐνταῦθα μανθάνει Πτολεμαῖον καὶ Ἄσανδρον ὅτι ἐκράτησαν.* VII, 15, 7 *καὶ Ῥωμαίους λέγουσιν ὅτι ἐπρέσβευσαν.* Hist. Ind. VIII, 8 *ἀγγέλλουσι τοὺς ἐλέφαντας ὅτι — ἔχονται.*

4. *τὸν ποταμὸν τὸν Νεῖλον*] Secundum articulum sola praebet ed. Bas. Sed forte factum puto, ut in ceteris editionibus omissus sit. Vide ad II, 4, 9. II, 8, 8.

5. *καὶ ἀγῶνα — γυμνικόν*] Saepissime sacrorum et ludorum, quos Alexander in honorem deorum et hominum virtutibus insignium instituisse fertur, apud Arrianum fit mentio, ut II, 24, 10. III, 16, 14. V, 3, 9. V, 8, 5. V, 20, 1. V, 29, 3. VII, 14, 1.

σμένος καὶ Δαρεῖον ὅτι αἰσχρᾷ φυγῇ ἔφυγε, καὶ Φοινί-
κην τε καὶ Συρίαν καὶ τῆς Ἀραβίας τὰ πολλὰ ὑπὸ Ἀλε-
ξάνδρου ἐχόμενα αὐτῷ τε οὐκ οὔσης δυνάμεως Περσικῆς,
ἐδέχετο ταῖς πόλεσι φιλίως καὶ τῇ χώρᾳ Ἀλέξανδρον. Ὁ 4
δὲ εἰς μὲν Πηλούσιον φυλακὴν εἰσήγαγε, τοὺς δὲ ἐπὶ τῶν
νεῶν ἀναπλεῖν κατὰ τὸν ποταμὸν κελεύσας ἔστε ἐπὶ Μέμ-
φιν πόλιν, αὐτὸς ἐφ᾽ Ἡλιουπόλεως ᾔει, ἐν δεξιᾷ ἔχων
τὸν ποταμὸν τὸν Νεῖλον καὶ ὅσα καθ᾽ ὁδὸν χωρία ἐνδι-
δόντων τῶν ἐνοικούντων κατασχών, διὰ τῆς ἐρήμου ἀφί-
κετο ἐς Ἡλιούπολιν. Ἐκεῖθεν δὲ διαβὰς τὸν πόρον ἧκεν 5
ἐς Μέμφιν· καὶ θύει ἐκεῖ τοῖς τε ἄλλοις θεοῖς καὶ τῷ
Ἄπιδι, καὶ ἀγῶνα ἐποίησε γυμνικόν τε καὶ μουσικόν· ἧκον
δὲ αὐτῷ οἱ ἀμφὶ ταῦτα τεχνῖται ἐκ τῆς Ἑλλάδος οἱ δο-
κιμώτατοι. Ἐκ δὲ Μέμφιος κατέπλει κατὰ τὸν ποταμὸν 6
ὡς ἐπὶ θάλασσαν, τούς τε ὑπασπιστὰς [ἐπὶ τῶν νεῶν]
λαβὼν καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν ἱπ-
πέων τὴν βασιλικὴν ἴλην τὴν τῶν ἑταίρων. Ἐλθὼν δὲ ἐς 7

Hist. Ind. XXI, 2. Unde Plutarchus vit. Alex. c. IV *πλείστους γε*, inquit, *ἀγῶνας θεὶς οὐ μόνον τραγῳδῶν καὶ αὐλητῶν καὶ κιθαρῳδῶν, ἀλλὰ καὶ ῥαψῳδῶν.*

6. [*ἐπὶ τῶν νεῶν*] Haec tria verba ut suspecta uncis includi iussimus cum Schmiedero. Videntur enim temere repetita ex superioribus. Conferas ann. ad I, 21, 1. IV, 3, 8. VII, 22, 9.

λαβών] Minus usitate dictum simplex pro composito *ἀναλαβών*, quo uti solet in hac dicendi formula Arrianus. I, 1, 15 *ἀναλαβὼν τὸ ἄγημα.* III, 17, 4 *ἀναλαβὼν τοὺς σωματοφύλακας.* III, 18, 2 *τοὺς Μακεδόνας ἀναλαβών.* IV, 30, 6 *ἀναλαβὼν ἐς ἑπτακοσίους.* Cum nostro loco conferri potest, si codici F. fides est habenda, IV, 28, 13 *αὐτὸς δὲ τοὺς τοξότας τε λαβών.* Nimirum *λαβεῖν* est *eligere* s. *sibi sumere.* Sic dixit Arr. II, 23, 3 *καὶ τὴν μὲν μίαν τῶν νεῶν οἱ ὑπασπισταὶ ἔλαβον.* Xen. Cyrop. I, 4, 25 *οὓς αὐτὸς ἐπεθύμει λαβεῖν.* Hist. Gr. V, 2, 25 *λαβὼν αὐτοὺς ἐπορεύετο.*

τὴν τῶν ἑταίρων] Iterum in his verbis glossam videnti Schmiedero assentire non possum. Vide I, 18, 5 *ἀναλαβὼν — τοὺς Θρᾷκας ἱππέας καὶ τῶν ἑταίρων τήν τε βασιλικὴν ἴλην καὶ πρὸς ταύτῃ τρεῖς ἄλλας.* Quem verba *τῶν ἱππέων — τῶν ἑταίρων* offendant, is videat ann. ad IV, 22, 1.

Κάνωβον καὶ κατὰ τὴν λίμνην τὴν Μαρίαν περιπλεύσας ἀποβαίνει ὅπου νῦν Ἀλεξάνδρεια πόλις ᾤκισται, Ἀλεξάνδρου ἐπώνυμος· καὶ ἔδοξεν αὐτῷ ὁ χῶρος κάλλιστος κτίσαι ἐν αὐτῷ πόλιν καὶ γενέσθαι ἂν εὐδαίμονα τὴν πό-
8 λιν. Πόθος οὖν λαμβάνει αὐτὸν τοῦ ἔργου, καὶ αὐτὸς τὰ σημεῖα τῇ πόλει ἔθηκεν, ἵνα τε ἀγορὰν ἐν αὐτῇ δείμασθαι ἔδει, καὶ ἱερὰ ὅσα καὶ θεῶν ὥντινων, τῶν μὲν Ἑλληνικῶν, Ἴσιδος δὲ Αἰγυπτίας, καὶ τὸ τεῖχος ᾗ περιβεβλῆσθαι. Καὶ ἐπὶ τούτοις ἐθύετο καὶ τὰ ἱερὰ καλὰ ἐφαίνετο.

II. Λέγεται δέ τις καὶ τοιόσδε λόγος, οὐκ ἄπιστος ἔμοιγε· ἐθέλειν μὲν Ἀλέξανδρον καταλιπεῖν αὐτὸν τὰ ση-

---

7. *Κάνωβον*] Constans haec est huius nominis forma. Vide Herod. II, 97. Dionys. Perieg. v. 13. Strab. XVII, p. 418, ed. ster. Mehlh. ad Anacr. p. 68. At vide quae de forma *Κάνωπος* statuerunt Etym. M. p. 489, 25. Steph. Byz. s. v. *Κάνωπος*. Eustath. ad Dionys. Perieg. p. 86, ed. Bernh.

ὁ χῶρος — τὴν πόλιν] Similia sunt IV, 1, 3 *ὅ τε γὰρ χῶρος ἐπιτήδειος αὐτῷ ἐφαίνετο αὐξῆσαι τὴν πόλιν — καὶ ἐν καλῷ οἰκισθήσεσθαι — ἐδόκει δ' ἂν καὶ μεγάλη γενέσθαι.* IV, 24, 12 *ὅτι ἐν ἐπικαίρῳ χωρίῳ ἐδόκει ᾠκίσθαι.* VI, 21, 12 *καὶ ἐδόκει ἂν αὐτῷ πόλις ξυνοικισθεῖσα μεγάλη καὶ εὐδαίμων γενέσθαι.* VII, 21, 10 *ἔνθα χῶρον ἐν καλῷ ἰδὼν — πόλιν ἐξῳκοδόμησεν.* — Pro *πόλιν* ed. Bas. *πόλει.*

8. *καὶ ἐπὶ τούτοις ἐθύετο*] Vulcanius: *quumque ea de re sacrum diis faceret.* Quam interpretationem firmant similes locutiones, ut IV, 4, 3 *θυομένῳ ἐπὶ τῇ διαβάσει.* V, 28, 7 *ὅτι ἐπὶ τῇ διαβάσει — ἐθύετο.* VII, 18, 3 *θύεσθαι ἐπὶ τῷ Ἡφαιστίωνι.* Plane geminum est quod legitur apud Xenoph. Anab. III, 5, 18 *ἐπὶ τούτοις ἐθύσαντο*, ubi vide Krueg. Cf. Arr. II, 3, 15 *καὶ ἐπὶ τούτοις ἔθυε.* Possis vero etiam *ἐπὶ τούτοις* interpretari *post haec* (v. ad III, 30, 17). De formula *τὰ ἱερὰ καλὰ γίγνεσθαι* et *καλλιερῆσαι* vid. Valck. ad Herod. VI, 134 et Krueg. ad Xen. Anab. VI, 2, 9.

C. II. *ὅτῳ ἐπιγράψουσιν*] Quae h. l. de origine urbis Alexandriae narrantur, aliter exhibet Stephanus Byzantius s. v. *Ἀλεξάνδρεια,* quamquam addit *ταῦτα καὶ Ἀῤῥιανός.* Neque conveniunt cum Arrianeis quae habent Diod. Sic. XVII, 52. Strab. XVII, p. 425, ed. ster. Plut. vit. Alex. c. XXVI.

2. *ἐπιφρασθέντα*] Recte vertunt: *quendam ex fabris hoc excogi-*

μεῖα τοῦ τειχισμοῦ τοῖς τέκτοσιν, οὐκ εἶναι δὲ ὅτῳ τὴν γῆν ἐπιγράψουσι· τῶν δὴ τεκτόνων τινὰ ἐπιφρασθέντα, 2
ὅσα ἐν τεύχεσιν ἄλφιτα οἱ στρατιῶται ἐκόμιζον ξυναγαγόντα ἐπιβάλλειν τῇ γῇ ἵναπερ ὁ βασιλεὺς ὑφηγεῖτο, καὶ τὸν κύκλον οὕτω περιγραφῆναι τοῦ περιτειχισμοῦ ὅντινα τῇ πόλει ἐποίει. Τοῦτο δὲ ἐπιλεξαμένους τοὺς μάντεις 3
καὶ μάλιστα δὴ Ἀρίστανδρον τὸν Τελμισσέα, ὃς δὴ πολλὰ μὲν καὶ ἄλλα ἀληθεῦσαι ἐλέγετο, Ἀλεξάνδρῳ φάναι, εὐδαίμονα ἔσεσθαι τὴν πόλιν τά τε ἄλλα καὶ τῶν ἐκ γῆς καρπῶν εἵνεκα. Ἐν τούτῳ δὴ καὶ Ἡγέλοχος κατέπλευσεν 4
εἰς Αἴγυπτον καὶ ἀπαγγέλλει Ἀλεξάνδρῳ Τενεδίους τε ἀποστάντας Περσῶν σφίσι προσθέσθαι (καὶ γὰρ καὶ ἄκον-

---

tasse, ut — adspergeret. Verbum ἐπιφράζεσθαι eiusque significationem, ut plura alia, Arrianus mutuatus fortasse est ab Herodoto, qui scripsit IV, 200 τὰ μὲν ὀρύγματα ἀνὴρ χαλκεὺς ἀνεῦρε, ὧδε ἐπιφρασθείς, et VI, 133 τοῦτο ἐμηχανῶντο, ἄλλα τε ἐπιφραζόμενοι καὶ τῇ μάλιστα ἔσκε. Uterque ex Homero, ut ex communi omnium fonte hausisse possunt. Hic enim dixit Il. II, 282 μῦθον ἀκούσειαν καὶ ἐπιφρασσαίατο βουλήν. XIII, 741 πᾶσαν ἐπιφρασσαίμεθα βουλήν. Ex Arriano unum tantum afferre possum nostro similem locum, IV, 8, 2 ἐξότου δὴ ἐπιφρασθέντα τοῖν Διοσκούροιν τὴν θυσίαν. Alias enim ἐπιφράζεσθαι apud eum est *videre, cognoscere,* ut Hist. Ind. V, 11 καί τι καὶ ἄντρον ἐπιφρασθέντες ἐν Παραπαμισάδεσι; vel *coniicere,* ut l. l. XXVII, 8 καὶ Νέαρχος ἐπιφρασθεὶς ὅτι σπείρεσθαι τὴν χώραν εἰκός, λέγει. Ibidem XXXIV, 9 Ἀρχίης δὲ ἐπιφρασθεὶς λέγει πρὸς Νέαρχον, hic videtur loci sensus esse: *Archias, cum rem perpendisset, dixit.*

3. εἵνεκα] Haec forma ter recurrit apud Arrianum, III, 26, 1 τῆς τε φιλίας εἵνεκα. VII, 17, 6 τούτων δὴ εἵνεκα. VII, 22, 6 τῆς προθυμίας εἵνεκα. De formis ἕνεκα et οὕνεκα vide ann. ad I, 12, 17.

4. ἐν τούτῳ δὴ] Ed. Bas. ἐν τούτῳ δέ, quod nescio an verius sit. Confer, si tanti est, I, 7, 1. I, 18, 1. III, 25, 5. III, 28, 6. IV, 7, 2. V, 13, 3. V, 29, 6. VI, 14, 1. VII, 4, 1. De δέ et δή in simm. formulis vide ann. ad I, 15, 8. I, 27, 10. V, 9, 2.

καὶ γὰρ καὶ ἄκοντας] Sic cod. F. et ex eo Schmiederus. καὶ γὰρ ἄκοντας rell. codd. cum edd. vett. At vide I, 7, 3. II, 3, 15. III, 8, 12. IV, 8, 3. V, 4, 13. V, 20, 17. VI, 3, 8. VI, 20, 2. VII, 5, 9. VII, 24, 4. Ceterum vide quae dicta sunt ad I, 20, 9. III, 7, 2. IV, 8, 11. — Mox pro Χίων ed. Bas. Χῖον.

τας Πέρσαις προσχωρῆσαι), καὶ Χίων ὅτι δὴ ὁ δῆμος ἐπηγάγετο σφᾶς βίᾳ τῶν κατεχόντων τὴν πόλιν οὓς Αὐ-
5 τοφραδάτης τε καὶ Φαρνάβαζος ἐγκατέστησαν· ἁλῶναι δὲ αὐτόθι καὶ Φαρνάβαζον ἐγκαταλειφθέντα καὶ Ἀριστόνικον Μηθυμναῖον τὸν τύραννον, ἐσπλεύσαντα ἐς τὸν λιμένα τῆς Χίου ξὺν ἡμιολίαις λῃστρικαῖς πέντε, ὑπὸ σφῶν ἐχόμενον τὸν λιμένα οὐ γνόντα, ἀλλ᾽ ἐξαπατηθέντα γὰρ πρὸς τῶν τὰ κλεῖθρα ἐχόντων τοῦ λιμένος, ὅτι τὸ Φαρναβάζου ἄρα
6 ναυτικὸν ὁρμεῖ ἐν αὐτῷ. Καὶ τοὺς μὲν λῃστὰς πάντας αὐτοῦ κατακοπῆναι πρὸς σφῶν. Ἀριστόνικον δὲ ἦγε παρ᾽

ὅτι δὴ ὁ δῆμος] Particula δή, quam firmant codd. Gronovii et edd. Vulc. Blanc., in ed. Bas. omissa est. Cf. V, 14, 10 οὐδὲ γὰρ εἰκὸς — ἀκούσαντα, ὅτι δὴ ἢ αὐτὸς — διαβέβηκε.

5. Μηθυμναῖον τὸν τύραννον] Schmiederus coniecit Μηθυμναίων, allato Curtii loco IV, 8, 11 *tyrannos, inter eos Methymnaeorum Aristonicum et Chrysolaum.* Sed, puto, Arrianus si id voluisset, quod Schmiedero placuit, scripsisset τὸν Μηθυμναῖον s. Μηθυμναίων τύραννον, ut Plut. Philop. c. 1 Νικοκλέα τὸν Σικυώνιον τύραννον, ubi Corayo scribendum videbatur τὸν Σικυωνίων τύραννον, de qua scripturae diversitate vide ad III, 30, 12.

ἡμιολίαις λῃστρικαῖς] Eandem adiectivi formam vide IV, 5, 1, de qua consule Goell. ad Thucyd. I, 4 et qui instar omnium est Lob. ad Phryn. p. 242. — Pro γνόντα ed. Bas. γνῶντα.

6. καὶ Φισινόν] Ed. Bas. Φύσινον. — Infra eadem τῆς νόσου.

7. ὁμολογίᾳ] Ed. Bas. ὁμολογείᾳ. Praeterea nota frequentissimum substantivi ὁμολογία apud Arrianum usum. Sic dixit ὁμολογίᾳ προσαγαγέσθαι I, 24, 7. I, 28, 12. ὁμολογίᾳ παραστήσασθαι II, 5, 7. II, 20, 6. IV, 22, 10. IV, 28, 10. ἐς ὁμολογίαν ξυμβαίνειν II, 4, 1. ὁμολογίᾳ ἐνδοῦναι II, 15, 8. IV, 23, 9. VI, 4, 3. ὁμολογίᾳ et καθ᾽ ὁμολογίαν προσχωρῆσαι IV, 16, 3. V, 20, 5. V, 21, 10. V, 22, 5. ὁμολογίας ποιεῖσθαι II, 1, 6. III, 23, 15. Inde etiam ὁμολογίᾳ s. ὁμολογίαις et βίᾳ opposita reperiuntur, ut II, 5, 7. IV, 16, 3. IV, 22, 10. VI, 4, 3. Et in omnibus locis illi substantivo una eademque est significatio *compositionis, pactionis.* Num etiam huius vocis usum debuit Arrianus Herodoto? Vide Lex. Herod. s. v. — Supra pro ἀφείλετο ed. Basil. ἀφήλετο. — De formis Μιτυλήνη et Μυτιλήνη vide Villois. ad Longi Pastorall. p. 10.

8. Ἀμφοτερόν] Ed. Bas. ἀμφοτέρους, ut mox infra ἀμφοτέρου.

Ἀλέξανδρον καὶ Ἀπολλωνίδην τὸν Χῖον καὶ Φισινὸν καὶ Μεγαρέα καὶ τοὺς ἄλλους ὅσοι τῆς τε ἀποστάσεως τῆς Χίων ξυνεπελάβοντο καὶ ἐν τῷ τότε τὰ πράγματα τῆς νήσου βίᾳ εἶχον. Καὶ Μιτυλήνην δὲ Χάρητα ἔχοντα ὅτι 7
ἀφείλετο καὶ τὰς ἄλλας τὰς ἐν Λέσβῳ πόλεις καὶ αὐτὰς ὁμολογίᾳ προσηγάγετο. Ἀμφοτερὸν δὲ ξὺν ἑξήκοντα ναυ- 8
σὶν ἐπὶ Κῶ ἔπεμψεν· ἐπικαλεῖσθαι γὰρ σφᾶς τοὺς Κώους, καὶ αὐτὸς καταπλεύσας ὅτι εὗρε τὴν Κῶ πρὸς Ἀμφοτεροῦ ἤδη ἐχομένην· καὶ τοὺς μὲν ἄλλους ὅσοι αἰχμάλωτοι, ἦγεν Ἡγέλοχος· Φαρνάβαζος δὲ ἀπέδρα ἐς Κῶ λαθὼν

ἀπέδρα ἐς Κῶ] Quomodo differant *ἀποδρᾶναι* et *ἀποφυγεῖν* a Raphelio ad h. l. iam indicatum paulo accuratius explicatum est ab Heindorfio ad Plat. Phaedon. p. 99, A. — Pro *ἐς Κῶ* in edd. Venet. et Basil. legitur *ἐν Κῷ*. »Quod praeferrem, si Gronovius codices quosdam consentire notasset.« *Schmied.* Sic scribi potuisse ab Arriano non negaverim; sed ab eo sic scriptum esse haud ita verisimile est. Quae vulgo afferuntur exempla, ubi *ἐν* pro *εἰς* dictum existimant, ea prorsus alius sunt generis. Sic dixit Arrianus I, 8, 14 *ἔκτεινον τοὺς μὲν ἐν ταῖς οἰκίαις ἐπεισπίπτοντες.* Ibi autem *ἐν ταῖς οἰκίαις* referatur necesse est ad *ἔκτεινον*. Cf. I, 19, 4 *ῥιπτοῦντες σφᾶς ἐν τῇ θαλάττῃ ἐς νησῖδα διενήχοντο.* IV, 27, 13 *ἐν τῇ πόλει ξυμφυγόντες βεβαιότερον ἤδη εἴργοντο τῆς χώρας.* VI, 25, 7 *οἱ πολλοὶ δὲ ὥσπερ ἐν πελάγει ἐκπεσόντες τῇ ψάμμῳ ἀπώλοντο.* Similia etiam sunt ubi interposito participio orationis series interrumpitur. III, 18, 10 *τὴν πρώτην φυλακὴν ἐπιπεσὼν διέφθειρε*, ubi cave accusativum putes pendere ab *ἐπιπεσών*, quod semper cum dativo construitur, ut III, 17, 5. VI, 6, 5. Adde VI, 23, 9 *ὅσα ἐκ τῆς χώρας ἐπιδραμὼν ξυναγαγεῖν ἠδυνήθη.* Neque aliter habent quae ab aliis ad alios scriptores citantur, velut Thucyd. VII, 87 *ἐν τοιούτῳ χωρίῳ ἐμπεπτωκότας κακοπαθῆσαι.* Xen. Hist. Gr. II, 2, 3 *ἐν δὲ ταῖς Ἀθήναις τῆς Παράλου ἀφικομένης — ἐλέγετο ἡ ξυμφορά.* IV, 5, 5 *οἱ δ' ἐν τῷ Ἡραίῳ καταπεφευγότες ἐξῄεσαν.* Vide Popp. proll. I, p. 178. Goell. ad Thuc. IV, 14. Abresch. ad Xen. Ephes. p. 205. Heind. ad Plat. Sophist. p. 260, C. Participio praecedente s. in genitivis quos vocant absolutis vix puto ullum illius constructionis exemplum repertum iri. Sic Arr. I, 5, 14 *πολλῶν μὲν ἐς αὐτὴν — ξυμπεφευγότων.* VI, 6, 9 *καὶ οἱ ξυμφυγόντες ἐς αὐτὴν πάντες ἀπέθανον* et passim alibi. Quod scripsit IV, 30, 14 *ὅτι οἱ Ἰνδοὶ παρὰ Ἀβισάρῃ ἀποπεφευγότες εἶεν*, idem est, ac si legeretur *ὅτι οἱ Ἰνδοὶ ἀποπεφευγότες, παρὰ Ἀβισάρῃ εἶεν.*

9 τοὺς φύλακας. Ἀλέξανδρος δὲ τοὺς τυράννους μὲν τοὺς ἐκ τῶν πόλεων ἐς τὰς πόλεις πέμπει χρήσασθαι ὅπως ἐθέλοιεν· τοὺς δὲ ἀμφ᾽ Ἀπολλωνίδην τοὺς Χίους ἐς Ἐλεφαντίνην πόλιν Αἰγυπτίαν ξὺν φυλακῇ ἀκριβεῖ ἔπεμψεν.

III. Ἐπὶ τούτοις δὲ πόθος λαμβάνει αὐτὸν ἐλθεῖν παρ᾽ Ἄμμωνα ἐς Λιβύην, τὸ μέν τι τῷ θεῷ χρησόμενον, ὅτι ἀτρεκὲς ἐλέγετο εἶναι τὸ μαντεῖον τοῦ Ἄμμωνος καὶ χρήσασθαι αὐτῷ Περσέα καὶ Ἡρακλέα, τὸν μὲν ἐπὶ τὴν Γοργόνα ὅτε πρὸς Πολυδέκτου ἐστέλλετο, τὸν δὲ ὅτε παρ᾽ Ἀνταῖον ᾔει εἰς Λιβύην καὶ παρὰ Βούσιριν εἰς Αἴγυ-
2 πτον. Ἀλεξάνδρῳ δὲ φιλοτιμία ἦν πρὸς Περσέα καὶ Ἡρα-
3 κλέα, ἀπὸ γένους τε ὄντι τοῦ ἀμφοῖν. Καί τι καὶ αὐτὸς τῆς γενέσεως τῆς ἑαυτοῦ ἐς Ἄμμωνα ἀνέφερε, καθάπερ οἱ μῦθοι τῆς Ἡρακλέους τε καὶ Περσέως ἐς Δία.

---

9. *τοὺς δὲ — τοὺς Χίους*] Sic recte omnes codd. Gron. et ed. Basil. (in qua tamen *ἀμφὶ Ἀπολλωνίδην*). In edd. Vulc. et Blanc. minus apte *τοὺς δὲ — τὸν Χῖον*.

C. III. *ὅτε παρ᾽ Ἀνταῖον ᾔει*] Sic recte Gronovius. Edd. ante Gronovium omnes et post eum Borheckius et Schmiederus *ὅτι — ᾔει*, quod ferri non potest. Eandem Schmiederi negligentiam animadvertimus VI, 30, 1.

3. *καί τι καί*] Haec referenda sunt ad ea quae in initio capitis posita sunt *τὸ μέν τι*. Quamquam *καί* proprie pertinet ad praegressum *ἀπὸ γένους τε*. Vide ann. ad II, 24, 1. Ceterum conferas II, 10, 9 *τῶν μὲν — τῶν δέ —· καί τι καὶ τοῖς γένεσι — φιλοτιμίας ἐνέπεσεν ἐς ἀλλήλους*.

4. *τὰ αὐτοῦ*] Ed. Bas. ex solenni errore *τὰ αὐτοῦ*.

6. *ἐς τὴν μεσόγαιαν*] Constans est haec forma apud Arrianum, ut VI, 26, 13. Hist. Ind. XXII, 2 et passim alibi. Multis de hac re verbis abuti vetat admirabilis sagacitas et diligentia cl. Lobeckii ad Phryn. p. 298.

ἐτράπετο] Ed. Basil. *ἐτρέπετο*. Minus apte. II, 11, 9 *ἐς τὸ διώκειν ἐτράπετο*. III, 15, 7 *ἀποτραπόμενος*. IV, 17, 6 *ὡς ἐπὶ Κοῖνον ἐτράποντο*. IV, 30, 7 *καὶ οὗτοι ἐπὶ τοὺς ἀποχωροῦντας τραπόμενοι — ἀπέκτειναν*. VI, 21, 6 *ὡς ἐπὶ τὴν θάλασσαν — ἐτράπετο*. VI, 21, 10 *ὅσοι ἐς ἀλκὴν ἐτράποντο*. Hist. Ind. XXI, 12 *μὴ ἐφ᾽ ἁρπαγὴν τραποίατο*. Simul hic moneo, aoristum pass. saepius apud Arrianum reperiri, quam aoristum medii, ita ut in eo

Καὶ οὖν παρ' Ἄμμωνα ταύτῃ τῇ γνώμῃ ἐστέλλετο, ὡς 4
καὶ τὰ αὑτοῦ ἀτρεκέστερον εἰσόμενος ἢ φήσων γε ἐγνω-
κέναι. Μέχρι μὲν δὴ Παραιτονίου παρὰ θάλασσαν ἤει 5
δι' ἐρήμου, οὐ μέντοι δι' ἀνύδρου τῆς χώρας, σταδίους
ἐς χιλίους καὶ ἑξακοσίους, ὡς λέγει Ἀριστόβουλος. Ἐν- 6
τεῦθεν δὲ ἐς τὴν μεσόγαιαν ἐτράπετο ἵνα τὸ μαντεῖον ἦν
τοῦ Ἄμμωνος. Ἔστι δὲ ἐρήμη τε ἡ ὁδὸς καὶ ψάμμος ἡ
πολλὴ αὐτῆς καὶ ἄνυδρος. Ὕδωρ δὲ ἐξ οὐρανοῦ Ἀλεξ-
άνδρῳ πολὺ ἐγένετο, καὶ τοῦτο ἐς τὸ θεῖον ἀνηνέχθη.
Ἀνηνέχθη δὲ ἐς τὸ θεῖον καὶ τόδε· ἄνεμος νότος ἐπὰν 7
πνεύσῃ ἐν ἐκείνῳ τῷ χώρῳ, τῆς ψάμμου ἐπιφορεῖ κατὰ
τῆς ὁδοῦ ἐπὶ μέγα, καὶ ἀφανίζεται τῆς ὁδοῦ τὰ σημεῖα
οὐδὲ ἔστιν εἰδέναι ἵνα χρὴ πορεύεσθαι καθάπερ ἐν πε-
λάγει τῇ ψάμμῳ, ὅτι σημεῖα οὐκ ἔστι κατὰ τὴν ὁδὸν,

---

modo insit vis passivi, modo medii. Vide I, 2, 11 *τότε δὴ ἐτράπησαν διὰ τοῦ νάπους ἐς τὸν ποταμόν.* I, 16, 3 *ὅτε ἐξετράπη Ἀλέξανδρος.* II, 4, 7 *μὴ ἐφ' ἁρπαγὴν τραπεὶς οὕτω τὴν ἀπόλειψιν ποιήσηται.* III, 21, 7 *ἐκτραπέντες ἔξω τῆς λεωφόρου.* III, 21, 14 *οἱ τραπέντες ἐς ἀλκήν.* IV, 2, 9 *ἐς φυγὴν τραπέντες.* IV, 3, 6 *οἱ βάρβαροι — ἐπὶ τοὺς ἀμφ' Ἀλέξανδρον — ἐτράπησαν.* V, 14, 6 *καὶ τραπῆναι αὐτοὺς — πληγὰς λαμβάνοντας.* VI, 24, 6 *λέγει Νέαρχος ταύτην τραπῆναι Ἀλέξανδρον.* VI, 26, 3 *κατὰ ζήτησιν ὕδατος ἀποτραπέντες.* Ex quibus exemplis apertum fit, *τραπῆναι* cum compositis haud raro poni, ubi *τραπέσθαι* locum habere possit, nunquam autem *τραπέσθαι* pro *τραπῆναι* ab Arriano scriptum esse. Aoristum pass. primum Arrianus non usurpavit; Xenophon bis terve, Hist. Gr. III, 4, 14. III, 5, 20. Ceterum confer quae dixit Sieb. ad Paus. III, 20, 3. Poppo in dissert. de verbis depp. et medd. inserta diar. phil. et paed. a Seebodio ed. 1829, p. 227.

7. *ἀνηνέχθη δέ*] Similem verborum compositionem vide I, 16, 10 *τοὺς ἡγεμόνας ἔθαψεν· ἔθαψε δὲ καί.* III, 5, 7 *νόσῳ ἀπέθανεν· ἀπέθανε δὲ καί.* — Mox pro vulgato *ἄνεμος νότος* apud Schmied. legitur *ἄνεμος νότος*, non nisi ex typothetae errore, quamvis haec scriptura defendi possit. At vid. II, 22, 8 *τὸ πρὸς νότον ἄνεμον.* V, 6, 1 *πρὸς νότον ἄνεμον*, et mox ibid. *ἄνεμον βοῤῥᾶν.* V, 6, 4 *πρὸς ἄνεμον Ἰάπυγα.* V, 26, 5 *ὡς ἐπὶ βοῤῥᾶν ἄνεμον.* Hist. Ind. II, 7 *πρὸς νότον ἄνεμον.*

ἐν πελάγει — τῇ ψάμμῳ] h. e. *ἐν τῇ ψάμμῳ.* Plane geminum

οὔτε που ὄρος, οὔτε δένδρον, οὔτε γήλοφοι βέβαιοι ἀνεστη-
κότες, οἷστισιν οἱ ὁδῖται τεκμαίροιντο ἂν τὴν πορείαν, καθά-
8 περ οἱ ναῦται τοῖς ἄστροις. Ἀλλ' ἐπλανᾶτο γὰρ ἡ στρατιὰ
Ἀλεξάνδρῳ καὶ οἱ ἡγεμόνες τῆς ὁδοῦ ἀμφίβολοι ἦσαν.
9 Πτολεμαῖος μὲν δὴ ὁ Λάγου λέγει δράκοντας δύο ἰέναι
πρὸ τοῦ στρατεύματος φωνὴν ἱέντας, καὶ τούτοις Ἀλέξ-
ανδρον κελεῦσαι ἕπεσθαι τοὺς ἡγεμόνας πιστεύσαντας τῷ
θείῳ· τοὺς δὲ ἡγήσασθαι τὴν ὁδὸν τήν τε ἐς τὸ μαντεῖον

---

est VI, 25, 7 οἱ πολλοὶ δὲ ὥσπερ ἐν πελάγει ἐκπεσόντες τῇ ψάμμῳ ἀπώλοντο. Plut. Lycurg. c. XXIV οἷον ἐν στρατοπέδῳ τῇ πόλει δίαιταν ἔχοντες. Ciceron. c. VI καθάπερ ἐς πέλαγος ἀχανὲς τὴν πόλιν ἐμπεσών. Vide ann. ad V, 17, 3. — Infra omnes edd. praeter Vulcan. ὁδῖται.

8. ἀλλ' ἐπλανᾶτο γάρ] Ed. Bas. ἀλλὰ ἐπλανᾶτο. Aeque recte, quantum hodie de talibus iudicari potest. II, 6, 7 ἀλλ' ὀκνεῖν γάρ. V, 10, 3 ἀλλ' ἐκπηδᾶν γάρ. VII, 2, 3 ἀλλ' ἐκ δόξης γάρ. Contra I, 21, 8 ἀλλὰ ἔφθησαν γάρ. VI, 8, 12 ἀλλὰ ἀναπηδᾶν γάρ. V, 18, 7 ἀλλὰ ἔστε γάρ. VII, 6, 6 ἀλλὰ ἐπαυξηθέντος γάρ. VII, 17, 9 ἀλλὰ οὐ γὰρ δυνηθῆναι.

Ἀλεξάνδρῳ] Ed. Basil. Ἀλεξάνδρου, fortasse ex coniectura editoris, qui dativi rationem non intellexit. Pertinet enim hic dativus ad ἐπλανᾶτο. Cf. I, 16, 2 ὡς δὲ τὸ μέσον ἐνδεδώκει αὐτοῖς. V, 25, 5 πρὶν προελθεῖν τὴν ταραχὴν τοῖς στρατιώταις. Nec multum distat quod legitur VII, 16, 7 ἔχει δὲ τὸ ἔπος Εὐριπίδῃ ὧδε. V. Bernh. Wiss. Synt. p. 80.

τῆς ὁδοῦ ἀμφίβολοι ἦσαν] Sic codd. Gronovii omnes, sic quoque edd. praeter Basil., in qua est τῆς ὁδοῦ, ἀμφιβόλου οὔσης, *cum via incerta esset.* At vide quae de significatione adiectivi ἀμφίβολος diximus ad II, 23, 5.

10. προπετωμένους πρὸ τῆς στρατιᾶς] Nescio quo errore apud Vulcanium, indeque apud Blanc. exciderit praepositio πρό. Omnes enim codd. itemque edd. Venet. et Basil. eam tuentur. Conferri iussit Gronovius II, 26, 7 ὑπερπετομένους ὑπὲρ τοῦ βωμοῦ. Potuit plura eaque memoratu digniora repetitae praepositionis exempla adscribere, ut I, 15, 10 πρὸ τῶν ἄλλων προϊππεύοντα. V, 15, 1 προπορεύεσθαι πρὸ τοῦ ἄλλου στρατοῦ. Cf. ann. ad I, 20, 6 et V, 5, 3.

γενέσθαι Ἀλεξάνδρῳ τοὺς ἡγεμόνας] Ed. Bas. Ἀλεξάνδρου, minus apte. VII, 5, 6 λέγεται δὲ γενέσθαι ἡ δόσις αὕτη τῇ στρατιᾷ. Vid. ad II, 10, 1. Cum scriptura vulgata noli comparare III, 29,

καὶ ὀπίσω αὖθις. Ἀριστόβουλος δὲ, καὶ ὁ πλείων λόγος 10
ταύτῃ κατέχει, κόρακας δύο προπετωμένους πρὸ τῆς στρατιᾶς τούτους γενέσθαι Ἀλεξάνδρῳ τοὺς ἡγεμόνας. Καὶ 11
ὅτι μὲν θεῖόν τι ξυνεπέλαβεν αὐτῷ, ἔχω ἰσχυρίσασθαι ὅτι καὶ τὸ εἰκὸς ταύτῃ ἔχει· τὸ δὲ ἀτρεκὲς τοῦ λόγου ἀφείλοντο οἱ ἄλλῃ καὶ ἄλλῃ ὑπὲρ αὐτοῦ ἐξηγησάμενοι.

IV. Ὁ δὲ χῶρος ἵναπερ τοῦ Ἄμμωνος τὸ ἱερόν ἐστι, τὰ μὲν κύκλῳ πάντα ἔρημα καὶ ψάμμον τὸ πᾶν ἔχει καὶ

---

12 εἰ πεμφθείη αὐτοῖς καὶ ὀλίγη στρατιὰ καὶ ἡγεμὼν τῇ στρατιᾷ. De huius dativi ratione consule ann. ad VI, 3, 5.

11. ὑπὲρ αὐτοῦ ἐξηγησάμενοι] Sic codd. Gronovii. αὐτὸ ἐξηγησάμενοι edd. vett. Qui ita scripsere, duplici verbi ἐξηγεῖσθαι significatione decepti sunt. Cum nudo accusativo constructum est *interpretari aliquid*, ut I, 18, 15 τὸ θεῖον δὲ αὐτὸς ἄλλῃ ἐξηγεῖσθαι. II, 18, 2 καὶ τοῦτο ἐξηγεῖτο Ἀρίστανδρος. IV, 15, 14 ἔθυεν ἐπὶ τῷ φάσματι ὅσα οἱ μάντεις ἐξηγοῦντο. VII, 12, 9 τὰ βασιλικὰ πράγματα ὅσῳ ἐπικρύπτεται, τοσῷδε φιλοτιμότερον ἐξηγούμενος. Hist. Ind. I, 7 καὶ ἐξηγείσθων αὐτὰ οἱ λόγιοι Ἑλλήνων. Sin autem significationem habet *narrandi*, genitivum addita praepositione ὑπέρ s. περί adsciscit, ut ἀφηγεῖσθαι, quod vide IV, 14, 7 πολλὰ δὲ καὶ ἄλλα ὑπὲρ τούτων αὐτῶν ἄλλοι ἄλλως ἀφηγήσαντο. Alterum verbi ἐξηγεῖσθαι sic constructi exemplum non exstat apud Arrianum, unde conferas interim Xenoph. rpbl. Laced. II, 1 ἐπεὶ καὶ περὶ γενέσεως ἐξήγημαι. Fortasse tamen Arrianus scripsit αὐτὸν ἐξηγησάμενοι, ut loci sensus hic sit: *veritatem autem huius narrationis obscurarunt qui eam alii aliter interpretarentur.*

C. IV. ὁ δὲ χῶρος οὗτος — καὶ ἄνυδρον] Locus hic, si non corruptus, tamen paulo perversior varie tentatus est ab interpretibus. In edd. Venet. Basil. et Vulc. legitur καὶ ψάμμος τὸ πᾶν ἔχει, καὶ ἄνυδρος. Αὐτὸς δέ. Atque huic scripturae favent tres codd. Gronovii. In cod. F., uno altero cod. Gron. et V. C. Vulcanii pro ψάμμος vidit Gronovius ψάμμον. Unde Schmiederus nesciens quomodo haec locutio esset explicanda, coniecit ψάμμον ἔχει καὶ ἄνυδρον αὐτήν. Ὁ δὲ —· Haec, quamquam non contemnenda, tamen tam remota sunt a codicum et editionum veterum scriptura, ut iam propterea reiicienda videantur. Accedit quod ἄνυδρος ad χῶρος longe aptius referatur, quam ad ψάμμος, ut III, 5, 3 δι᾽ ἀνύδρου τῆς χώρας; et mox ibid. ἔστι δὲ ἐρήμη τε ἡ ὁδὸς καὶ ψάμμος ἡ πολλὴ αὐτῆς καὶ ἄνυδρος. Herod. III, 5 — χωρίον — ἄνυδρόν ἐστι δεινῶς. Sed ad ἄνυδρος tum necesse est cogitando addatur

2 ἄνυδρον. Αὐτὸς δὲ ἐν μέσῳ ὀλίγος ὢν (ὅσον γὰρ πλεῖστον
αὐτοῦ ἐς πλάτος διέχει, ἐς τεσσαράκοντα μάλιστα στα-
δίους ἔρχεται) κατάπλεώς ἐστιν ἡμέρων δένδρων, ἐλαιῶν
3 καὶ φοινίκων, καὶ ἔνδροσος μόνος τῶν πέριξ. Καὶ πηγὴ
ἐξ αὐτοῦ ἀνίσχει οὐδέν τι ἐοικυῖα ταῖς πηγαῖς ὅσαι ἄλλαι
4 ἐκ γῆς ἀνίσχουσιν. Ἐν μὲν γὰρ μεσημβρίᾳ ψυχρὸν τὸ
ὕδωρ γευσαμένῳ τε καὶ ἔτι μᾶλλον ἁψαμένῳ οἷον ψυχρό-
τατον· ἐγκλίναντος δὲ τοῦ ἡλίου ἐς ἑσπέραν, θερμότερον,
καὶ ἀπὸ τῆς ἑσπέρας ἔτι θερμότερον ἔστε ἐπὶ μέσας τὰς
νύκτας· μέσων δὲ νυκτῶν ἑαυτοῦ θερμότατον· ἀπὸ δὲ
μέσων νυκτῶν ψύχεται ἐν τάξει· καὶ ἕωθεν ψυχρὸν ἤδη
ἐστί· ψυχρότατον δὲ μεσημβρίας· καὶ οὕτω ἀμείβει ἐν
5 τάξει ἐπὶ ἑκάστῃ τῇ ἡμέρᾳ. Γίγνονται δὲ καὶ ἅλες αὐ-
τόματοι ἐν τῷ χωρίῳ τούτῳ ὀρυκτοί· καὶ τούτων ἔστιν
οὓς ἐς Αἴγυπτον φέρουσι τῶν ἱερέων τινὲς τοῦ Ἄμμωνος.

---

verbum substantivum; id quod paulo durius est. Igitur dedi καὶ ἄνυδρον sc. γῆν. Αὐτὸς δέ. Sensus loci tum hic est: *Regio in qua situm est Ammonis templum, ex omni parte solitudines continet atque omnino arenas et terram aqua destitutam.* Αὐτὸς δέ initio periodi positum ne offendat, comparetur VI, 4, 3 αὐτὸς δὲ ἔπλει, et ann. ad IV, 4, 9.

2. ἐς τεσσαράκοντα] In edd. Vulc. et Blanc. vidimus ἐς τεσσαράκοντα δέ. Sed ignorant particulam adversativam codd. Gronovii omnes, C. V. Vulc. et ed. Bas.

4. οἷον ψυχρότατον] Ed. Basil. ψυχρότητα. Vide quae de harum formarum confusione diximus ad II, 16, 2. — Statim in eadem legitur ἐγκλείναντος.

ἑαυτοῦ θερμότατον] Ed. Bas., ut supra, θερμότητα. Ad verborum constructionem confer V, 4, 5 ἵνα στενώτατος αὐτὸς αὑτοῦ. VI, 18, 11 ἧπερ εὐρύτατος αὐτὸς αὑτοῦ ἦν. Hist. Ind. IV, 7 ἔνθαπερ αὐτὸς ἑωυτοῦ στενώτατος. - X, 6 ἵναπερ μακροτάτη αὐτὴ ἑωυτῆς ᾤκισται. Plane ut dixit Herod. I, 203 τῇ εὐρυτάτη ἐστὶ αὐτὴ ἑωυτῆς. Vide Wessel. ad Herod. I, 193. Math. Gr. Gr. ub. p. 857.

καὶ οὕτω ἀμείβει ἐν τάξει] Edd. Basil. Vulc. Blanc. voces ἐν τάξει non habent, quamvis tueantur eas omnes codd. Gronovii et V. C. Vulcanii. Deinde pro οὕτω, quod ex coniectura Gronovii primus dedit Schmiederus, quattuor codd. Gron. et edd. vett. praebent τούτῳ, unus qui reliquus est, τοῦτο δή. Denique pro ἀμείβει

Ἐπειδὴ γὰρ ἐπ᾽ Αἴγυπτον στέλλονται, ἐς κοιτίδας πλε- 6
κτὰς ἐκ φοίνικος ἐσβαλόντες δῶρον τῷ βασιλεῖ ἀποφέ-
ρουσιν ἢ εἴ τῳ ἄλλῳ. Ἔστι δὲ μακρός τε ὁ χόνδρος, καὶ 7
ἤδη τινὲς αὐτῶν καὶ ὑπὲρ τρεῖς δακτύλους, καὶ καθαρὸς
ὥσπερ κρύσταλλος· καὶ τούτῳ ἐπὶ ταῖς θυσίαις χρῶνται
ὡς καθαρωτέρῳ τῶν ἀπὸ θαλάσσης ἁλῶν Αἰγύπτιοί τε
καὶ ὅσοι ἄλλοι τοῦ θείου οὐκ ἀμελῶς ἔχουσιν. Ἐνταῦθα 8
Ἀλέξανδρος τόν τε χῶρον ἐθαύμασε καὶ τῷ θεῷ ἐχρήσα-
το· καὶ ἀκούσας ὅσα αὐτῷ πρὸς θυμοῦ ἦν, ὡς ἔλεγεν,
ἀνέζευξεν ἐπ᾽ Αἴγυπτον, ὡς μὲν Ἀριστόβουλος λέγει, τὴν
αὐτὴν ὀπίσω ὁδόν, ὡς δὲ Πτολεμαῖος ὁ Λάγου, ἄλλην
εὐθεῖαν ὡς ἐπὶ Μέμφιν.

V. Εἰς Μέμφιν δὲ αὐτῷ πρεσβεῖαί τε πολλαὶ ἐκ τῆς Ἑλλάδος ἧκον, καὶ οὐκ ἔστιν ὅντινα ἀτυχήσαντα ὧν ἐδεῖτο ἀπέπεμψε· καὶ στρατιὰ παραγίνεται παρὰ μὲν Ἀντιπά-

---

in duobus codd. Florr. Gronovius vidit scriptum ἀμοίβοι. Ceterum conferas Hist. Ind. XXIX, 8 ἐπεὶ δὲ ἡ πλημμυρὶς ἐν τάξει ἀμείβουσα ἐπῆλθε. Neque multum distat Hist. Ind. XII, 8 οὐδὲ ἀμείβειν ἐξ ἑτέρου γένους ἐς ἕτερον. — Supra ed. Bas. μεσημβρίαν.

7. καὶ ἤδη τινὲς] Ita cod. F. cum plurr. codd. Gron. ἤδη δέ τινες unus codd. Gron. et V. C. Vulcanii. Minus apte. Hoc enim non reperitur nisi initio enunciati positum, ut IV, 14, 3 ἤδη δέ τινες καὶ τάδε ἀνέγραψαν. V, 21, 10 ἤδη δέ τινας — κατεστρέψατο. VI, 4, 3 ἤδη δέ τινας — βίᾳ κατεστρέψατο. In edd. vett. etiam perversius legitur ἤδη τινὲς αὐτῶν.

ἐπὶ ταῖς θυσίαις χρῶνται] Similiter dixit Xen. Oecon. IX, 6 ἠρχόμεθα δὲ — ἀθροίζοντες οἷς ἀμφὶ θυσίας χρώμεθα. Differunt quae apud Arrianum leguntur II, 21, 9 ἀλύσεσιν εἰς τὰς ἀγκύρας χρώμενοι. V, 27, 12 οὐδὲ γὰρ ὁμοίοις χρήσῃ ἐς τοὺς κινδύνους. Praeterea vide quomodo variavit orationem in his I, 1, 9 χάρακι ἐχρῶντο ταῖς ἁμάξαις et VI, 6, 5 ἀντὶ χάρακος ἐχρήσατο τῇ ἵππῳ.

8. πρὸς θυμοῦ ἦν] Ed. Bas. πρὸς θυμόν. Male. Vide V, 2, 1 πρὸς θυμοῦ ἐγίγνετο ἀκούειν. VII, 12, 15 οὐχ ὡσαύτως εἶναι πρὸς θυμοῦ. Cf. ann. ad IV, 12, 1 et cl. Lob. ad Phryn. p. 10.

C. V. ἀτυχήσαντα] Ed. Bas. εὐτυχήσαντα, inepte. Verbum ἀτυχῆσαι apud Xenophontem satis frequens semel tantum h. l. apud Arrianum reperi. Cf. Lex. apud Beck. Anecdd. p. 462, 3

XVI. *Δαρεῖος μὲν δὴ εὐθὺς ἐκ τῆς μάχης παρὰ τὰ ὄρη τὰ Ἀρμενίων ἤλαυνεν ἐπὶ Μηδίας, καὶ ξὺν αὐτῷ οἵ τε Βάκτριοι οἵ ἐπανεληλυθότι τε ἐν τῇ μάχῃ ξυνετάχθησαν ἔφυγον, καὶ Περσῶν οἵ τε συγγενεῖς οἱ βασιλέως καὶ*
2 *τῶν μηλοφόρων καλουμένων οὐ πολλοί. Προσεγένοντο δὲ αὐτῷ κατὰ τὴν φυγὴν καὶ τῶν μισθοφόρων ξένων ἐς δισχιλίους οὓς Πάρων τε ὁ Φωκεὺς καὶ Γλαῦκος ὁ*
3 *Αἰτωλὸς ἦγον. Ταύτῃ δὲ αὐτῷ ἡ φυγὴ ἐπὶ Μηδίας*

Ἀθηναίοις] Haec est scriptura codd. Gronovii omnium et ed. Bas. Propterea non est audiendus Vulcanius qui primus scripsit *Ἀθήνησι*. Quamquam utrumque in hac dicendi formula Arriano placuisse hi fere testantur loci: I, 1, 1 *ἐπὶ ἄρχοντος Πυθοδήμου Ἀθήνησι*. II, 24, 12 *ἐπὶ ἄρχοντος Ἀνικήτου Ἀθήνησι*. VII, 28, 1 *ἐπὶ Ἡγησίου ἄρχοντος Ἀθήνησι*. II, 11, 14 *ἐπὶ ἄρχοντος Ἀθηναίοις Νικοστράτου*. III, 22, 3 *ἐπὶ ἄρχοντος Ἀθηναίοις Ἀριστοφῶντος*. V, 19, 5 *ἐπὶ ἄρχοντος Ἀθηναίοις Ἡγεμόνος*. Num autem forte tantum factum sit, ut Arrianus formam *Ἀθήνησι* semper fere in fine totius locutionis collocaverit (excipias Hist. Ind. XXI, 1 *ἐπὶ ἄρχοντος Ἀθήνησι Κηφισοδώρου*), formam *Ἀθηναίοις* vero statim post *ἄρχοντος*, id hodie quidem non decernam.

C. XVI. *εὐθὺς ἐκ τῆς μάχης*] Edd. vett. et quattuor cod. Gron. prima voce carent, quam Gronovius inseruit e codice F. Recte, ni fallor. Vide ann. ad II, 22, 2.

καὶ ξὺν αὐτῷ — ἔφυγον] Haec verba quae tum in edd. vett. tum in codd. plurimis male omissa erant, integra reperit Gronovius in cod. F., nisi quod in eo ante *ἐπανεληλυθότι* desiderabatur pronomen relativum, quod ipsum iam Gronovius inseruit. Si quid optandum praeterea sit, malim *ἐπανεληλυθότι αὐτῷ* pro *ἐπαν. τε*, quia nescio quo referendum sit illud *τε*, neque pronomen in tali verborum structura ab Arriano omittitur. Excepto enim uno loco, III, 29, 5, ubi lectio fluctuat, non memini me legere participium absolute positum. Cf. I, 14, 10 *ἵνα δὴ μὴ ἐκβαίνοντι αὐτῷ — προσπίπτοιεν*. I, 17, 6 *σκοποῦντι δὲ αὐτῷ*. I, 25, 1 *ἔτι δὲ αὐτῷ — ὄντι ἐξαγγέλλεται*. III, 22, 5 *ζῶντι μὲν δὴ ξυμφοραὶ αὐτῷ*. V, 21, 10 *προχωροῦντι δὲ αὐτῷ*. V, 28, 7 *θυομένῳ δὲ οὐκ ἐγίγνετο*

ἐγένετο, ὅτι ἐδόκει τὴν ἐπὶ Σούσων τε καὶ Βαβυλῶ-
νος ἥξειν Ἀλέξανδρον ἐκ τῆς μάχης, ὅτι οἰκουμένη τε
ἐκείνη πᾶσα ἦν καὶ ὁδὸς τοῖς σκευοφόροις οὐ χαλεπή,
καὶ ἅμα τοῦ πολέμου τὸ ἆθλον ἡ Βαβυλὼν καὶ τὰ Σοῦσα
ἐφαίνετο, ἡ δὲ ἐπὶ Μηδίας μεγάλῳ στρατεύματι οὐκ εὔ-
πορος. Καὶ οὐκ ἐψεύσθη Δαρεῖος. Ἀλέξανδρος γὰρ ἐξ 4
Ἀρβήλων ὁρμηθεὶς τὴν ἐπὶ Βαβυλῶνος εὐθὺς προὐχώρει,
ἤδη τε οὐ πόῤῥω Βαβυλῶνος ἦν καὶ τὴν δύναμιν ξυντε-
ταγμένην ὡς ἐς μάχην ἦγε· καὶ οἱ Βαβυλώνιοι πανδημεὶ
ἀπήντων αὐτῷ ξὺν ἱερεῦσί τε σφῶν καὶ ἄρχουσι, δῶρά τε ὡς
ἕκαστοι φέροντες καὶ τὴν πόλιν ἐνδιδόντες καὶ τὴν ἄκραν καὶ
τὰ χρήματα. Ἀλέξανδρος δὲ παρελθὼν εἰς τὴν Βαβυλῶνα, 5

αὐτῷ τὰ ἱερά. VI, 16, 2 *αὐτῷ ἐνεδίδοντο ἐπιόντι.* VI, 18, 8 *οὐκ ἔχοντι δὲ αὐτῷ — ἦν.* VII, 15, 4 *κατιόντι δὲ αὐτῷ.* VII, 18, 1 *συνέμιξεν ἐπανιόντι αὐτῷ.* VII, 19, 2 *παρελθόντι δ' αὐτῷ.* Vide tamen vv. ll. apud Xenoph. Cyrop. V, 1, 17; coll. Hist. Gr. III, 2, 25 *διαβαίνοντι δὲ τὸν ποταμὸν προσεχώρουν.*

οὐ πολλοί] Sic omnes codd. Gronovii cum edd. Vulc. Blanc. Gron. Raph. Schmied. *οἱ πολλοί* ed. Bas. cum V. C. Vulcanii.

3. *ὅτι ἐδόκει*] Ed. Bas. *ὅτε.* — Infra in edd. Venet. et Basil. legitur *ἐκείνη καὶ ὁδός*: »quod magis Arrianeum est, et respondet *ἡ δὲ ἐπὶ Μηδίας.* Restituerem, si codices iuvarent.« *Schmied.* Quid sibi his verbis voluerit Schmiederus, alius videat! Equidem ineptum censeo illud sive librariorum sive editorum additamentum.

4. *ἤδη τε — ἦν καί*] cf. V, 16, 7 *ἤδη τε — ἐγίγνετο καὶ ἐφῆκεν.* V, 24, 2 *ἤδη τε ἦν ἀμφὶ τετάρτην φυλακὴν καὶ οἱ βάρβαροι — ἐφέροντο.* VI, 9, 8 *ἤδη τε πρὸς τῇ ἐπάλξει ἦν καὶ — ὤθει.* VI, 27, 2 *ἤδη τε — προὐχώρει καὶ ἀγγέλλεται.* Eadem fere ratione dicitur *ἅμα τε — καί*, ut IV, 29, 4 *ὤφθη τε ἅμα ἡ φλὸξ καὶ Ἀλέξανδρος ἐπῆγε.* VI, 3, 3 *ἅμα τε ἐσημάνθη — καὶ ἀνῆγον.* Pro quo dixit Himerius Ecl. XIX, p. 264 *ὁμοῦ τε εἶδον καὶ ᾔρηντο.* Simile denique est *καί — καί*, ut I, 20, 13 *καὶ ἥ τε τάφρος ἐχώσθη καὶ οἱ πύργοι προσήγοντο.* IV, 29, 13 *καὶ οὗτοι κεκομμένοι ἦσαν καὶ αὐτὸς ἐχώννυεν.* Vide Locell. ad Xen. Ephes. p. 190.

πανδημεὶ ἀπήντων] Sic dixit I, 22, 1 *ἐκδρομὴ γίνεται πανδημεὶ ἐκ τῆς πόλεως.* I, 27, 9 *καὶ τότε οἱ Τελμισσεῖς πανδημεὶ ἐκβεβοηθηκότες.* III, 17, 6 *ἵνα ἀπαντήσεσθαι οἱ Οὔξιοι πανδημεὶ ἐδόκουν.* Pertinet hoc vocabulum inter alia ad delicias Diodori. Vide modo XV, 63, 64, 78, 82. XVI, 39, 72, 85. XVII, 62.

τὰ ἱερὰ ἃ Ξέρξης καθεῖλεν, ἀνοικοδομεῖν προσέταξε Βαβυλωνίοις, τά τε ἄλλα καὶ τοῦ Βήλου τὸ ἱερὸν ὃν μάλι-
6 στα θεῶν τιμῶσι Βαβυλώνιοι. Σατράπην δὲ κατέστησε Βαβυλῶνος Μαζαῖον, Ἀπολλόδωρον δὲ τὸν Ἀμφιπολίτην στρατηγὸν τῶν μετὰ Μαζαίου ὑπολειπομένων στρατιωτῶν, καὶ Ἀσκληπιόδωρον τὸν Φίλωνος τοὺς φόρους ἐκλέ-
7 γειν. Κατέπεμψε δὲ καὶ ἐς Ἀρμενίαν Μιθρίνην σατράπην ὃς τὴν ἐν Σάρδεσιν ἀκρόπολιν Ἀλεξάνδρῳ ἐνέδωκεν.
8 Ἔνθα δὴ καὶ τοῖς Χαλδαίοις ἐνέτυχε καὶ ὅσα ἐδόκει Χαλδαίοις ἀμφὶ τὰ ἱερὰ τὰ ἐν Βαβυλῶνι ἔπραξε, τά τε

τὴν πόλιν ἐνδιδόντες] Ita cod. F. cum C. V. Vulcanii. *ἐκδιδόντες* rell. codd. cum edd. vett. Male. Cf. I, 17, 3 *ἐνδιδόντες οἱ μὲν τὴν πόλιν*. I, 23, 11 *τὰ Ἄλινδα ἐνδιδοῦσα*. II, 13, 11 *καὶ τἄλλα ἐνδίδωσιν*. IV, 19, 7 *ἐνέδοσαν σφᾶς αὐτούς*. V, 21, 4 *αὐτὸν ἐνεδίδου*. VI, 8, 3 *ὅσοι μὴ ἐθελοντὰς σφᾶς ἐνδιδοῖεν*. Vide Duk. ad Thucyd. V, 62. Apud Plut. Alcib. c. XXII recte hodie legitur *οἱ μέλλοντες ἐνδιδόναι τὴν πόλιν*. In var. lect. vero memoratur scriptura *ἐκδιδόναι*.

5. *ἃ Ξέρξης καθεῖλεν*] Ed. Bas. *καθεῖλε*. — Infra eadem minus apte *ὃν μάλιστα θεόν*.

6. *τῶν μετὰ Μαζαίου*] Ed. Bas. *τὸν μετὰ Μαζαῖον*.

τοὺς φόρους ἐκλέγειν] sc. *κατέστησεν*. Verbum *ἐκλέγειν* vero vice fungitur substantivi. Cf. IV, 22, 12 *τῆς πόλεως ἐπιμελεῖσθαι ἐτάχθη*. Vide ann. ad II, 4, 2.

7. *Μιθρίνην ὃς — ἐνέδωκεν*] Vide Arr. I, 17, 3. Diod. Sic. XVII, 21. Unde etiam Diodorus XVII, 64 *Μιθρίνῃ δὲ τῷ παραδόντι τὴν ἐν Σάρδεσιν ἄκραν Ἀρμενίαν ἔδωκεν*. Curt. V, 1, 44 *Armenia Mithreni Sardium proditori data est.*

8. *ἐνέτυχε καὶ ὅσα*] Edd. *ἐνέτυχεν*, ut saepe alibi.

9. *Φιλοξένου ἐπιστολεύς*] Ed. Basil. *ἐπιστολάς*.

10. *ἀνεγέγραπτο*] Haec est scriptura omnium codd. Gronovii, ed. Bas. et V. C. Vulcanii. *ἐνεγέγραπτο* Vulcanius primus ex coniectura, ut videtur. Utramque lectionem habere quo defendatur, nemo non videt. Atque apud Arrianum frustra quaeras geminum exemplum, si excipias IV, 29, 7, ubi tamen pro vulgato *ἵνα ἐνεγέγραπτο* hodie legitur *ἵνα ἐγέγραπτο*. Alias apud eum *ἀναγράψαι* est *adscribere*, ut I, 12, 8 *τὸ μὲν ὄνομα οὐδὲν δέομαι ἀναγράψαι*, vel *describere*, *exponere*, ut II, 12, 12 *καὶ ταῦτα οὔτε ὡς ἀληθῆ οὔτε ὡς πάντῃ ἄπιστα ἀνέγραψα*. IV, 14, 7 *ταῦτα ἀπο-*

ἄλλα καὶ τῷ Βήλῳ καθὰ ἐκεῖνοι ἐξηγοῦντο, ἔθυσεν. Αὐ- 9
τὸς δὲ ἐπὶ Σούσων ἐστέλλετο· καὶ ἐντυγχάνει αὐτῷ κατὰ
τὴν ὁδὸν ὅ τε παῖς τοῦ Σουσίων σατράπου καὶ παρὰ Φι-
λοξένου ἐπιστολεύς. Φιλόξενον γὰρ εὐθὺς ἐκ τῆς μάχης
ἐπὶ Σούσων ἐστάλκει Ἀλέξανδρος. Τῇ δὲ ἐπιστολῇ τῇ 10
παρὰ Φιλοξένου ἀνεγέγραπτο, ὅτι τήν τε πόλιν οἱ Σού-
σιοι παραδεδώκασι καὶ τὰ χρήματα πάντα σῶά ἐστιν
Ἀλεξάνδρῳ. Ἀφίκετο δὲ ἐς Σοῦσα Ἀλέξανδρος ἐκ Βαβυ- 11
λῶνος ἐν ἡμέραις εἴκοσι· καὶ παρελθὼν εἰς τὴν πόλιν τά
τε χρήματα παρέλαβεν [ὄντα] ἀργυρίου τάλαντα ἐς πεν-

χρῶντα ἔστω ἀναγεγραμμένα. VI, 28, 19 ταῦτα ἰδίᾳ ἀναγράψω αὐτῷ Νεάρχῳ ἑπόμενος. VII, 14, 3 ἄλλοι ἄλλα ἀνέγραψαν ὑπὲρ τοῦ πένθους. Atque ἐγγράψαι semper propriam suam retinet significationem *inscribendi*, ut II, 5, 5 ῥᾳδιουργότερον ἐγγεγράφθαι ἔφασαν. VII, 18, 4 οὕτω δὴ ἐγγράψαντα καὶ κατασημηνάμενον τὸ γραμμάτιον. VII, 22, 11 καὶ τοῖς συμβολαίοις ἐγγράφεσθαι τὸ ὄνομα Ἡφαιστίωνος. Vide tamen Thuc. 1, 132 ἐν αἷς — εἶρεν ἐγγεγραμμένον.

παραδεδώκασι] Edd. omnes παραδεδώκασιν.

11. [ὄντα] ἀργυρίου τάλαντα] »Insanum variant libri antiqui. Duo enim interiiciunt γάρ, ut ed. Bas., unus γὲ, quod vidit etiam in V. C. Vulcanius. Sed in Optimo nec horum quidquam, nec participium ὄντα apparet, neque requiritur.« *Gronov.* Nec mihi participium, si ab omnibus codicibus abesset, valde desideraretur. At cum omnes fere Mss. et edd. vett. id tueantur, cautius duxi servare quae bene servari possunt, quam temere ea reiicere ex unius codicis auctoritate. Conferas quae similitudinis speciem habent, V, 3, 7 καὶ παρὰ Ταξίλου δῶρα ἥκοντα ἀργυρίου μὲν τάλαντα. V, 15, 8 τήν τε ἵππον ἀναλαβὼν πᾶσαν — καὶ τὰ ἅρματα πάντα τριακόσια ὄντα. — In numero talentorum rursus dissentiunt omnes fere qui eius rei meminerunt. Diod. Sic. XVII, 66 εὗρεν ἀσήμου χρυσοῦ καὶ ἀργυρίου πλείω τῶν τετρακισμυρίων ταλάντων· χωρὶς δὲ τούτων ὑπῆρχον ἐννακισχίλια τάλαντα χρυσοῦ, χαρακτῆρα Δαρεικὸν ἔχοντα. Plut. vit. Alex. c. XXXVI Ἀλέξανδρος δὲ Σούσων κυριεύσας παρέλαβε — τετρακισμύρια τάλαντα νομίσματος. Iustin. XI, 14, 9 *in urbe deinde Susa quadraginta millia talentum invenit.* Cum Arriano facit Curtius V, 2, 11 *ut vero urbem intravit, incredibilem ex thesauris summam pecuniae egessit: quinquaginta millia talentum argenti, non signati forma, sed rudi pondere.*

τακισμύρια καὶ τὴν ἄλλην κατασκευὴν τὴν βασιλικήν.
12 Πολλὰ δὲ καὶ ἄλλα κατελήφθη αὐτοῦ ὅσα Ξέρξης ἀπὸ
τῆς Ἑλλάδος ἄγων ἦλθε, τά τε ἄλλα καὶ Ἁρμοδίου καὶ
13 Ἀριστογείτονος χαλκαῖ εἰκόνες. Καὶ ταύτας Ἀθηναίοις
πέμπει ὀπίσω Ἀλέξανδρος, καὶ νῦν κεῖνται Ἀθήνησιν ἐν
Κεραμεικῷ αἱ εἰκόνες ᾗ ἄνιμεν ἐς πόλιν, καταντικρὺ μά-
λιστα τοῦ Μητρῴου οὐ μακρὰν τῶν Εὐδανέμων τοῦ βω-
μοῦ· ὅστις δὲ μεμύηται ταῖν θεαῖν ἐν Ἐλευσῖνι, οἶδε τὸν
14 Εὐδανέμου βωμὸν ἐπὶ τοῦ δαπέδου ὄντα. Ἐνταῦθα θύσας
τῷ πατρίῳ νόμῳ Ἀλέξανδρος καὶ λαμπάδα ποιήσας καὶ
ἀγῶνα γυμνικόν, καταλιπὼν σατράπην μὲν τῆς Σουσιανῆς
Ἀβουλίτην ἄνδρα Πέρσην, φρούραρχον δὲ ἐν τῇ ἄκρᾳ
τῶν Σούσων Μάζαρον τῶν ἑταίρων, καὶ στρατηγὸν Ἀρ-
χέλαον τὸν Θεοδώρου, προὐχώρει ὡς ἐπὶ Πέρσας· ἐπὶ
θάλασσαν δὲ κατέπεμψεν ὕπαρχον Συρίας καὶ Φοινίκης

---

13. *ἐν Κεραμεικῷ*] De huius vocis scriptura vide Etymol. Magn. p. 29 sq. Bekk. Anecdd. p. 577. Cf. Siebel. ad Pausan. I, 3, 1. — Infra ed. Basil. *κατ' ἀντικρύ*.

οὐ μακρὰν τῶν Εὐδανέμων τοῦ βωμοῦ] Ed. Bas. *Εὐσανέμων*, ut infra *Εὐσανέμου*. Pro plurali *τῶν Εὐδανέμων* h. l. unus codex Gronovii et V. C. Vulcanii exhibent *τοῦ Εὐδανέμου*. Quattuor tamen reliqui codices Gron. iique meliores pluralem tuentur. Num forte scribendum *Εὐδανέμων*? — Supra recte dedit Schmiederus *οὐ μακράν*, monente iam Blancardo, pro vulgato *μακράν*. Particula enim negativa quomodo bene hic abesse possit, equidem non video. Et recte etiam Vulcanius vertit: *non procul ab ara Eudanemi.* Similiter peccatum vide III, 21, 5.

14. *τῆς Σουσιανῆς*] Sic recte omnes codd. quos inspexit Gronovius. *τοῖς Σουσιανοῖς* edd. vett. At vide I, 17, 8 *κατέλιπε τῆς μὲν ἄκρας τῆς Σάρδεων ἐπιμελητὴν Παυσανίαν.* I, 29, 5 *σατράπην ἀποδείξας Φρυγίας.* Cf. III, 25, 3, ubi, cum omnes fere codices habeant *τῆς Ἀρείας*, in ed. Vulc. male expressum legitur *τοῖς Ἀρείοις*. — Infra ed. Bas. *Μένιτα*.

15. *παρ' Ἀντίπατρον*] Ed. Bas. *παρὰ Ἀντίπατρον.* Aeque recte. — Mox eadem minus recte ante *Λακεδαιμονίους* ignorat praepositionem *πρός*.

18. *κατέστησε δὲ καί*] Mediam vocem cum Schmiedero insc-

καὶ Κιλικίας Μένητα. Καὶ τούτῳ ἔδωκεν ἀργυρίου τά- 15
λαντα ἐς τρισχίλια φέρειν ἐπὶ θάλασσαν, καὶ ἀπ᾽ αὐτῶν
ἀποστεῖλαι παρ᾽ Ἀντίπατρον ὅσων ἂν δέηται Ἀντίπατρος
ἐς τὸν πρὸς Λακεδαιμονίους πόλεμον. Ἐνταῦθα καὶ Ἀμύν- 16
τας ὁ Ἀνδρομένους ξὺν τῇ δυνάμει ἀφίκετο ἣν ἐκ Μακεδονίας
ἦγε. Καὶ τούτων τοὺς μὲν ἱππέας ἐς τὴν ἵππον τὴν ἑται- 17
ρικὴν κατέταξεν Ἀλέξανδρος, τοὺς πεζοὺς δὲ προσέθηκε
ταῖς τάξεσι ταῖς ἄλλαις, κατὰ ἔθνη ἑκάστους ξυντάξας.
Κατέστησε δὲ καὶ λόχους δύο ἐν ἑκάστῃ ἴλῃ, οὐ πρόσθεν 18
ὄντας λόχους ἱππικούς· καὶ λοχαγοὺς ἐπέστησε τοὺς κατ᾽
ἀρετὴν προκριθέντας τῶν ἑταίρων.

XVII. Ἄρας δὲ ἐκ Σούσων καὶ διαβὰς τὸν Πασιτί-
γρην ποταμὸν ἐμβάλλει εἰς τὴν Οὐξίων γῆν. Οὐξίων δὲ 2
οἱ μὲν τὰ πεδία οἰκοῦντες τοῦ τε σατράπου τῶν Περσῶν
ἤκουον καὶ τότε Ἀλεξάνδρῳ σφᾶς ἐνέδοσαν, οἱ δὲ ὄρειοι

---

ruimus e cod. F. atque edd. Basil. et Vulc. Exempla simillima dedimus ad V, 20, 9.

τοὺς κατ᾽ ἀρετὴν προκριθέντας] Cf. Hist. Ind. XII, 7 *σοφίῃ δὲ καὶ δικαιότητι ἐκ πάντων προκεκριμένον.* XVII, 4 *τῷ νικήσαντι πάλην — ἢ κατ᾽ ἄλλην τινὰ ἀνδρίαν προκριθέντι.* Quomodo dixit Diodorus XVI, 47 *προκεκριμένον ἐπ᾽ ἀρετῇ.* Et XVI, 6 *κατ᾽ ἀνδρείαν προέχων.*

C. XVII. *τὸν Πασιτίγρην*] De Tigride et Pasitigride, si plura cupis, adi Palmer. et Wessel. ad Diod. XVII, 67. Vincent. p. 408. Schmied. ad Arr. Ind. Hist. XLII, 1. Quod ad formam huius nominis attinet, apud Arrianum quidem Hist. Ind. XLII, 1 hodie scribitur *Πασιτίγρην*, sed XLII, 5 expressum est *Πασιτίγριν*, plane ut apud Eustath. ad Dion. Perieg. p. 312, ed. Bernh. Atque hanc accusativi formam firmare videtur genitivus *Πασιτίγριδος* apud Arr. l. l. Diod. Sic. XIX, 21 et Straboni XV, 3, p. 319, ed. ster. accusativus audit *Πασίτιγριν*, nescio an rectius. Similiter dixit Arrianus *Τίγρητος* Exp. Alex. III, 7, 7. VI, 28, 9. VII, 7, 6. *Τίγρητα* V, 5, 7; atque *Τίγρης* Hist. Ind. XLII, 1. Apud Diod. XVII, 55 est *Τίγρεως*, et XVII, 53, 67 *Τίγριν.* Straboni l. l. genitivus formatur *Τίγριος*, accusativus *Τίγριν*; dativum *Τίγρει* vide apud eund. l. XVI, 1, p. 348. Arrianum autem etiam *Τίγριδος* cet. dixisse testis est Eustathius ad Dionys. Perieg. p.

καλούμενοι Οὔξιοι Πέρσαις τε οὐχ ὑπήκοοι ἦσαν, καὶ τότε πέμψαντες παρ' Ἀλέξανδρον οὐκ ἄλλως παρήσειν ἔφασαν τὴν ἐπὶ Πέρσας ἰόντα ξὺν τῇ δυνάμει, ἢ λαβεῖν ὅσα καὶ παρὰ τοῦ Περσῶν βασιλέως ἐπὶ τῇ παρόδῳ ἐλάμ-
3 *βανον. Καὶ τούτους ἀποπέμπει Ἀλέξανδρος, ἥκειν κελεύσας ἐπὶ τὰ στενὰ ὧν κρατοῦντες ἐπὶ σφίσιν ἐδόκουν τὴν πάροδον εἶναι τὴν ἐς Πέρσας, ἵνα καὶ παρ' αὐτοῦ*
4 *λάβοιεν τὰ τεταγμένα. Αὐτὸς δὲ ἀναλαβὼν τοὺς σωμα-*

291, ed. Bernh., nisi forte h. l. bestiae nomen respexit. Quamquam et huius nominis genitivus apud Arrianum in *ιος* exit, ut Hist. Ind. XV, 1. Ceterum vide ann. ad VII, 7, 6.

2. *σφᾶς ἐνέδοσαν*] Ed. Bas. *ἐνέδωσαν*. — Mox eadem *ὅριοι*. De formis *ὄρειος* et *ὀρεινός* vid. ann. ad VI, 16, 4.

οὐκ ἄλλως — ἢ λαβεῖν] Huius constructionis secundum frustra apud Arrianum quaesivi exemplum. Sensus aperte hic est: *Hi Alexandro nunciabant se non alia conditione passuros, ut cum exercitu transiret, nisi tantumdem daret quantum — acciperent.* Infinitivi igitur loco aut participium exspectabas, aut *εἰ μή* cum opt. sive indicativo futuri. Cf. I, 26, 2 *ἔστι δὲ ταύτῃ ἡ ὁδὸς οὐκ ἄλλως, ὅτι μὴ τῶν ἀπ' ἄρκτου ἀνέμων πνεόντων.* Xen. Anab. VI, 4, 10 *ὁ δ' οὐκ ἂν ἄλλως ἔφη γενέσθαι, εἰ μή τις ἐκδώσει.* At videtur Arrianus rationem talium enunciatorum secutus esse, qualia sunt I, 18, 7 *τρισὶν ἡμέραις πρότερον καταπλεύσας, ἢ τοὺς Πέρσας προσχεῖν.* II, 16, 2 *πρότερον ἢ Κάδμον κατασχεῖν.* VII, 18, 5 *μιᾷ πρόσθεν ἡμέρᾳ, ἢ τελευτῆσαι.*

τοῦ Περσῶν βασιλέως] Ed. Basil. *τῶν Περσῶν βασιλέως.* Quod ferri non potest.

3. *λάβοιεν τὰ τεταγμένα*] Ed. Bas. *λάβοιε τὰ τεταγμένα.*

4. *τοὺς σωματοφύλακας τοὺς βασιλικούς*] »Somniare hic puto omnes libros mss. et transpositis vocibus legendum *ἀναλαβὼν τοὺς σωματοφύλακας καὶ τοὺς ὑπασπιστὰς τοὺς βασιλικούς.* Hi enim *ὑπασπισταί* divisi fuerunt in diversa genera, unde I, 15 (14, 3) recensentur *ὑπασπισταὶ τῶν ἑταίρων.* Infra capite 29, 13 huius libri *πεζῶν τάξιν καὶ τῶν ὑπασπιστῶν χιλιαρχίαν μίαν.* III, 13, 11 *οἱ ὑπασπισταὶ οἱ βασιλικοί.* IV, 24, 17 *τῶν τε ὑπασπιστῶν τῶν βασιλικῶν τὸ τρίτον μέρος.*« *Gronov.* Qui licet minus recte voces transponi velit, id tamen recte observavit nunquam alias *σωματοφύλακας βασιλικούς* ab Arriano commemorari ad differentiam aliorum *σωματοφυλάκων.* Vide, si placet, IV, 3, 5 *ἀναλαβὼν τούς τε σωματοφύλακας καὶ τοὺς ὑπασπιστὰς καὶ τοὺς τοξότας.* IV, 30, 6 *ἀνα-*

τοφύλακας τοὺς βασιλικοὺς καὶ τοὺς ὑπασπιστὰς καὶ τῆς ἄλλης στρατιᾶς ἐς ὀκτακισχιλίους, τῆς νυκτὸς ᾔει ἄλλην ἢ τὴν φανερὰν, ἡγησαμένων αὐτῷ τῶν Σουσίων. Καὶ δι- 5
ελθὼν ὁδὸν τραχεῖαν καὶ δύσπορον ἐν μιᾷ ἡμέρᾳ ἐπιπίπτει ταῖς κώμαις τῶν Οὐξίων, καὶ λείαν τε πολλὴν ἔλαβε καὶ αὐτῶν ἔτι ἐν ταῖς εὐναῖς ὄντων πολλοὺς κατέκτεινεν· οἱ δὲ ἀπέφυγον εἰς τὰ ὄρη· αὐτὸς δὲ ᾔει σπουδῇ ἐπὶ τὰ 6
στενὰ ἵνα ἀπαντήσεσθαι οἱ Οὔξιοι πανδημεὶ ἐδόκουν λη-

λαβὼν τῶν σωματοφυλάκων καὶ τῶν ὑπασπιστῶν ἐς ἑπτακοσίους, et I, 6, 8 παρήγγειλε τοῖς σωματοφύλαξι καὶ τοῖς ἀμφ' αὐτὸν ἑταίροις — ἀναβαίνειν ἐπὶ τοὺς ἵππους. Nam huc non sunt referendi qui κατ' ἐξοχὴν vocantur σωματοφύλακες βασιλικοί, illi septem s. octo (v. VI, 28, 6) principes ducum Alexandri. I, 22, 5. II, 12, 3. Igitur nisi forte, quae Schmiederi est sententia, hic iuvenes intelligendi sunt, qui Alexandrum *et venantem et in praeliis comitabantur*, ut ait Curtius VIII, 6, 4, quosque Arrianus memorat IV, 13, 1 et Diod. Sic. XVII, 65: voces τοὺς βασιλικούς a librariis additas putem. Quamquam reliquum est, ut statuamus, Arrianum modo dixisse τοὺς σωματοφύλακας τοὺς βασιλικούς, modo simpliciter τοὺς σωματοφύλακας, quemadmodum etiam modo memorantur ὑπασπισταὶ βασιλικοί, modo ὑπασπισταί, non addita illa distinctione. Neque inepte coniicias, eosdem illos regios corporis custodes V, 13, 8 ab Arriano dictos esse τὸ ἄγημα τὸ βασιλικόν, coll. I, 1, 15 ἀναλαβὼν τὸ ἄγημα καὶ τοὺς ὑπασπιστάς. VII. 7, 2 ἐπιβὰς τῶν νεῶν ξὺν τοῖς ὑπασπισταῖς τε καὶ τῷ ἀγήματι.

ᾔει] Ed. Basil. εἴη, ex solenni literarum transpositione, de qua vide ad III, 8, 3. III, 9, 7.

5. ἐν μιᾷ ἡμέρᾳ] Schmiederus, loci sensu minus recte intellecto, ex coniectura satis temeraria scripsit ἅμα ἡμέρᾳ. Quid vero impedit quo minus voces ἐν μιᾷ ἡμέρᾳ de die et nocte dictas accipiamus, ut Alexander, cum viginti s. viginti quattuor horas profectus esset, prima luce secundi diei ad Uxiorum vicos pervenerit? Addidit autem Arrianus istas voces, quod, quia via difficilis et ardua erat, Uxiis minime verisimile videri poterat, Alexandrum uno die iter confecturum. Ceterum vide ann. ad III, 20, 2.

ἐπιπίπτει] Ita cod. F. cum plurimis codd. Gronovii et ed. Basil. ἐμπίπτει Vulcanius et post eum omnes editores ante Schmiederum. Male. Vide I, 6, 21 ἀπροσδόκητοι ἐπιπεσόντες. II, 2, 9 ἀπροσδοκήτοις ἐπιπεσών. III, 18, 10 τὴν φυλακὴν — ἐπιπεσὼν διέφθειρε. III, 18, 11 ἐπιπεσὼν τῷ στρατοπέδῳ. VI, 6, 5 οὐ προσ-

7 ψόμενοι τὰ τεταγμένα. Κρατερὸν δὲ ἔτι πρόσθεν ἀπέστειλε τὰ ἄκρα καταληψόμενον ἔνθα ᾤετο βιαζομένους τοὺς Οὐξίους ἀποχωρήσειν· αὐτὸς δὲ πολλῷ τάχει ᾔει.
8 Καὶ φθάνει τε κρατήσας τῶν παρόδων καὶ ξυντεταγμένους τοὺς ἀμφ' αὑτὸν ἔχων ἐξ ὑπερδεξίων χωρίων ἐπῆ-
9 γεν ὡς ἐπὶ τοὺς βαρβάρους. Οἱ δὲ τῷ τε τάχει τῷ Ἀλεξάνδρου ἐκπλαγέντες καὶ τοῖς χωρίοις οἷς μάλιστα δὴ ἐπεποίθεσαν πλεονεκτούμενοι ἔφυγον οὐδὲ εἰς χεῖρας ἐλθόν-
10 τες. Καὶ οἱ μὲν αὐτῶν ὑπὸ τῶν ἀμφ' Ἀλέξανδρον ἐν τῇ φυγῇ ἀπέθανον, πολλοὶ δὲ καὶ κατὰ τὴν ὁδὸν κρημνώδη οὖσαν· οἱ πλεῖστοι δὲ ἐπὶ τὰ ὄρη ἀναφεύγοντες ἐμπίπτουσιν ἐς τοὺς ἀμφὶ Κρατερὸν καὶ ὑπὸ τούτων ἀπώλοντο.
11 Ταῦτα τὰ γέρα παρ' Ἀλεξάνδρου λαβόντες χαλεπῶς εὕροντο δεόμενοι παρ' αὐτοῦ τὴν χώραν τὴν σφῶν ἔχοντες φόρους ὅσα ἔτη Ἀλεξάνδρῳ ἀποφέρειν. Πτολεμαῖος δὲ

δοκήσασιν ἐπιπεσών. VI, 21, 6 ὡς τοῖς Ὠρείταις ἄφνω ἐπιπεσεῖν. Quamquam Lucianus dixit vv. hh. 1, 18 τεταραγμένοις ἐμπίπτουσι τοῖς Σεληνίταις.

9. τοῖς χωρίοις πλεονεκτούμενοι] Non inepte vertunt: *barbari, cum eos locos in quibus plurimum fiduciae posuerant, ereptos sibi esse cernerent, fugerunt.* Cf. I, 21, 4 πλεονεκτούμενοι τῷ τε πλήθει καὶ τοῦ χωρίου τῇ χαλεπότητι.

10. ὑπὸ τῶν ἀμφ' Ἀλέξανδρον] Ex edd. Venet. Basil. et omnibus codd. Gronovii Schmiederus. Unde iure mireris apud Vulcanium, Blancardum, alios legi τῶν περὶ Ἀλέξανδρον. Vide quae dicta sunt ad III, 14, 4.

11. εὕροντο δεόμενοι] Hanc lectionem firmant quattuor codd. Gronovii et ed. Basil. εὕραντο edd. Vulc. Blanc. Gron. Raphel. εὗρον cod. F., unde recepit Schmiederus. Paulo accuratius rem perpendenti id statim in mentem veniet, activum iam propterea minus aptum esse mediumque requiri, quod Uxii sibi ipsis veniam comparare studebant, non aliis. Nec ipse Arrianus unquam ita activum pro medio usurpavit. Vide I, 7, 16 καὶ εὑρέσθαι συγγνώμην. II. 15, 4 σφίσιν ὠφέλειαν εὑρισκόμενοι. II, 25, 4 εἴ τι εὑρέσθαι ἐθέλοι φιλάνθρωπον. III, 21, 8 καὶ σφίσι τι ἀγαθὸν εὑρίσκεσθαι. III, 30, 8 σωτηρίαν σφίσιν εὑρέσθαι. Cf. ann. ad II, 15, 4. Erravit Dorv. ad Chariton. p. 327. De forma εὕρασθαι minus Attica vide clar. Lobeck. ad Phryn. p. 140.

ὁ Λάγου λέγει τὴν Δαρείου μητέρα δεηθῆναι ὑπὲρ αὐτῶν Ἀλεξάνδρου, δοῦναί σφισι τὴν χώραν οἰκεῖν. Ὁ φό- 13
ρος δὲ ὁ συνταχθεὶς ἦν ἵπποι ἐς ἔτος ἑκατὸν καὶ ὑποζύγια πεντακόσια καὶ πρόβατα τρισμύρια. Χρήματα γὰρ 14
οὐκ ἦν Οὐξίοις οὐδὲ ἡ γῆ οἵα ἐργάζεσθαι, ἀλλὰ νομεῖς αὐτῶν οἱ πολλοὶ ἦσαν.

XVIII. Ἐκ δὲ τούτου τὰ μὲν σκευοφόρα καὶ τοὺς Θετταλοὺς ἱππέας καὶ τοὺς ξυμμάχους καὶ τοὺς μισθοφόρους τοὺς ξένους καὶ ὅσοι ἄλλοι τοῦ στρατεύματος βαρύτερον ὡπλισμένοι ἦσαν, ξὺν Παρμενίωνι ἐκπέμπει ὡς ἐπὶ Πέρσας ἄγειν κατὰ τὴν ἁμαξιτὸν τὴν ἐς Πέρσας φέρουσαν. Αὐτὸς δὲ τοὺς πεζοὺς τοὺς Μακεδόνας 2
ἀναλαβὼν καὶ τὴν ἵππον τὴν ἑταιρικὴν καὶ τοὺς προδρόμους ἱππέας καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς τοξότας, ᾔει σπουδῇ τὴν διὰ τῶν ὀρῶν. Ὡς δὲ ἐπὶ τὰς πύ- 3

12. *δοῦναί σφισι τὴν χώραν οἰκεῖν*] Exspectabas *δοῦναι αὐτοῖς*. Sed vide ann. ad II, 10, 8 et III, 6, 11. Cf. V, 17, 14 *ἐκόπτοντο δὲ καὶ οἱ πεζοὶ πανταχόθεν ἤδη προσκειμένων σφίσι τῶν Μακεδόνων.*

14. *οἵα ἐργάζεσθαι*] Edd. omnes *οἷα*. cf. Iacobs. ad Achill. Tat. p. 698. Sensus verborum hic est: *neque eorum terra natura ita comparata est, ut coli possit.* Vide IV, 3, 4 *ἀλλ' οἵους παρασχεῖν πάροδον.* V, 11, 2 *οἷα κρύψαι τὴν διάβασιν.* VII, 20, 5 *καὶ λιμένες ἐνεῖναι, οἷοι παρασχεῖν — ὅρμους.* VII, 20, 10 *ἀλλ' οἷά τε καρποὺς — ἐκφέρειν.* Vide Lob. ad Phrynich. p. 1. Krueg. ad Xenoph. Anab. II, 3, 13.

C. XVIII. *ὅσοι — ὡπλισμένοι ἦσαν*] Ultima voce carent edd. vett. et codd. quattuor Gronovii. Solus cod. F., cuius auctoritatem cum Schmiedero secutus sum, verbum substantivum habet. Forsitan tamen aeque recte omittatur. Ex parte huc trahas IV, 20, 6 *οὕτως οὐδὲ πρὸς τῶν πολεμίων ἀμελεῖται ὅσα σώφρονα ἔργα.* VI, 2, 8 *τὰ δὲ πάντα πλοῖα σὺν τοῖς ἱππαγωγοῖς καὶ κερκούροις καὶ ὅσα ἄλλα ποτάμια.* Praeterea vide ann. ad IV, 13, 3. IV, 18, 2 et VI, 2, 4.

τὴν — φέρουσαν] Cf. I, 8, 6 *τὴν κοίλην ὁδὸν τὴν κατὰ τὸ Ἡράκλειον φέρουσαν.* III, 23, 1 *τῆς ὁδοῦ τῆς ἐπὶ Βάκτρα φερούσης.* Saepius tamen hoc participium omissum est, ut I, 11, 6 *παρήμειβε τὴν ὡς ἐπ' Ἄβδηρα καὶ Μαρώνειαν.* III, 3, 9 *ἡγήσασθαι τὴν ὁδὸν τὴν ἐς τὸ μαντεῖον.* III, 16, 3 *ὅτι ἐδόκει τὴν ἐπὶ Σούσων ἥξειν.*

λας τας Περσίδας αφίκετο, καταλαμβάνει αὐτοῦ Ἀριοβαρζάνην τῶν Περσῶν σατράπην, πεζοὺς μὲν ἐς τετρακισμυρίους ἔχοντα, ἱππέας δὲ ἐς ἑπτακοσίους, διατετειχικότα τὰς πύλας καὶ αὐτοῦ πρὸς τῷ τείχει ἐστρατοπεδευκότα
4 ὡς εἴργειν τῆς παρόδου Ἀλέξανδρον. Τότε μὲν δὴ αὐτοῦ κατεστρατοπεδεύσατο· τῇ δὲ ὑστεραίᾳ ξυντάξας τὴν
5 στρατιὰν ἐπῆγε τῷ τείχει. Ὡς δὲ ἄπορόν τε διὰ δυσχωρίαν ἐφαίνετο αἱρεθῆναι, καὶ πολλὰς πληγὰς οἱ ἀμφ᾽ αὐτὸν ἐλάμβανον ἐξ ὑπερδεξίου τε χωρίου καὶ ἀπὸ μηχανῶν βαλλόμενοι, τότε μὲν ἀποχωρεῖ ἐς τὸ στρατόπεδον·
6 τῶν δὲ αἰχμαλώτων φρασάντων ἄλλην ὁδὸν περιάξειν αὐτὸν ὡς εἴσω παρελθεῖν τῶν πυλῶν, ἐπεὶ τραχεῖαν τὴν ὁδὸν καὶ στενὴν ἐπύθετο, Κρατερὸν μὲν αὐτοῦ καταλείπει ἐπὶ στρατοπέδου τήν τε αὐτοῦ τάξιν ἔχοντα καὶ τὴν Μελεάγρου, καὶ τῶν τοξοτῶν ὀλίγους καὶ τῶν ἱππέων ἐς

III, 25, 7 *ἰόντι τὴν ἐπὶ Βάκτρα.* III, 25, 9 *τὴν ἐπὶ Βάκτρα ὁδόν.* Cum prioribus haud inepte conferas I, 21, 2 *τὴν ἄκραν τὴν πρὸς Μύλασσα τετραμμένην.* VII, 17, 8 *τὸ μέρος τὸ ἐς δυσμὰς τετραμμένον,* compar. Xenoph. Anab. III, 5, 15 *ἡ δὲ* (sc. *ὁδός*) — *πρὸς ἄρκτον τετραμμένη ὅτι — ἄγοι.*

3. *ἐς τετρακισμυρίους ἔχοντα*] Edd. vett. *τετρακισχιλίους.* Quod dedimus cum Gronovio, Raphelio, Schmiedero, omnes habent codd. Gron. Diodoro quidem, ut saepe iam idem animadvertimus, Persarum longe minor numerus est, XVII, 68 *Ἀριοβαρζάνης μετὰ στρατιωτῶν πεζῶν μὲν δισμυρίων καὶ πεντακισχιλίων, ἱππέων δὲ διακοσίων.* Ac totidem quoque agnoscere Curtium V, 3, 17 in msstis quibusdam, etsi editiones quaedam praeferant XV millia, monuit iam Gronovius. — Mox ed. Basil. *διατετειχικότας.*

ὡς εἴργειν] Sic edd. vett. et quattuor codd. Gronovii. *ὡς εἴρξων* cod. F., et ex eo Borheckius. Debebat certe esse *ὡς εἴρξοντα.* Sed infinitivus optime habet. Cf. V, 15, 7 *ἀπέλιπεν ὡς φοβεῖν.* Adde ann. ad I, 19, 2. III, 9, 3. IV, 5, 10.

4. *τῇ δὲ ὑστεραίᾳ*] Cod. F. *τὴν δὲ ὑστεραίαν,* quod vel Schmiederus recipere non ausus est. Dicit enim Arrianus aut *τῇ δὲ ὑστεραίᾳ,* ut I, 12, 10. I, 21, 9. VII, 25, 7., aut *ἐς δὲ τὴν ὑστεραίαν,* quod vide II, 7, 2. IV, 30, 1. V, 28, 3. VI, 18, 9. VII, 17, 7. Eodem modo peccatum est apud Diod. Sic. XVII, 79, ubi pro vulgato *τῇ ὑστεραίᾳ* cod. Reg. 1 *τὴν ὑστεραίαν.*

πεντακοσίους. Καὶ προστάττει αὐτῷ, ἐπειδὰν ἐκπεριεληλυθότα αὐτὸν αἴσθηται, καὶ προσάγοντα ἤδη τῷ στρατοπέδῳ τῶν Περσῶν, (αἰσθήσεσθαι δὲ οὐ χαλεπῶς, σημαίνειν γὰρ αὐτῷ τὰς σάλπιγγας) τότε δὲ προσβαλεῖν τῷ τείχει. 7
Αὐτός τε προὐχώρει νύκτωρ, καὶ διελθὼν ὅσον ἑκατὸν σταδίους ἀναλαμβάνει τοὺς ὑπασπιστὰς καὶ τὴν Περδίκκου τάξιν καὶ τῶν τοξοτῶν τοὺς κουφοτάτους καὶ τοὺς Ἀγριᾶνας, καὶ τῶν ἑταίρων τὴν ἴλην τὴν βασιλικὴν, καὶ τετραρχίαν πρὸς ταύτῃ μίαν ἱππικὴν, καὶ ξὺν τούτοις ᾔει ἐπικάμψας ὡς ἐπὶ τὰς πύλας ἵν' οἱ αἰχμάλωτοι ἦγον. 8
Ἀμύνταν δὲ καὶ Φιλώταν καὶ Κοῖνον τὴν ἄλλην στρατιὰν ὡς ἐπὶ τὸ πεδίον ἄγειν καὶ τὸν ποταμὸν ὃν ἐχρῆν περάσαι ἰόντι ἐπὶ Πέρσας γεφυροῦν ἐκέλευσεν, αὐτὸς δὲ ᾔει ὁδὸν χαλεπὴν καὶ τραχεῖαν, καὶ ταύτην δρόμῳ τὸ πολὺ ἦγε. 9
Τὴν μὲν δὴ πρώτην φυλακὴν τῶν βαρβάρων πρὶν φάους ἐπι- 10

---

6. οἱ ἀμφ' αὐτόν] Sic recte Schmiederus pro vulgato ἀμφ' αὐτόν; ut e contrario infra (6) pro vulg. τήν τε αὐτοῦ recte scribi iussit τήν τε αὑτοῦ.

7. ἐπειδὰν αἴσθηται, — τότε δὲ προσβαλεῖν] Similis verborum constructio est VI, 5, 15 ἐπὰν δ' ἀφίκωνται ἐς τὰς ξυμβολὰς —, ἐνταῦθα δὲ ὑπομένειν ἐκέλευσεν, ἔστ' ἂν ἥκῃ αὐτός. Vide ad I, 29, 10. Obiter hic moneo apud Himer. Orat. IX, p. 556 e cod. Rom. scribendum videri ὅταν ἁβρὸν ἔαρ πάλιν αἰσθάνηται pro vulg. ὅταν — αἰσθάνεται. Eadem fortasse medicina adhibenda est eiusd. script. Ecl. I, p. 34. Or. V, p. 494. Or. XIX, p. 716. Or. XX, p. 720. Orat. XXII, p. 758. Vide Iacobs. ad Achill. Tat. p. 452.

10. πρὶν φάους] »Vocula prima non agnoscitur ab Optimo libro. Et posset videri supervacua, utpote in pravis exemplaribus apposita ab eo qui non animadvertebat Arrianum sic absolute loqui potuisse, ut usurparunt eo sensu solam vocem νυκτός, ut intelligatur ἐρχομένου. Vide ad II, 2, 10.« Gronov. Adscripsi haec, ut intelligatur quo possit aberrari ab eo qui codicis cuiusdam fide fretus omnia vult probare quae iste suadeat. Φάους sic absolute qui dixerit, novi neminem. Πρὶν φάους, cuius locutionis simile exemplum quamquam frustra quaesii apud Arrianum aliosque scriptores (Xen. Hist. Gr. V, 4, 20 dixit πρὸ ἡμέρας), tamen dictum esse potest ex analogia talium, qualia sunt: πρὶν ὥρας apud Pind. Pyth. IV, 76. πρὶν οὗ apud Demosth. p. 217, 17, Reisk., ubi non

*πεσὼν διέφθειρε, καὶ τῶν δευτέρων τοὺς πολλούς· τῆς
τρίτης δὲ οἱ πλείους διέφυγον, καὶ οὐδὲ οὗτοι εἰς τὸ
στρατόπεδον τὸ Ἀριοβαρζάνου ἔφυγον, ἀλλ' αὐτόθεν ὡς
11 εἶχον ἐς τὰ ὄρη πεφοβημένοι· ὥστε ἔλαθεν ὑπὸ τὴν ἕω
ἐπιπεσὼν τῷ στρατοπέδῳ τῶν πολεμίων, καὶ ἅμα μὲν
προσέβαλε τῇ τάφρῳ, ἅμα δὲ αἱ σάλπιγγες ἐσήμαινον
τοῖς ἀμφὶ Κρατερὸν, καὶ Κρατερὸς προσῆγε τῷ προτει-
12 χίσματι. Οἱ δὲ πολέμιοι πάντοθεν ἀμφίβολοι γιγνόμενοι
οὐδὲ ἐς χεῖρας ἐλθόντες ἔφυγον· ἀλλὰ πανταχόθεν γὰρ
εἴργοντο, τῇ μὲν Ἀλεξάνδρου ἐπικειμένου, ἄλλῃ δὲ τῶν*

---

assentior Schaefero, qui app. crit. ad Dem. t. I, p. 878 pronomen expungendum putat. Neque multum distat *ἕως δόγματος* apud Polybium (v. Steph. thes. s. v.). *ἕως λόγου* ap. Dion. Halic. Antqq. VII, 17 et *ἕως τῆς Ἀλεξάνδρου τελευτῆς* apud Diod. Sic. I, 4 comparato *ἕως οὗ* apud Herod. II, 143. Dionys. Halicarn. Antiqq. Romm. VII, 1. Vide intpp. ad Viger. p. 442. Koen. ad Greg. Cor. p. 472.

11. *ὑπὸ τὴν ἕω ἐπιπεσών*] Ita scripsimus pro vulgato *ἐπὶ τὴν ἕω*. Nec puto fore qui temeritatis nos accuset perlectis iis quae fuse disputavimus ad II, 2, 10 et IV, 6, 6.

ἐσήμαινον] Restituimus hanc verbi formam ex edd. vett. et quattuor codd. Gronovii. Schmiederus codicem F. secutus dedit *ἐσημαίνοντο*. Parum consulte. Vide III, 18, 7 *σημαίνειν γὰρ αὐτῷ τὰς σάλπιγγας*. V, 23, 12 *τὸν δὲ σαλπιγκτὴν ἐκέλευε σημαίνειν*. V, 24, 3 *οἵ τε σαλπιγκταὶ ἐσήμαινον αὐτῷ*. VI, 3, 3 *σημῆναι κελεύει τῇ σάλπιγγι*. Tactic. c. XLIV *ἐπὰν δὲ σημήνῃ τῇ σάλπιγγι*. Quibus adde simile quid V, 24, 4 *ὡς δὲ ἡ σάλπιγξ ἐφθέγξατο*. Quid sit subaudiendum, si quid animo addendum est, docent haec Xen. Anab. IV, 3, 29 *ἐπειδὰν ὁ σαλπιγκτὴς σημήνῃ τὸ πολεμικόν*. Diod. Sic. XV, 55 *ὡς δὲ αἵ τε σάλπιγγες ἐσήμαινον τὸ πολεμικόν*. (cf. XV, 85. XVII, 11. 25. 26.) XVII, 27 *κελεύσαντος σημῆναι τὸ ἀνακλητικόν*. XVII, 33 *τῶν δὲ σαλπιγκτῶν τὸ πολεμικὸν σημαινόντων*. Plut. compar. Pelop. cum Marcell. c. III *ὡς ὑπεσήμηνεν ἡ σάλπιγξ ἀνακλητικόν*. Vitiosa scriptura codicis F. facile poterat oriri ex sequente *τοῖς*, cuiusmodi scribendi errores passim notavimus, ut I, 17, 10. I, 19, 16. III, 16, 13. VII, 9, 2. VII, 18, 9.

12. *ἀμφίβολοι γενόμενοι*] *hostes autem undique icti — in fugam versi sunt.* Minus recte Vulcanius, quem secuti sunt recentiores interpretes: *hostes summa consilii inopia laborantes.* Conferas

ἀμφὶ Κρατερὸν παραθεόντων, ὥστε ἠναγκάσθησαν οἱ πολλοὶ αὐτῶν ἐς τὰ τείχη ἀποστρέψαντες φεύγειν· εἴχετο δὲ καὶ τὰ τείχη πρὸς τῶν Μακεδόνων ἤδη. Ἀλέξανδρος 13 γὰρ τοῦτο αὐτὸ ὅπερ ξυνέβη ὑποτοπήσας Πτολεμαῖον ἀπολελοίπει αὐτοῦ, ἔχοντα τῶν πεζῶν ἐς τρισχιλίους, ὥστε οἱ μὲν πλεῖστοι τῶν βαρβάρων ἐν χερσὶ πρὸς τῶν Μακεδόνων κατεκόπησαν, οἱ δὲ καὶ ἐν τῇ φυγῇ φοβερᾷ γενομένῃ κατὰ τῶν κρημνῶν ῥίψαντες ἀπώλλυντο· αὐτὸς δὲ ὁ Ἀριοβαρζάνης ξὺν ὀλίγοις ἱππεῦσιν ἐς τὰ ὄρη ἀπέφυγεν. Ἀλέξανδρος δὲ σπουδῇ αὖθις ἦγεν ὡς ἐπὶ τὸν 14

Thucyd. IV, 32 ἀλλ' ἀμφίβολοι γένωνται, quo, monente Goellero ad h. l., spectat Hesychii glossa ἀμφίβολοι· ἑκατέρωθεν προβαλλόμενοι, ὡς Θουκυδίδης, et Suidae verba ἀμφίβολοι· πανταχόθεν βαλλόμενοι. Vide ad II, 23, 5 et Popp. Thuc. I, p. 246. — Infra ante verba ἀλλὰ πανταχόθεν γὰρ punctum minusculum posuimus, quo iam ferebat ed. Bas., in qua punctum positum. Recentiores editores commate distinxerunt, minus apte, puto.

παραθεόντων] Sic codd. omnes Gron. et ed. Basil. ἐπιθεόντων Vulcanius primus. Neque correxerunt Blanc. Gron. Raphel. Verbo παραθεῖν usus est Arrianus VI, 22, 14, quamquam significatione haud plane eadem. Sed cf. Xen. Hist. Gr. VII, 1, 21 οἱ δὲ — ἱππεῖς — διεσκεδασμένοι ἄλλος ἄλλῃ παραθέοντες ἠκόντιζον. Verbum ἐπιθεῖν apud Arrianum quidem non memini me legere.

13. κατὰ τῶν κρημνῶν ῥίψαντες] Mirum in modum vexarunt hunc locum interpretes. Articulum ante κρημνῶν quia in cod. F. non comparet, statim abiecit Schmiederus. Sed vereor ut recte id fecerit. Vide modo III, 30, 19 οἱ μὲν αὐτοῦ κατεκόπησαν πρὸς τῶν Μακεδόνων, πολλοὶ δὲ καὶ κατὰ τῶν πετρῶν ῥίψαντες σφᾶς ἀπέθανον. IV, 30, 7 οἱ δὲ καὶ πεφοβημένως ἀποχωροῦντες κατὰ τῶν κρημνῶν ῥίψαντες σφᾶς ἀπέθανον. cf. Lucian. Icaromen. c. 10 ἀφῆκα ἐμαυτὸν κατὰ τοῦ κρημνοῦ. Suo iure omisit Arrianus articulum IV, 30, 15 καὶ δύο κατὰ κρημνοῦ σφᾶς ῥίψαντες — ἀπόλλυνται. Deinde ante ῥίψαντες sive a Vulcanio, sive a Stephano insertum videmus pronomen ἑαυτούς, quod neque edd. Venet. et Basil., neque codd. Gron. agnoscunt. Nec valde cuiquam desiderabitur, si memor est eorum quae diximus ad II, 4, 9.

ἀπώλλυντο] Ed. Bas. ἀπώλλοντο. Voluit fortasse ἀπώλοντο. Similem orationis colorem vide apud Xen. Ephes. I, 13, 24 οἱ μὲν

ποταμὸν, καὶ καταλαμβάνει ἤδη πεποιημένην ἐπ' αὐτοῦ
15 γέφυραν, καὶ διαβαίνει ξὺν τῇ στρατιᾷ εὐπετῶς. Ἐντεῦθεν δὲ σπουδῇ αὖθις ἤλαυνεν ἐς Πέρσας, ὥστε ἔφθη ἀφικέσθαι πρὶν τὰ χρήματα διαρπάσασθαι τοὺς φύλακας.
16 Ἔλαβε δὲ καὶ τὰ ἐν Πασαργάδαις χρήματα ἐν τοῖς Κύρου
17 τοῦ πρώτου θησαυροῖς. Σατράπην μὲν δὴ Περσῶν κατέστησε Φρασαόρτην τὸν Ῥεομίθρου παῖδα· τὰ βασίλεια δὲ τὰ Περσικὰ ἐνέπρησε, Παρμενίωνος σώζειν συμβουλεύοντος τά τε ἄλλα καὶ ὅτι οὐ καλὸν αὑτοῦ κτήματα ἤδη ἀπολλύναι, καὶ ὅτι οὐχ ὡσαύτως προσέξουσιν αὐτῷ οἱ κατὰ τὴν Ἀσίαν ἄνθρωποι, ὡς οὐδὲ αὐτῷ ἐγνωκότι κατέχειν τῆς Ἀσίας τὴν ἀρχὴν, ἀλλ' ἐπελθεῖν μόνον νικῶντα.

ἐῤῥίπτουν ἑαυτοὺς ὑπ' ἐκπλήξεως εἰς τὴν θάλασσαν καὶ ἀπώλλυντο. Gronovio placuit adscribere verba Herodoti VIII, 53 οἱ μὲν ἐῤῥίπτεον ἑωυτοὺς κατὰ τοῦ τείχεος κάτω.

14. σπουδῇ αὖθις ἦγεν] Mediam vocem uncis includi iussit Schmiederus ut male repetitam ex sequente enunciato. At vide ann. ad III, 15, 13. — Infra ed. Bas. πεποιημένον.

15. σπουδῇ αὖθις] Nescio an rectius scribatur αὖθις σπουδῇ, ut est in ed. Basil. et Venet.

16. Πασαργάδαις] Sic edd. vett. et codd. quattuor Gronovii. Πασαγάρδαις cod. F., unde recepit Schmiederus. Sed cf. Herod. I, 125 τούτων Πασαργάδαι εἰσὶν ἄριστοι. Plura cupienti dabit Grotefend. apud Heeren. de vett. popp. polit. etc. I, 2, p. 374. Adde Eustath. ad Dionys. 1069 et Bernh. ann. ad h. l. p. 809.

17. αὑτοῦ κτήματα — ἀπολλύναι] Edd. ante Schmiederum αὐτοῦ. — Infra pro ἐπελθεῖν, quod Schmiederus primus dedit ex auctoritate codicis F., edd. vett. cum quattuor codd. Gron. habent ἀπελθεῖν. Male. Cf. ann. ad II, 7, 14 καὶ ἔθνη ὅσα ἄλλα — σφίσιν ἐπεγένετο, νικῶντες ἐπῆλθον.

18. ὅσα ἄλλα κακὰ — εἰργάσαντο] Sic codd. plures Gronovii et C. V. Vulcanii. κατά edd. vett. et unus vel alter codd. Florr. Quod reiiciendum esset, etiamsi omnes codices firmarent. Cf. II, 14, 3 καὶ πολλὰ κακὰ ἐργάσασθαι Πέρσας.

19. σὺν νῷ] Schmiederus e cod. F. reponens σὺν δίκῃ deceptus est iis quae similia adscripsit Gronovius IV, 8, 10 οὐδεμιᾷ ξὺν δίκῃ ἐπεμνήσθησαν, et VII, 1, 3 οὐ σὺν δίκῃ καλεῖν σφᾶς μεγάλους βασιλέας. Ut omittam lectionem σὺν νῷ quattuor reliquis Gronovii codicibus et edd. vett. firmari, ipsa verborum ratio eam postulare

Ὁ δὲ τιμωρήσασθαι ἐθέλειν Πέρσας ἔφασκεν ἀνθ' ὧν 18
ἐπὶ τὴν Ἑλλάδα ἐλάσαντες τάς τε Ἀθήνας κατέσκαψαν
καὶ τὰ ἱερὰ ἐνέπρησαν, καὶ ὅσα ἄλλα κακὰ τοὺς Ἕλληνας
εἰργάσαντο, ὑπὲρ τούτων δίκας λαβεῖν. Ἀλλ' οὐδ' ἐμοὶ 19
δοκεῖ σὺν νῷ δρᾶσαι τοῦτό γε Ἀλέξανδρος, οὐδὲ εἶναί τις
αὕτη Περσῶν τῶν πάλαι τιμωρία.

XIX. Ταῦτα δὲ διαπραξάμενος προὐχώρει ἐπὶ Μη-
δίας· ἐκεῖ γὰρ ἐπυνθάνετο εἶναι Δαρεῖον. Γνώμην δὲ 2
πεποίητο Δαρεῖος, εἰ μὲν ἐπὶ Σούσων καὶ Βαβυλῶνος
μένοι Ἀλέξανδρος, αὐτοῦ προσμένειν καὶ αὐτὸς ἐν Μήδοις,
εἰ δή τι νεωτερισθείη τῶν ἀμφ' Ἀλέξανδρον· εἰ δὲ ἐλαύ- 3
νοι ἐπ' αὐτόν, αὐτὸς δὲ ἄνω ἰέναι τὴν ἐπὶ Παρθυαίους

---

videtur. Hoc enim dicit Arrianus: *Alexander* (cum, a Parmenione iam monitus ne devastaret omnia quae victor aggressus esset, tamen quae vellet, persequeretur) *et mihi ipsi sine consilio* (temere) *illud fecisse videtur.* Causam igitur continent haec eorum quae statim addit: *neque hoc modo de priscis Persis ultio sumta est.* Quod vero Homero Il. XX, 133 παρὲκ νόον, id Arriano οὐ σὺν νῷ, cuius dictionis alterum exemplum vide VI, 10, 5 οὐ ξὺν νόῳ κινδυνεύων. Fortasse Arrianus suum mutuatus est ab Herodoto, qui dixit VIII, 86 σὺν νόῳ ποιέοντες οὐδέν. VIII, 138 ὡς σὺν νόῳ λάβοι τὰ διδόμενα, ubi vide ann. Schweighaeuseri. Cf. Wyttenb. Epist. crit. post Iul. Orat. p. 232, ed. Lips.

Ἀλέξανδρος] Ita edd. Venet. et Basil. cum plerisque, ut ait Gronovius, codicibus. Ἀλέξανδρον edd. Vulc. Blanc. Utrumque defendi potest. Cf. III, 1, 7 ἔδοξεν αὐτῷ ὁ χῶρος κάλλιστος κτίσαι καὶ γενέσθαι ἂν εὐδαίμονα τὴν πόλιν: pro quo scripsit IV, 1, 3 ἐδόκει δὲ ἂν καὶ μεγάλη γενέσθαι ἡ πόλις. Adde VII, 4, 11 καὶ τοῦτο ἔδοξε πρᾶξαι Ἀλέξανδρον, ubi vulgare Ἀλέξανδρος quominus retineamus, impediunt omnes codd. Gronovii.

C. XIX. 2. γνώμην δὲ πεποίητο] Edd. ante Schmiederum omnes δὲ ἐπεποίητο. Non male, si respicias quae dicta sunt ad III, 12, 1. Neque hiatus offendat hic magis, quam III, 20, 3 Δαρεῖος δὲ ἐφθάκει. III, 22, 9 ὁπότε δὲ ἐτελεύτα. V, 18, 13 ὡς δὲ ἔπιε. VI, 3, 1 δὲ ἔθυε, cet. Sed omnes edd. illud verbum omisso augmento exhibent I, 1, 10 γνώμην δὲ πεποίηντο. II, 21, 11 ὅπου δὲ καθαρὸν πεποίητο. Eadem in eodem verbo scripturae discrepantia notata est IV, 21, 11. IV, 30, 4. V, 14, 2.

3. ἔστε ἐπὶ Βάκτρα] Sic edd. Venet. et Bas. et omnes codd.

τε καὶ Ὑρκανίαν ἔστε ἐπὶ Βάκτρα, τήν τε χώραν φθείρων πᾶσαν καὶ ἄπορον ποιῶν Ἀλεξάνδρῳ τὴν πρόσω
4 ὁδόν. Τὰς μὲν δὴ γυναῖκας καὶ τὴν ἄλλην τὴν ἔτι ἀμφ' αὐτὸν κατασκευὴν καὶ τὰς ἁρμαμάξας ἐπὶ τὰς Κασπίας καλουμένας πύλας πέμπει· αὐτὸς δὲ ξὺν τῇ δυνάμει ἥτις ἐκ τῶν παρόντων ξυνείλεκτο αὐτῷ, προσέμενεν ἐν Ἐκβα-
5 τάνοις. Ταῦτα ἀκούων Ἀλέξανδρος προὐχώρει ἐπὶ Μηδίας· καὶ Παραιτάκας μὲν ἐς τὴν χώραν αὐτῶν ἐμβαλὼν κατεστρέψατο, καὶ σατραπεύειν ἔταξεν αὐτῶν Ὀξάθρην τὸν Ἀβουλίτου τοῦ [πρότερον] Σούσων σατράπου παῖδα.
6 Αὐτὸς δὲ ὡς ἠγγέλθη κατὰ τὴν ὁδὸν ὅτι ἐγνωκὼς εἴη Δαρεῖος ἀπαντᾶν τε αὐτῷ ὡς ἐς μάχην, καὶ αὖθις διακινδυνεύειν (Σκύθας τε γὰρ αὐτῷ ἥκειν καὶ Καδουσίους συμμάχους), τὰ μὲν ὑποζύγια καὶ τοὺς τούτων φύλακας

Gronovii, sic quoque V. C. Vulcanii. Unde nescio cur dederit Vulcanius *ἐπὶ Βάκτρους*.

4. *πέμπει*] Ed. Basil. *πέμπειν*.

5. *καὶ Παραιτάκας*] Edd. Basil. et Vulc. *Παριτάκας*. Quam recepimus scripturam, Blancardus commendavit Gronoviusque, quamquam non memorato Blancardo, probavit. Eandem formam, praeeunte Blancardo, Gronovio, Schmiedero, dedimus IV, 21, 1 pro vulgato *Παρατάκας*, et IV, 22, 1 pro vulgari *Παρειτακηνῶν*. Nam omnes fere scriptores qui huius regionis memores sunt, illam formam praeferunt. Ptolem. VI, 4 *καλεῖται δὲ τῆς Περσίδος Παραιτακηνή*. Strab. XV, 3, p. 320, ed. ster. *ἐκ τῶν Παραιτάκων*, et XVI, 1, p. 345 *ἡ Παραιτακηνή*. Steph. Byz.: *Παραίτακα*, inquit, *πόλις Μηδική· τὸ ἐθνικὸν Παραιτακηνός*. Curtius V, 13, 2 *Paraetacene ultima*. Apud Herodot. I, 101 memorantur *Παρητακηνοί*. Vide Mannerti Geograph. t. V, p. 2, p. 501. — Mox ed. Bas. *εἰς τὴν χώραν*.

Ὀξάθρην τὸν Ἀβουλίτου] Edd. ante Blancardum *Ὀξοάθρην τὸν Ἀβουλήτου*. At vide ann. ad I, 12, 13 et III, 8, 8.

τὸν [πρότερον] Σούσων σατράπου παῖδα] Recte animadvertit Schmiederus, vocem *πρότερον* ab inscito quodam librario adiectum videri. Abulites enim tunc temporis satrapa Susianorum fuit, id quod colligi potest ex ipsius Arriani verbis III, 16, 14 *καταλιπὼν σατράπην τῆς Σουσιανῆς Ἀβουλίτην ἄνδρα Πέρσην*, et VII, 4, 1 *Ἀβουλίτην δὲ καὶ τὸν τούτου παῖδα, ὅτι κακῶς ἐπεμελεῖτο τῶν Σουσίων, συλλαβὼν ἀπέκτεινεν*. Uncis igitur vocem includi curavimus.

καὶ τὴν ἄλλην κατασκευὴν ἕπεσθαι ἐκέλευσε· τὴν στρατιὰν
δὲ τὴν ἄλλην ἀναλαβὼν ἦγεν ἐσταλμένους ὡς ἐς μάχην,
καὶ ἀφικνεῖται δωδεκάτῃ ἡμέρᾳ ἐς Μηδίαν. Ἔνθα ἔμα- 7
θεν οὐκ οὖσαν ἀξιόμαχον δύναμιν Δαρείῳ, οὐδὲ Καδου-
σίους ἢ Σκύθας αὐτῷ συμμάχους ἥκοντας, ἀλλ' ὅτι φεύ-
γειν ἐγνωκὼς εἴη Δαρεῖος· ὁ δὲ ἔτι μᾶλλον ἐπῆγε σπουδῇ.
Ὡς δὲ ἀπεῖχεν Ἐκβατάνων ὅσον τριῶν ἡμερῶν ὁδὸν, ἐν- 8
ταῦθα ἀπήντα αὐτῷ Βισθάνης ὁ Ὤχου παῖς τοῦ πρὸ
Δαρείου βασιλεύσαντος Περσῶν. Καὶ οὗτος ἀπήγγειλεν 9
ὅτι Δαρεῖος ἐς πέμπτην ἡμέραν εἴη πεφευγὼς, ἔχων τά
τε χρήματα ἐκ Μήδων ἐς ἑπτακισχίλια τάλαντα, καὶ
στρατιὰν ἱππεῖς μὲν ἐς τρισχιλίους, πεζοὺς δὲ ἐς ἑξακισ-
χιλίους. Ἐλθὼν δὲ ἐς Ἐκβάτανα Ἀλέξανδρος τοὺς μὲν 10
Θετταλοὺς ἱππέας καὶ τοὺς ἄλλους ξυμμάχους ἀποπέμπει

---

6. *δωδεκάτῃ ἡμέρᾳ*] Ed. Bas. *δυοδεκάτῃ*.

7. *ἐπῆγε σπουδῇ*] Schmiederus e cod. F. *ἦγε σπουδῇ* edd. vett. et reliqui codd. Gronovii. Utrumque ferri potest. Sic dixit III, 18, 14 *Ἀλέξανδρος δὲ σπουδῇ αὖθις ἦγεν ὡς ἐπὶ τὸν ποταμόν.* V, 11, 8 *εἰ δὲ τοὺς ἐλέφαντας — ἅμα οἷ ἄγοι Πῶρος ἐπ' ἐμέ*, ubi edd. Vulc. Blanc. *ἐπάγῃ*. Quod recepimus firmant hi fere loci I, 27, 11 *καὶ ἐπὶ τούτους ἐπήγαγεν.* III, 17, 8 *ἐπῆγεν ὡς ἐπὶ τοὺς βαρβάρους.* IV, 4, 10 *ἐπῆγεν ἐπὶ τοὺς Σκύθας.*

9. *τά τε χρήματα ἐκ Μήδων*] Video fore qui legi malint *τὰ ἐκ Μήδων*, ad exemplar eorum quae attulimus ad I, 12, 9. Sed huius loci alia est ratio. Verba *ἐκ Μήδων* non funguntur vice adiectivi ad *χρήματα* pertinentis, sed referenda sunt ad *ἔχων*. Eodem modo dixit II, 21, 4 *ἦν δὲ αὐτοῖς καὶ τὰ τείχη κατὰ τὸ χῶμα.* VI, 20, 3 *ὅπη εὐπορωτέρα ἡ ἐκβολὴ τοῦ Ἰνδοῦ ἐς πόντον γίγνεται.* VII, 14, 9 *τοῦ Ἀσκληπιοῦ τὸ ἕδος ἐν Ἐκβατάνοις κατασκάψαι ἐκέλευσε.* cf. Krueg. ad Xen. Anab. VII, 4, 3, nos ad Arr. II, 12, 9. Atque ita forsitan explicemus nobis quod dixit Xen. Cyrop. I, 3, 2 *καὶ οἱ στρεπτοὶ περὶ τῇ δέρῃ καὶ τὰ ψέλλια περὶ ταῖς χερσίν*, (coll. Iacobs. ad Achill. Tat. p. 646). Pausan. I, 4, 6 *ἔστι δὲ γραφὴ τὸ ἔργον πρὸς Γαλάτας ἔχουσα*, et I, 13, 4 *τὸ δὲ Ἀθηναίων καὶ Δημοσθένους ἔργον πρὸς τῇ νήσῳ Σφακτηρίᾳ κλοπὴν εἶναι καὶ οὐ νίκην.* Neque prorsus damnandum est quod legitur apud Diodor. XVII, 10 *τῆς Ἀλεξάνδρου παρουσίας ἐπὶ τὰς Θήβας.*

10. *ἐς Ἐκβάτανα*] In cod. F. et tribus aliis codd. Gronovii atque in edd. omnibus legitur *ὡς Ἐκβάτανα.* Alteram scripturam tuen-

ὀπίσω ἐπὶ θάλασσαν, τόν τε μισθὸν ἀποδοὺς αὐτοῖς ἐντελῆ τὸν ξυντεταγμένον, καὶ δισχίλια παρ' αὐτοῦ τάλαντα ἐπιδούς· ὅστις δὲ ἰδίᾳ βούλοιτο ἔτι μισθοφορεῖν παρ' αὐτῷ, ἀπογράφεσθαι ἐκέλευσε· καὶ ἐγένοντο οἱ ἀπογραψάμενοι οὐκ ὀλίγοι.
11 Ἐπόκιλλον δὲ τὸν Πολυειδοῦς ἔταξε καταγαγεῖν αὐτοὺς ὡς ἐπὶ θάλασσαν, ἱππέας ἄλλους ἔχοντα ἐς φυλακὴν αὐτῶν· οἱ γὰρ Θεσσαλοὶ τοὺς ἵππους αὐτοῦ ἀπέδοντο· ἐπέστειλε δὲ καὶ Μένητι, ἐπειδὰν ἀφί-

---

tur C. V. Vulcanii et unus codd. Gronovii. Unde mireris, cur paucorum codicum lectio mihi sit probata. Sed cum exempla in universum haud multa exstent ubi ὡς iunctum est ἀψύχοις (v. Phavor. ex Thom. Mag. p. 933), tum apud Arrianum quae reperi duo, ita sunt ambigua et incertae fidei, ut facili opera corrigi possint. Unum est enim quod nobis haec disserendi ansam dedit, alterum vide IV, 7, 5, ubi, cum solus cod. F. ὡς, alii codd. ἐς, alii neutrum eorum, edd. vett. vero ἐς habeant, non dubitandum videtur quin hoc ut solum rectum restituatur. Ceterum ἐς Ἐκβάτανα legendum esse iam monuit Koenius ad Greg. Cor. p. 78, suadentque simillima III, 19, 15 ἐπὰν ἐκ Σούσων εἰς Ἐκβάτανα ἀφίκηται, et VII, 18, 4 ἐκ Βαβυλῶνος εἰς Ἐκβάτανα. Ita etiam non sollicitem quod legitur Hist. Ind. II, 1 τὰ δὲ ἀπὸ τοῦ Ἰνδοῦ πρὸς ἕω, quod habent edd. vett. cum quattuor codd. Gronovii et cod. Bodl. Huds., quamquam Schmiedero placuit ὡς cod. F.; nisi forte legendum est ὡς πρὸς ἕω. Ne vero multis de hac re verbis utamur, obstat diligentia Goelleri ad Thuc. VIII, 102, t. II, p. 474 sq. Adde tantum Xen. Ephes. III, 2, p. 56 εἰς μὲν Πέρινθον ἐλθεῖν, ut Locella invenit in cod. F., cum edd. haberent ὡς μὲν Πέρινθον. Et Xen. Cyrop. V, 3, 12 recte dederunt Poppoius et Dindorfius ὡς εἰς τὸ φρούριον pro vulg. ὡς τὸ φρούριον. Praeterea confusa vide ὡς εἰς et ὡς III, 29, 13. ἐς et ὡς I, 25, 12. ὡς et πρός II, 25, 1. ὡς ἐπί et ὡς V, 17, 6. De ὡς cum ἐμψύχοις constructum vide ann. ad II, 25, 1.

παρ' αὐτοῦ ἐπιδούς] Ed. Bas. παρ' αὐτοῦ. Minus accurate Vulcanius haec verba ita interpretatus est: *ac praeter integrum stipendium duo millia talentûm militibus donat.* Hic est enim verborum sensus: *Et ad integrum stipendium duo millia talentûm de suo addidit.* Cf. Xen. Hist. Graec. VI, 1, 3 ὁπότε ἐνδεὴς εἴη, παρ' ἑαυτοῦ προσετίθει. Paulo aliter dixit Arr. VII, 12, 3 ἐπέδωκε δὲ καὶ τάλαντον ἑκάστῳ ὑπὲρ τὴν μισθοφοράν.

11. ἐπειδὰν ἀφίκωνται ἐπὶ θάλασσαν] Ed. Bas. τὴν ἐπὶ θάλασσαν

κωνται ἐπὶ θάλασσαν, ἐπιμεληθῆναι ὅπως ἐπὶ τριηρῶν κομισθήσονται ἐς Εὔβοιαν. Παρμενίωνα δὲ προσέταξε 12
τὰ χρήματα τὰ ἐκ Περσῶν κομιζόμενα εἰς τὴν ἄκραν τὴν ἐν Ἐκβατάνοις καταθέσθαι καὶ Ἁρπάλῳ παραδοῦναι.
Ἅρπαλον γὰρ ἐπὶ τῶν χρημάτων κατέλιπε, καὶ φυλακὴν 13
τῶν χρημάτων Μακεδόνας ἐς ἑξακισχιλίους, καὶ ἱππέας καὶ ψιλοὺς ὀλίγους. Αὐτὸν δὲ Παρμενίωνα τοὺς ξένους 14
ἀναλαβόντα καὶ τοὺς Θρᾷκας καὶ ὅσοι ἄλλοι ἱππεῖς ἔξω

(? ἐπὶ τὴν θάλασσαν). Vulcan. τοὺς ἐπὶ θάλασσαν, quod ferri nequit. Quomodo nunc legitur, sic iam Gronovius scribendum censuit. Et quantum ex eius verbis: »*nos devoti sumus* msstis, et praecipue talibus«, colligi potest, codd. Florr. quos inspexit omnes articulum ignorant. Basileensis editionis scripturam nollem defendisset Gronovius. Aliud enim est ἀφικέσθαι τὴν ἐπὶ θάλασσαν (cf. III, 16, 3. III, 19, 3, cet.), aliud ἀφικέσθαι ἐπὶ θάλασσαν, quorum hoc alterum nemo erit quin h. l. solum aptum esse censeat. Dicit enim Arrianus, Alexandrum Meneti mandasse, ut Thessalos, simulac *ad mare* pervenissent, navibus in Euboeam transvehi curaret. — Mox dedimus ex ed. Basil. ἐπὶ τριηρῶν.

13. κατέλιπε] Sic edd. vett. et quattuor codd. Gron. ἀπέλιπε cod. F., et ex eo Schmiederus. Utrumque cum defendi possit, causa nulla fuit, cur vulgatam reiiceremus. Cf. I, 17, 8 κατέλιπε δὲ τῆς μὲν ἄκρας — ἐπιμελητήν. II, 4, 3 αὐτοῦ καταλείπει. III, 16, 14 καταλιπὼν σατράπην. III, 18, 6 Κρατερὸν μὲν αὐτοῦ καταλείπει ἐπὶ τοῦ στρατοπέδου. Adde IV, 23, 9. IV, 24, 5. IV, 30, 14. VI, 20, 5. VII, 7, 3. Contra dixit I, 5, 18 πρὸς τῇ πόλει ἀπέλιπεν. III, 7, 8 τὴν φυλακὴν ἥντινα ἀπολελοίπει. III, 18, 13 Πτολεμαῖον ἀπολελοίπει αὐτοῦ. III, 29, 2 καὶ φυλακὴν ἀπέλιπε: quibus locis adde IV, 17, 4. IV, 22, 4. V, 8, 5. V, 15, 7. V, 21, 1. VI, 22, 4. Sed voluit cod. F. fortasse ὑπέλιπε, quod vide III, 19, 15 et V, 21, 7. Haec verba saepe confusa esse monuit Locella ad Xenoph. Ephes. p. 183.

καὶ ψιλοὺς ὀλίγους] Edd. ante Schmiederum φίλους ὀλίγους. Quod ex coniectura recte mutavit in ψιλούς. Vitium ex ed. Basil. in reliquas editiones transiit, ab editoribus non animadversum. Et in ed. Bas. literae φ et ψ haud raro confusae sunt. Vide ad I, 7, 11. Cf. I, 16, 1 ψιλοὶ ἀναμεμιγμένοι τοῖς ἱππεῦσιν. Ad vulgatam scripturam defendendam cave afferas III, 27, 6.

14. ἐς Ὑρκανίαν] Restitui antiquam ed. Bas. lectionem, pro qua Vulcanius nescio qua de causa substituerat Ὑρκανίδα, quamque

τῆς ἵππου τῆς ἑταιρικῆς, περὶ τὴν χώραν τὴν Καδουσίων ἐλαύνειν ἐς Ὑρκανίαν. Κλείτῳ δὲ τῷ τῆς βασιλικῆς ἴλης ἡγεμόνι ἐπέστειλεν, ἐπειδὰν ἐκ Σούσων εἰς Ἐκβάτανα ἀφίκηται (καταλέλειπτο γὰρ ἐν Σούσοις ἀῤῥωστῶν), ἀναλαβόντα τοὺς Μακεδόνας τοὺς ἐπὶ τῶν χρημάτων τότε ὑπολειφθέντας ἰέναι τὴν ἐπὶ Παρθυαίους, ἵνα καὶ αὐτὸς ἥξειν ἔμελλεν.

XX. *Αὐτὸς δὲ ἀναλαβὼν τήν τε ἵππον τῶν ἑταίρων καὶ τοὺς προδρόμους καὶ τοὺς μισθοφόρους ἱππέας ὧν Ἐρίγυιος ἡγεῖτο, καὶ τὴν φάλαγγα τὴν Μακεδονικὴν ἔξω τῶν ἐπὶ τοῖς χρήμασι ταχθέντων, καὶ τοὺς τοξότας καὶ*

---

receperant recentiores editores. Formam *Ὑρκανίαν* vide III, 19, 3. III, 23, 1, 2, 9, 11. III, 29, 5, cet. Mecum sentit Bernhardyus ad Dion. Perieg. p. 904.

15. *τοὺς ἐπὶ τῶν χρημάτων ὑπολειφθέντας*] Schmiederus e cod. F. dedit *ἐπὶ τὰ χρήματα*. Minus recte, opinor. Vide supra paragr. 13. Cf. III, 29, 2 *καὶ φυλακὴν ἀπέλιπε, καὶ ἐπὶ ταύτης Ἀρχέλαον.* VI, 27, 8 *οἱ ὑπολειφθέντες — ἐπὶ τῆς στρατιᾶς.* Nec multum differunt III, 6, 11 *ἐπὶ τῶν χρημάτων ἐτάχθη.* III, 26, 5 *ἐπὶ τῆς στρατιᾶς τεταγμένοι ἦσαν.* IV, 16, 9 *ἐπὶ τῆς βασιλικῆς θεραπείας τεταγμένος.* Dativum si praeb ret cod. F., non respuerem. Sic III, 20, 1 *τῶν ἐπὶ τοῖς χρήμασι ταχθέντων.* VII, 18, 2 *ὅσοι ἐπ' ἄλλῃ καὶ ἄλλῃ χώρᾳ τεταγμένοι ἦσαν.*

C. XX. *ὡς ἐπὶ Δαρεῖον*] Prima vox, quae in cod. F. non comparet, a Schmiedero reiecta est. At vide ann. ad I, 27, 5. II, 17, 3. VI, 7, 6. — Supra pro vulgato *Ἐριγυΐος* dedimus *Ἐρίγυιος*, iis freti quae dicta sunt ad III, 6, 8.

2. *ἐνδεκάτῃ ἡμέρᾳ*] Coniiciat quispiam *ἐν δεκάτῃ ἡμέρᾳ.* Sed iam propterea vulgata scriptura non sollicitanda videtur, quod, ut numeris cardinalibus semper fere, ita numeris ordinalibus nuspiam alibi praepositionem additam reperimus apud Arrianum. Vid. ann. ad I, 14, 9 et II, 20, 6. — Paulo ante pro vulgato *καὶ ὡς* dedimus *καὶ ὥς.*

πυλῶν ὁδόν] In ed. Basil. ex praecedentibus male repetitae leguntur ante *ὁδόν* voces *ἐς Ῥάγας.* Ceterum vide interpretes ad Curt. V, 13, 2.

3. *ἐφθάκει παρεληλυθώς*] Sic edd. vett. et quattuor codd. Gronovii. *ἐφθάκει παρελθών* Schmied. ex auctoritate codicis F. Parum consulte. Quemadmodum enim aoristo verbi *φθάνειν* semper

τοὺς Ἀγριᾶνας, ἤλαυνεν ὡς ἐπὶ Δαρεῖον. Καὶ αὐτῷ κατὰ 2
τὴν ὁδὸν σπουδῇ γιγνομένην τῶν τε στρατιωτῶν πολλοὶ κάμνοντες ὑπελείποντο καὶ ἵπποι ἀπέθνησκον· ἀλλὰ καὶ ὣς ἦγε, καὶ ἀφικνεῖται ἐς Ῥάγας ἑνδεκάτῃ ἡμέρᾳ· διέχει δὲ ὁ χῶρος οὗτος ἀπὸ τῶν Κασπίων πυλῶν ὁδὸν ἡμέρας
μιᾶς ἐλαύνοντι ὡς Ἀλέξανδρος ἦγε. Δαρεῖος δὲ ἐφθάκει 3
ἤδη παρεληλυθὼς εἴσω τῶν πυλῶν τῶν Κασπίων. Τῶν δὲ ξυμφευγόντων Δαρείῳ πολλοὶ μὲν ἀπολιπόντες αὐτὸν ἐν τῇ φυγῇ ἐπὶ τὰ αὑτῶν ἕκαστος ἀπεχώρουν, οὐκ ὀλίγοι
δὲ καὶ Ἀλεξάνδρῳ σφᾶς ἐνεδίδοσαν. Ἀλέξανδρος δὲ ὡς 4
ἀπέγνω κατὰ πόδας αἱρήσειν Δαρεῖον, μείνας αὐτοῦ πέντε

---

adiungitur participium aoristi alterius verbi, ut II, 22, 4 ὅσαι ἔφθησαν — πληρωθεῖσαι. IV, 13, 4 ἔφθη βαλών. IV, 24, 3 πρὶν φθάσαι ἀπελθόντας. V, 14, 4 φθάσαι ἀφικόμενον. V, 24, 11 ἔφθασαν ἀποφυγόντες. VI, 6, 11 ὅσοι γε μὴ ἔφθασαν ξυμφυγόντες. VI, 18, 9 ἔφθασαν δ' ἐποκείλαντες. VII, 22, 1 ἔφθη γὰρ ἐλάσας: sic etiam plusquamperfecto participium perfecti recte adiunctum videtur. Cf. Heind. ad Plat. Phaed. p. 76, D. Stallb. ad Phileb. p. 86.

ἀπεχώρουν] »Nonnulli codices et in his codex Optimus, quod etiam correxit Vulcanius.« *Gronov.* Edd. ante Gronovium et plures codd. ἐπεχώρουν. Sed cf. I, 22, 3 οἱ μὲν ἐς τὴν Ἀρκόννησον ἀπεχώρησαν. I, 27, 10 ἀλλ' ἀποχωρήσουσιν εἰς τὴν πόλιν. Verbum ἐπιχωρεῖν, ubi est *accedere*, legitur II, 21, 13 ἀπὸ τοῦ ναυτικοῦ ἐπὶ τὴν σκηνὴν ἐπεχώρει. Sententia paululum mutata dixit II, 22, 1 ξυνέβη δὲ ἀποχωρῆσαι ἐπὶ τὴν σκηνήν. Alias haud raro verbo ἀπαλλαγῆναι Arrianus usus est de *discedentibus*, *domum revertentibus*. Vide I, 17, 1 ἀπαλλάττεσθαι ἐπὶ τὰ αὑτῶν ἑκάστους. III, 28, 17 ἄλλος ἄλλῃ ἐπὶ τὰ σφῶν ἕκαστοι ἀπηλλάγησαν. VII, 27, 3 ἀπαλλαγῆναι ἐκ τοῦ πότου. Ad usum pronominis ἕκαστος praeter locos iam citatos conferas V, 23, 13 σὺν τοῖς καθ' αὑτοὺς ἕκαστοι. VII, 4, 11 οἱ δὲ παραλαβόντες ἀπῆγον τὴν ἑαυτοῦ ἕκαστος. — Pro αὑτῶν ed. Bas. αὐτῶν, et supra eadem αὐτῶν pro αὐτόν.

4. ὡς ἀπέγνω κατὰ πόδας αἱρήσειν] Ed. Basil. ὡς ἐπέγνω — αἱρήσειν. In edd. praeter Basil. legitur καταπόδας.

Ὀξοδάτην] »Pro vulgato Ὀξυδάτην scripsi Ὀξοδάτην, iubente Optimo in libro IV, 18, 3.« *Schmied.* Recte. Ibi enim quod in vulgatis est Ἐξοδάτης, aperte corruptum est.

τοῦτο αὐτὸ ἐς πίστιν ἦν] »Nonnulli codices τοῦτο αὐτῷ ἐς πί-

ἡμέρας καὶ ἀναπαύσας τὸν στρατὸν, Μηδίας μὲν σατρά-
πην ἀπέδειξεν Ὀξοδάτην Πέρσην ἄνδρα ὃς ἐτύγχανε πρὸς
Δαρείου ξυνειλημμένος καὶ ἐν Σούσοις εἰργόμενος· τοῦτο
5 αὐτὸ ἐς πίστιν ἦν πρὸς Ἀλέξανδρον. Αὐτὸς δὲ ὡς ἐπὶ
Παρθυαίους ἦγε· καὶ τῇ μὲν πρώτῃ πρὸς ταῖς Κασπίαις
πύλαις ἐστρατοπέδευσε, τῇ δευτέρᾳ δὲ εἴσω παρῆλθε τῶν
6 πυλῶν ἔστε οἰκούμενα ἦν. Ἐπισιτισάμενος δὲ αὐτόθεν,
ὅτι ἔρημον τὴν πρόσω χώραν ἤκουεν, ἐς προνομὴν ἐκπέμ-
πει Κοῖνον ξὺν ἱππεῦσί τε καὶ τῶν πεζῶν ὀλίγοις.

XXI. Καὶ ἐν τούτῳ ἀφικνεῖται παρ᾽ αὐτὸν ἀπὸ τοῦ Δαρείου στρατοπέδου Βαγιστάνης Βαβυλώνιος ἀνὴρ τῶν

στιν ἦν.« Gronov. Quod Schmiederus, ne monito quidem lectore, recepit. Sed quot sunt et quales isti codices? Et cum vulgata scriptura tum ab edd. vett., tum a codicibus, ut videtur, melioris notae confirmata habeat quo defendatur, nolui quidquam mutare. Sensus enim loci hic est: *atque hoc ipsum ei apud Alexandrum fidem conciliavit.* Cf. ann. ad II, 3, 6 et IV, 9, 14. Omnibus tamen codicibus pronominis dativum praeferentibus non exstitissem adversarius, collatis quae leguntur IV, 22, 12 *καὶ τοῦτο ἦν αὐτῷ τὸ πιστὸν πρὸς Ἀλέξανδρον.*

5. *πρὸς ταῖς Κασπίαις πύλαις*] Ed. Bas. *πρὸς τὰς Κασπ. πύλας.* — Mox eadem *παρῆλθον.*

6. *ἐπισιτισάμενος δὲ αὐτόθεν*] Sic cod. F. *αὐτόθι* edd. vett. cum ceteris codd. Gronovii. At vide I, 19, 12 *ἐκεῖθεν δὲ ἐπισιτισάμενοι αὖθις ἐπέπλεον.* III, 30, 12 *ἀναπληρώσας τὸ ἱππικὸν ἐκ τῶν αὐτόθεν ἵππων.* Thucyd. V, 52 *τῶν αὐτόθεν ξυμμάχων παραλαβών.* Cf. Popp. ad Thucyd. t. I, p. 178. Forma *αὐτόθι* per se non damnanda. V. III, 2, 5 *ἁλῶναι δὲ αὐτόθι.* V, 5, 1 *ζῶα αὐτόθι φύεται.* — Paulo infra ed. Bas. *χῶραν*, unde transiit in omnes quae eam exceperunt editiones.

C. XXI. 2. *Ναβαρζάνης τε [ὁ] χιλιάρχης*] Articulum primus adiecit Schmiederus, fortasse ex III, 23, 9. Neque ego adduci possum ut credam, eum ab Arriano ipso esse neglectum. Cum tamen ut edd. ita codd. omnes eum ignorent, uncis includi eum curavi. Vide ad I, 22, 9 et III, 11, 11.

Βαρσαέντης] »Emendavi *Βαρσαέντης* pro vulgato *Βράζας*, quod est monstrum lectionis. Idem homo III, 8, 6 vocabatur *Βαρσαέντης;* III, 21, 15 et III, 25, 14 *Βαρσαέντης*, quod reliquis locis restituere non dubitavi. Blancardus emendat *Βαρζαέντης*, ut scri-

γνωρίμων, καὶ ξὺν τούτῳ Ἀντίβηλος τῶν Μαζαίου παίδων.
Οὗτοι ἀπήγγειλαν ὅτι Ναβαρζάνης τε [ὁ] χιλιάρχης τῶν 2
ξὺν Δαρείῳ φευγόντων ἱππέων καὶ Βῆσσος ὁ Βακτρίων
σατράπης καὶ Βαρσαέντης ὁ Ἀραχώτων καὶ Δραγγῶν
σατράπης ξυνειληφότες εἶεν Δαρεῖον. Ταῦτα ἀκούσας 3
Ἀλέξανδρος ἔτι μᾶλλον ἦγε σπουδῇ, τοὺς ἑταίρους μόνους
ἔχων ἀμφ᾽ αὑτὸν καὶ τοὺς προδρόμους ἱππέας καὶ τῶν
πεζῶν τοὺς εὐρωστοτάτους τε καὶ κουφοτάτους ἐπιλεξάμενος, οὐδὲ τοὺς ἀμφὶ Κοῖνον προσμείνας ἐκ τῆς προνομῆς ἐπανελθεῖν· ἐπὶ δὲ τοῖς ὑπολειπομένοις ἐπιστήσας 4
Κρατερὸν προστάττει ἕπεσθαι μὴ μακρὰς ὁδοὺς ἄγοντα,

---

bit Curtius VI, 6, 36 et VIII, 13, 3 et Diod XVII, 24 (l. 74) *Βαρξάεις, εντος.* De varietate scripturae iam monuit Freinshemius ad Curtium VIII, 13, 3.« *Schmied.* *Βαρζαέντης* an *Βαρσαέντης* scribas, idem erit. Forma *Βράζας* ex compendio scripturae orta esse potest. — Mox pro vulg. *Δράγγων* dedimus *Δραγγῶν*. Vide ann. ad III, 25, 11.

3. *καὶ τῶν πεζῶν* —] Voces *τῶν πεζῶν* cum a cod. F. abessent, Gronovius, ut illius codicis auctoritatem incolumem servaret, coniecit *καὶ τοὺς προδρόμους καὶ τοὺς ἱππέας τοὺς εὐρωστοτάτους.* Et cum contendit, inter *προδρόμους* satis monstrari pedites qui memorentur III, 21, 12. nemo, puto, erit qui ei accedat. *Πρόδρομοι* enim apud Arrianum semper sunt equites, ut patet ex locis ad III, 12, 4 allatis. quibus adde III, 7, 13 *καὶ ἄλλοι αὖ τῶν προδρόμων προσελάσαντες*, ubi quod in fine positum est verbum *προσελάσαντες* non nisi de equitibus dictum esse potest. Ceterum in uno cod. Gronovius vidit *τοὺς ἱππέας τοὺς προδρόμους.* Ad totius enunciati constructionem conferas IV, 28, 13 *καὶ ἀπὸ τῆς ἄλλης φάλαγγος ἐπιλέξας τοὺς κουφοτάτους τε καὶ ἅμα εὐοπλοτάτους.*

4. *ἐπὶ δὲ τοῖς ὑπολειπομένοις*] Ed. Basil. *ὑπολιπομένοις*, de qua scriptura vide ann. ad IV, 17, 10. Praeterea in edd. vett. et quattuor codd. Gron. legebatur *τοῖς δὲ ὑπολειπομένοις.* Quod Schmiederum secuti dedimus, debemus cod. F. Cf. VII, 6, 7 *ἐπισταθεὶς ἐπὶ τούτοις ἡγεμών.* Vulgatae defendendae apta quis censeat haec III, 5, 7 *ἄρχειν ἐπέστησε τοῖς τοξόταις*, et V, 9, 1 *καὶ ἡγεμόνας ἐπιστήσας ἑκάστοις.* Nec, si omnes codices vulgatae faverent, esset quod obiiceretur. Vide annot. ad I, 28, 5.

προστάττει — ἄγοντα] Verbum *ἕπεσθαι* neque in edd. vett., neque in quattuor codd. Gron. comparet. Unus codd. illorum cum

Οἱ δὲ ἀμφ' αὐτὸν τὰ ὅπλα εἶχον μόνον καὶ δύο ἡμερῶν
5 σιτία. Ἐλθὼν δὲ τήν τε νύκτα ὅλην καὶ τῆς ἐπιούσης ἡμέρας μέχρι μεσημβρίας, ὀλίγον χρόνον ἀναπαύσας τὸν στρατὸν αὖθις ᾔει ὅλην τὴν νύκτα, καὶ ἅμα ἡμέρᾳ ὑποφαινούσῃ παρῆν εἰς τὸ στρατόπεδον ὅθεν ἀφωρμήκει ὀπίσω
6 Βαγιστάνης· καὶ τοὺς μὲν πολεμίους οὐ κατέλαβε. Δαρείου δὲ πέρι ἐπύθετο, αὐτὸν μὲν συνειλημμένον ἄγεσθαι ἐφ' ἁρμαμάξης, Βήσσῳ δὲ ἀντὶ Δαρείου εἶναι τὸ κράτος,

---

V. C. Vulcanii pro ἄγοντα exhibet ἄγειν. Arriani manum servavit cod. F. Cf. I, 13, 1 κατόπιν ἐπιτάξας ἕπεσθαι. III, 21, 13 ἐκέλευσε — ἐν τάξει ἕπεσθαι. III, 30, 2 κατέλιπε προστάξας ἕπεσθαι. IV, 23, 2 βάδην ἕπεσθαί οἱ ἐκέλευσεν. VI, 8, 6 οἱ δὲ πεζοὶ ἕπεσθαι αὐτῷ ἐτάχθησαν. VI, 21, 9 ἐν τάξει ἐκέλευσεν ἕπεσθαι.

5. ἐλθὼν δέ] Confer infra §. 10 καὶ διελθὼν ὁδὸν πολλὴν τῆς τε νυκτὸς καὶ τῆς ἐπὶ ταύτῃ ἡμέρας ἔστε μεσημβρίαν. IV, 29, 3 καὶ Πτολεμαῖος ἐλθὼν ὁδὸν τραχεῖάν τε καὶ δύσπορον. VI, 6, 3 διελθὼν δὲ τῆς τε ἡμέρας τὸ ἔτι ὑπολειπόμενον καὶ τὴν νύκτα ὅλην. VI, 7, 1 καὶ τὴν νύκτα διελθὼν πολλὴν ὁδὸν ἅμα ἡμέρᾳ ἀφίκετο. Quae attuli eo consilio, ut intelligas qnam diligenter variaverit orationem suam Arrianus.

ἅμα ἡμέρᾳ ὑποφαινούσῃ] Sic dixit III, 6, 1 et IV, 18, 6 ἅμα τῷ ἦρι ὑποφαίνοντι. VII, 21, 2 ἦρος δὲ ὑποφαίνοντος. Xenophon, qui similia multa habet, modo activa, modo media verbi forma usus est. Cf. Anab. III, 2, 1 ἡμέρα σχεδὸν ὑπέφαινε. IV, 2, 7 ἐπεὶ δὲ ἡμέρα ὑπέφαινε. Hist. Gr. III, 4, 16 ἐπειδὴ ἔαρ ὑπέφαινε. V, 4, 58 ὑποφαίνοντος δὲ πάλιν τοῦ ἦρος. Sed ἅμα τῷ ἦρι ὑποφαινομένῳ Hist Gr. V, 3, 1. Unde etiam Cyropaed. IV, 5, 14 vulgata ἐπεὶ δὲ ἡμέρα ὑπεφαίνετο habeat quo sese tueatur. Sed, si dicam quod sentio, scriptum malim ἐπεὶ δὲ ἡμέρα ὑπέφαινε, τὸ πρῶτον —. His a nobis prolatis adde ann. Valck. ad Herod. VIII, 83 et 130. Schaef. ad Bos. Ellips. p. 185. Heind. ad Plat. Protag. p. 470.

αὖθις ᾔει] Cod. F. αὖθις ἥκει. Perperam.

ὅθεν ἀφωρμήκει ὀπίσω] Haec est scriptura edd. vett. et quattuor codd. Gronovii. ἔνθα ὡρμήκει ὀπίσω cod. F., ex eoque Schmiederus. Male. Hoc enim esset: *quo Bagistanes se contulerat*, ut III, 17, 7 ἔνθα ᾤετο τοὺς Οὐξίους ἀποχωρήσειν. V, 2, 1 ὡς ἤδη τε ἥκειν αὐτὸς ἔνθα ἦλθε Διόνυσος. Sed dixit Arrianus hoc: *unde Bagistanes (ad Alexandrum) discesserat.* Itaque ambigi tantum potest de varia scriptura ὡρμήκει et ἀφωρμήκει. Quorum

καὶ ἡγεμόνα ὠνομάσθαι Βῆσσον πρός τε τῶν Βακτρίων ἱππέων καὶ τῶν ἄλλων ὅσοι βάρβαροι ξυνέφευγον Δαρείῳ, πλὴν Ἀρταβάζου καὶ τῶν Ἀρταβάζου παίδων καὶ τῶν Ἑλλήνων τῶν μισθοφόρων· τούτους δὲ πιστοὺς εἶναι Δα- 7
ρείῳ, καὶ εἴργειν μὲν τὰ γιγνόμενα οὐ δυνατοὺς εἶναι, ἐκτραπέντας δὲ ἔξω τῆς λεωφόρου ὁδοῦ ὡς ἐπὶ τὰ ὄρη ἰέναι κατὰ σφᾶς οὐ μετέχοντας τοῖς ἀμφὶ Βῆσσον τοῦ ἔργου. Γνώμην δὲ πεποιῆσθαι τοὺς ξυλλαβόντας Δαρεῖον, 8

---

prius verbum apud Arrianum alias eam vim non habet, quae ei h. l. tribuenda est (v. I, 17, 12. III, 21, 14. VII, 15, 3), posterius, quod sciam, alibi apud eum non reperitur. Cum autem Xenophon dixerit Hist. Gr. VII, 5, 7 *οὕτω δὴ ἀφορμήσας ἐκ τῆς Νεμέας ἀφικνεῖται ἐς τὴν Τεγέαν*, neque *ὀπίσω ἀφορμῆσαι* plus offensionis habeat, quam *ὀπίσω ἀπιέναι*, *ὀπίσω ἀποχωρῆσαι* (v. ad II, 6, 7): tutius duxi vulgatam servare, quam temere sequi codicis F. auctoritatem; praesertim cum etiam apud Xenophontem exempla verbi *ὁρμῆσαι* pro *ὁρμηθῆναι* usurpati minus certa sint, quam Kruegerus censet ad Anab. III, 4, 33.

οὐ κατέλαβε] Priorem vocem dedimus cum Schmiedero e cod. F. Edd. vett. et rell. codd. ea carent. Cf. ann. ad III, 16, 13.

6. *Δαρείου δὲ πέρι ἐπύθετο*] Edd. vett. et omnes, ut videtur, codd. Gron. *περιεπύθετο*. Verum suppeditavit cod. vet. Vulcanii. Vide Hist. Ind. III, 1 *ὅτι τῆς περιόδου πέρι ἔμελεν Ἐρατοσθένει*. V, 8 *Διονύσου πέρι πολλὸς λόγος κατέχει*. Ad verborum constructionem conferas IV, 11, 16 *εἰ δὲ ὑπὲρ Κύρου λέγεται, τὸν πρῶτον προσκυνηθῆναι ἀνθρώπων Κῦρον*. IV, 28, 2 *καὶ λόγος ὑπὲρ ταύτης κατέχει, οὐδὲ Ἡρακλεῖ ἁλωτὸν γενέσθαι τὴν πέτραν*. Paulo aliter iam habent quae leguntur IV, 13, 4 *ὑπὲρ τούτου λόγος κατέχει ὅτι ἔφθη βαλὼν τὸν σῦν ὁ Ἑρμόλαος*. — Mox ed. Basil. *συνειλημμένα* et *ὀνομάσθαι*.

Βήσσῳ δὲ — εἶναι τὸ κράτος] Sic codd. Gron. omnes et V. C. Vulcanii. *γενέσθαι* edd. vett.

7. *ἰέναι κατὰ σφᾶς*] Praepositionem, quae in edd. Vulc. et Blanc. nescio quo errore omissa erat, iam in sedem suam restituit Gronovius, suadentibus codd. Florr. et ed. Basil. Recte idem conferri iussit IV, 6, 3 *αὐτούς τι κατὰ σφᾶς νεωτερίζειν*. IV, 27, 4 *καὶ κατεστρατοπέδευσαν κατὰ σφᾶς ἐπὶ γηλόφῳ*. Est enim *ἰέναι κατὰ σφᾶς* seorsum ire, ita ut quae statim sequuntur *οὐ μετέχοντας κ. τ. λ.* quasi per epexegesin addita sint. — Infra pro *τοῖς ἀμφὶ Βῆσσον* edd. vett. et plurimi codices Gron. *τοὺς ἀμφὶ Βῆσσον*.

εἰ μὲν διώκοντα σφᾶς Ἀλέξανδρον πυνθάνοιντο, παρα-
δοῦναι Δαρεῖον Ἀλεξάνδρῳ, καὶ σφίσι τι ἀγαθὸν εὑρίσκε-
σθαι, εἰ δὲ τὸ ἔμπαλιν ἐπανεληλυθότα μάθοιεν, τοὺς δὲ
στρατιάν τε ξυλλέγειν ὅσην πλείστην δύναιντο καὶ δια-
9 *σώζειν ἐς τὸ κοινὸν τὴν ἀρχήν. Βῆσσον δὲ ἐν τῷ παρόντι*
ἐξηγεῖσθαι κατ' οἰκειότητά τε τὴν Δαρείου καὶ ὅτι ἐν τῇ
αὐτοῦ σατραπείᾳ τὸ ἔργον ἐγίγνετο. Ταῦτα ἀκούσαντι
10 *Ἀλεξάνδρῳ ἀνὰ κράτος διωκτέα ἐφαίνετο. Καὶ ἤδη μὲν*
ἐξέκαμνον οἵ τε ἄνδρες καὶ οἱ ἵπποι ἐπὶ τῇ ταλαιπωρίᾳ
τῇ ξυνεχεῖ, ἀλλὰ καὶ ὣς ἦγε· καὶ διελθὼν ὁδὸν πολλὴν
τῆς τε νυκτὸς καὶ τῆς ἐπὶ ταύτῃ ἡμέρας ἔστε ἐπὶ μεσημ-
βρίαν, ἀφικνεῖται ἔς τινα κώμην ἵνα τῇ προτεραίᾳ ἐστρα-
11 *τοπεδεύκεσαν οἱ Δαρεῖον ἄγοντες. Ἐνταῦθα ἀκούσας ὅτι*
νυκτὸς ποιεῖσθαι τὴν πορείαν ἐγνωσμένον εἴη τοῖς βαρ-

---

8. *διώκοντα σφᾶς*] Ita omnes codd. Gronovii. *διώκοντας* edd. ante Gronovium. — Supra ed. Basil. *πεποιεῖσθαι*, et mox eadem *πυνθάνοιτο*.

τὸ ἔμπαλιν] Ed. Bas. *τοὔμπαλιν*. Aeque recte. Vide ad VI, 5, 14. — Infra eadem *μάθοιε*. 𝕲𝖘 Verba *διασώζειν ἐς τὸ κοινόν*, quamquam bene interpretatus est Vulcanius: *ut communi inter se ope imperium tueantur*, ad verba tamen paulo accuratius vertit Raphelius: *servare in commune regnum*. cf. I, 7, 16 *τῶν Θηβαίων οἱ μὲν τὰ βέλτιστα ἐς τὸ κοινὸν γιγνώσκοντες ἐξελθεῖν ὥρμηντο*. II, 7, 11 *τῶν εἰς τὸ κοινὸν ξὺν λαμπρότητι ἤδη πεπραγμένων ὑπεμίμνησκε*.

9. *κατ' οἰκειότητα*] Ed. Basil. *κατοικειότητα*. Haud multo infra eadem *ἐγίνετο*.

διωκτέα ἐφαίνετο] Pluralem pro singulari saepius usurparunt Attici in certis quibusdam dicendi formulis, ut *ἀδύνατά ἐστιν*, *εὐπορώτερά ἐστιν* et simill., de quibus vide quae copiose dixit Goellerus ad Thucyd. I, 1, p. 49. Cf. ann. ad Arr. II, 26, 5. Et arctissime cum illis cohaeret usus verbalium in plurali positorum, ubi singularem exspectes. Ut hic solius Arriani memor sim, vide I, 1, 11 *καὶ ἐπειδὴ ἐδόκει διακινδυνευτέα*. I, 24, 1 *καὶ τούτων ἔγνω οὐκ ἀμελητέα εἶναι*. II, 26, 8 *αὐτῷ δὲ σοὶ φυλακτέα ἐστίν*. VI, 19, 5 *ἔφασκον ὁρμιστέα εἶναι*.

10. *ἐπὶ τῇ ταλαιπωρίᾳ*] Sic Schmiederus e cod. F. *ὑπὸ τῇ ταλαιπωρίᾳ* edd. vett. et quattuor codd. Gronovii. Minus apte. Hoc enim foret: ***inter continuatum itineris laborem***, uti dixit V, 2, 9 *ὑπὸ*

βάροις, ἤλεγχε τοὺς προσχώρους εἰ δή τινα εἰδεῖεν ἐπι-
τομωτέραν ὁδὸν ἐπὶ τοὺς φεύγοντας. Οἱ δὲ εἰδέναι μὲν
ἔφασαν, ἐρήμην δὲ εἶναι τὴν ὁδὸν δι' ἀνυδρίαν. Ὁ δὲ 12
ταύτην ἄγειν ἐκέλευσε· καὶ γνοὺς ὅτι οὐχ ἕψονται οἱ πεζοὶ
αὐτῷ σπουδῇ ἐλαύνοντι, τῶν μὲν ἱππέων ἐς πεντακοσίους
κατεβίβασεν ἀπὸ τῶν ἵππων· τοὺς ἡγεμόνας δὲ τῶν πεζῶν
καὶ τῶν ἄλλων ἐπιλεξάμενος τοὺς κρατιστεύοντας ἐπιβῆ-
ναι τῶν ἵππων ἐκέλευσεν οὕτως ὅπως οἱ πεζοὶ ὡπλισμέ-
νοι ἦσαν. Νικάνορα δὲ τὸν τῶν ὑπασπιστῶν ἡγεμόνα 13
καὶ Ἄτταλον τὸν τῶν Ἀγριάνων κατὰ τὴν ὁδὸν ἥντινα οἱ
ἀμφὶ Βῆσσον προὐκεχωρήκεσαν, τοὺς ὑπολειφθέντας ἄγειν
ἐκέλευσε, καὶ τούτους ὡς κουφότατα ἐσταλμένους, τοὺς δὲ
ἄλλους πεζοὺς ἐν τάξει ἕπεσθαι. Αὐτὸς δὲ ἀμφὶ δείλην 14
ἄγειν ἀρξάμενος δρόμῳ ἡγεῖτο· διελθὼν δὲ τῆς νυκτὸς

τῇ κατακλίσει τοῦ θεοῦ κατασχεθῆναι. VI, 11, 4 καὶ οὕτω σχεθῆναι τὸ αἷμα ὑπὸ τῇ λειποψυχίᾳ. Sed hoc dicere voluisse videtur Arrianus: *ei quamvis ut viri, ita equi ob continuatum itineris laborem defatigati essent, tamen progrediebatur.* II, 18, 9 ἐπ' ἐργασίᾳ μᾶλλον ἢ ὡς ἐς μάχην ἐσταλμένοι. III, 24, 3 καὶ μάχιμοι ἐπὶ τῇ πενίᾳ ἦσαν. IV, 12, 2 σιγῆς γενομένης ἐπὶ τοῖς λόγοις. VI, 14, 7 ἐπὶ τῇ διατριβῇ τῇ ἐκ τοῦ τραύματος. VII, 18, 11 ὅτι ἐπὶ τῇ τελευτῇ ἐθειάσθη. VII, 27, 3 ἐπὶ τῇ ὀδύνῃ ἀπαλλαγῆναι ἐκ τοῦ πότου. Ne quis coniiciat ὑπὸ τῆς ταλαιπωρίας, conferantur quae diximus ad I, 21, 8. — Infra dedimus καὶ ὡς pro vulg. καὶ ὥς ex edd. Basil. Vulc. Blanc.

12. οὕτως ὅπως — ἦσαν] Ed. Vulc. οὕτως ὥσπερ. Quod mirum sane videatur, cum omnes codd. Gronovii et V. C. atque ed. Basil. formam ὅπως tueantur. Si exemplis opus est, vide III, 11, 1 οὕτως ὅπως τὴν ἀρχὴν ἐτάξαντο, et quae dedimus ad IV, 2, 10.

13. ἥντινα οἱ ἀμφὶ Βῆσσον] Articulo, quem suppeditant codd. Gron., V. C. Vulcanii et ed. Basil., carent edd. Vulc. et Blanc.

14. ἐπιτυγχάνει τοῖς βαρβάροις] Nonnulli codd. Gronovii προστυγχάνει, quod cum alibi apud Arrianum non reperiatur, non admittendum. Alii codd. et edd. vett. τυγχάνει. Solus cod. F. ἐπιτυγχάνει. Recte. Dicit enim Arrianus aut ἐντυχεῖν, aut ἐπιτυχεῖν, quorum hoc vide II, 22, 2. II, 27, 9. VI, 24, 7. cet., illud II, 10, 7. II, 13, 11. III, 16, 9. III, 23, 12. Qui habent τυγχάνει, non absque omni ratione id scripserunt. Nam II, 11, 6 legitur

σταδίους ἐς τετρακοσίους, ὑπὸ τὴν ἕω ἐπιτυγχάνει τοῖς βαρβάροις ἀτάκτως ἰοῦσι καὶ ἀνόπλοις, ὥστε ὀλίγοι μέν τινες αὐτῶν ὡς ἀμυνούμενοι ὥρμησαν, οἱ δὲ πολλοὶ εὐθὺς ὡς Ἀλέξανδρον αὐτὸν κατεῖδον, οὐδὲ ἐς χεῖρας ἐλθόντες ἔφευγον· καὶ οἱ τραπέντες ἐς ἀλκὴν ὀλίγων πεσόντων
15 καὶ οὗτοι ἔφυγον. Βῆσσος δὲ καὶ οἱ ξὺν αὐτῷ τέως μὲν ἐφ᾽ ἁρμαμάξης Δαρεῖον μετὰ σφῶν ἐκόμιζον· ὡς δὲ ὁμοῦ ἤδη ἦν Ἀλέξανδρος, Δαρεῖον μὲν Ναβαρζάνης καὶ Βαρσαέντης κατατρώσαντες αὐτοῦ ἀπέλιπον, αὐτοὶ δὲ ἔφυγον
16 ξὺν ἱππεῦσιν ἑξακοσίοις. Δαρεῖος δὲ ἀποθνήσκει ὀλίγον ὕστερον ἐκ τῶν τραυμάτων πρὶν ὀφθῆναι Ἀλεξάνδρῳ.

ἔστε μὲν ὁμαλοῖς χωρίοις — ἐτύγχανεν, nulla scripturae discrepantia enotata, quamquam pronum est corrigere *ἐνετύγχανεν*, praesertim cum statim sequatur *ὡς δὲ φάραγξι — ἐνέκυρσεν*.

ἀνόπλοις] Eandem hanc adiectivi formam vide III, 14, 8. VI, 6, 5. De hac et altera forma *ἄοπλος* vide Lobeck. ad Phryn. p. 729. Similiter semper dixit Arrianus *ἄνυδρος* et *ἀνυδρία*, ut III, 3, 5. III, 21, 11. VI, 6, 1. VI, 6, 4. Quae reliqua reperiuntur apud eum adiectiva cum *α* privativo composita omnia ita sunt comparata, ut *ν* interposito carere vix possint. Sunt enim fere haec: *ἀνώνυμος* I, 19, 5. *ἀνύποπτος* II, 4, 15. *ἀνώμαλος* III, 8, 12. VI, 24, 8. *ἀνεπιεικής* III, 22, 3. IV, 21, 16. *ἀνάξιος* IV, 11, 2. *ἀνάλωτος* IV, 18, 6. *ἀνόνητος* V, 26, 6. *ἀνέλπιστος* VI, 13, 5. *ἄναυδος* VII, 25, 12.

15. *Ναβαρζάνης καὶ Βαρσαέντης*] Vulgo *Σατιβαρζάνης*. Schmiederus ad h. l.: »nomen, inquit, Satibarzanis alieno loco est. Erat Ariorum satrapa, nec fuit comes Darii fugientis. (cf. III, 8, 6. III, 25, 3. III, 28, 3. E.) Legendum est *Ναβαρζάνης*. Hic enim coniunctim cum Besso et Barsaente in principio huius capitis inter insidiatores Darii nominatur, nec Curtius V, 9, 19. de alio quam Nabarzane loquitur. Si vero codices iuvarent, mallem scribere *Βῆσσος*. Is enim III, 30, 7 inter occisores Darii numeratur; et Nabarzanes se dedit Alexandro (III, 23, 9), nec eum poenam necis dedisse reperitur.« Sane ita Arriano scriptum esse potest. Sed quis est qui hodie accurate definiat, quid in talibus a scriptore ipso, quid a librariis peccatum sit? Ceterum confer quae de morte Darii narrant Diod. Sic. XVII, 73 et Curt. V, 3, 17.

C. XXII. *ἐν ταῖς βασιλικαῖς θήκαις*] Paulo aliter haec narrat Plutarch. vit. Alex. c. XLIII *τότε δὲ τοῦ Δαρείου τὸ μὲν σῶμα*

XXII. Ἀλέξανδρος δὲ τὸ μὲν σῶμα τοῦ Δαρείου ἐς Πέρσας ἔπεμψε, θάψαι κελεύσας ἐν ταῖς βασιλικαῖς θήκαις καθάπερ καὶ οἱ ἄλλοι οἱ πρὸ Δαρείου βασιλεῖς. Σατράπην δὲ ἀπέδειξε Παρθυαίων καὶ Ὑρκανίων Ἀμμινάπην Παρθυαῖον· ἦν δὲ οὗτος τῶν Αἴγυπτον ἐνδόντων Ἀλεξάνδρῳ μετὰ Μαζάκου. Τληπόλεμος δὲ Πυθοφάνους τῶν ἑταίρων ξυνετάχθη αὐτῷ σκοπεῖν τὰ ἐν Παρθυαίοις τε καὶ Ὑρκανίοις. Τοῦτο τὸ τέλος Δαρείῳ ἐγένετο ἐπὶ ἄρχοντος Ἀθηναίοις Ἀριστοφῶντος μηνὸς Ἑκατομβαιῶνος, ἀνδρὶ τὰ μὲν πολέμια εἴπερ τινὶ ἄλλῳ μαλθακῷ τε καὶ οὐ φρενήρει, εἰς δὲ τὰ ἄλλα οὐδὲν ἀνεπιεικὲς ἔργον ἀπο-

(margin: 2 at "Σατράπην", 3 at "Τοῦτο")

κεκοσμημένον βασιλικῶς πρὸς τὴν μητέρα ἀπέστειλε, τὸν δ' ἀδελφὸν Ἐξάθρην (? Ὀξάθρην, v. Diod. Sic. XVII, 34. 77. Curt. III, 11, 8) εἰς τοὺς ἑταίρους ἀνέλαβεν. Diodorus Sic. XVII, 71 de illis *βασιλικαῖς θήκαις* haec habet: ἐν δὲ τῷ πρὸς ἀνατολὰς μέρει τῆς ἄκρας τέτταρα πλέθρα διεστηκὸς ὄρος ἐστὶ τὸ καλούμενον βασιλικόν, ἐν ᾧ τῶν βασιλέων ὑπῆρχον οἱ τάφοι. Vide, si plura cupis, Heeren. de polit. I, 1, p. 246 sq. Baehr. ad Ctes. Reliqq. p. 137 sqq.

2. Ἀμμινάπην] »Mss. vel Ἀμμινάτην, vel Ἀμινάπην, vel Ἀμμινάπην, quod ipsum notat Vulcanius ex V. C., quomodo etiam Optimus, et sic videntur priores syllabae congruere τῷ *Aminadab*.« *Gronov.* Edd. vett. Ἀμμυνάπην. Vide Freinsh. ad Curt. VI, 4, 25, ubi idem homo *Menapis* vocatur.

μετὰ Μαζάκου] Edd. Basil. et Vulc. *Μαζαίου.* Blancardus primus dedit *Μαζάκου*, monente Freinsh. ad Curt. VI, 4, 25. Cf. III, 1, 3 Μαζάκης δὲ ὁ Πέρσης, ὃς ἦν σατράπης Αἰγύπτου, ἐδέχετο ταῖς πόλεσι φιλίως Ἀλέξανδρον. *Mazaeum* quem h. l. male induxerunt, memoratum vide III, 7, 2 sq. III, 16, 6. VII, 18, 1.

Τληπόλεμος δὲ Πυθοφάνους] Ita omnes edd. ante Schmiederum, qui de suo dedit ὁ *Πυθοφάνους*. Sed hac accessione non opus esse iam demonstravimus ad II, 15, 3. — Mox verba σκοπεῖν τὰ ἐν Παρθυαίοις recte ita interpretatus est Vulcanius: *adiunxit — qui rerum Parthicarum curam gereret.* Eadem fere ratione Arriano dictum videtur ἐπίσκοπος III, 5, 4 et III, 28, 7 τῶν δ' ἑταίρων Νειλόξενον τὸν Σατύρου ἐπίσκοπον σὺν τῇ στρατιᾷ ἀπολιπών.

3. ἐπὶ ἄρχοντος Ἀριστοφῶντος] In archontis nomine Diodorum cum Arriano consentire monuit iam Wessel. ad Diod. Sic. XVII, 62. Vide Clintoni Fast. Hellen. p. 166, ed. Krueg.

καὶ οὐ φρενήρει] Poeticum hoc vocabulum, quo abstinuisse

4 δειξαμένῳ ἢ οὐδὲ ἐγγενόμενον αὐτῷ ἀποδείξασθαι· ὅτι ὁμοῦ μὲν εἰς τὴν βασιλείαν παρελθεῖν, ὁμοῦ δὲ προσπολεμεῖσθαι πρός τε Μακεδόνων καὶ τῶν Ἑλλήνων ξυνέβη· οὔκουν οὐδὲ ἐθέλοντι ἐξῆν ἔτι ὑβρίζειν ἐς τοὺς ὑπηκόους,
5 ἐν μείζονι κινδύνῳ ἤπερ ἐκεῖνοι καθεστηκότι. Ζῶντι μὲν δὴ ξυμφοραὶ αὐτῷ ἄλλαι ἐπ᾽ ἄλλαις ξυνηνέχθησαν, οὐδέ τις ἀνακωχὴ ἐγένετο, ἐπειδὴ πρῶτον ἐς τὴν ἀρχὴν παρῆλ-
6 θεν. Ἀλλὰ εὐθὺς μὲν τὸ τῶν σατραπῶν ἐπὶ Γρανικῷ πταῖσμα ξυνέβη τὸ ἱππικὸν, εὐθὺς δὲ Ἰωνία τε καὶ Αἰολὶς εἴχοντο καὶ Φρύγες ἀμφότεροι καὶ Λυδία καὶ Κᾶρες πλὴν Ἁλικαρνασσέων, ὀλίγον δὲ ὕστερον καὶ Ἁλικαρνασσὸς

---

videtur Xenophon, Arrianus ut plura alia ex Herodoto desumsisse potest, apud quem legitur III, 35 Πρηξάσπεα δὲ ὁρέοντα ἄνδρα οὐ φρενήρεα. IX, 55 μαινόμενον καὶ οὐ φρενήρεα καλέων ἐκεῖνον.

5. ξυμφοραὶ ** ξυνηνέχθησαν] Sic edd. vett. praeter Basil., in qua est ξυνετάχθησαν, sic quoque quattuor codd. Gronovii. Schmiederus, quaelibet librariorum purgamenta consectans (ut verbis utar cl. Lobeckii ad Phryn. p. 140) e cod. F. dedit ξυνήχθησαν. Sed vereor ut Arrianus hanc scripturam agnoscat. Vide modo IV, 14, 8 τοῖς ἀμφὶ Κλεῖτον ξυνενεχθεῖσιν. IV, 22, 3 τὸ ἀμφὶ Καλλισθένην — πάθημα Ἀλεξάνδρῳ ξυνηνέχθη. VI, 25, 7 ξυνηνέχθη δὲ τῇ στρατιᾷ καὶ ἄλλο πάθημα. VI, 26, 7 ξυνηνέχθη δέ τι τοιόνδε τῇ στρατιᾷ. VII, 4, 4 καὶ αἱ ἐν Γαδρωσίοις δὲ αὐτῷ ξυμφοραὶ ξυνενεχθεῖσαι. Eadem verba confusa vide V, 22, 8.

6. Αἰολίς] Ed. Basil. Αἰολείς, ut mox eadem Κάρες. Pro Ἁλικαρνασσέων nonnulli codices peioris notae dant Ἁλικαρνασσαίων, monente Gronovio ad II, 5, 4. — Paulo infra ed. Bas. habet ἡ παραλία πᾶσά τε, fortasse ex vicino ἔστε ortum.

7. ἡ αὐτοῦ ἐπ᾽ Ἰσσῷ ἧσσα] cf. II, 13, 6 ἀγγελία ἔρχεται τῆς μάχης τῆς πρὸς Ἰσσῷ γενομένης. II, 20, 3 ἐπεὶ τὴν ἧσσαν τὴν κατ᾽ Ἰσσὸν ἐπύθοντο. III, 6, 10 τῆς μάχης τῆς ἐν Ἰσσῷ γενομένης. Praeterea memoratu non indignum, in ed. Basil. non ἧσσα, sed ἧττα expressum esse, quod si non praestat, certe altera forma non deterius est. Sic II, 13, 6 et V, 23, 6 omnes edd. habent τῆς ἥττης. Vide quoque ann. ad III, 10, 6.

ἔφυγέ τε ἐν πρώτοις] Sic Schmiederus e cod. F. ἔφυγέ τε καὶ ἐν πρώτοις edd. vett. cum rell. codd. Gronovii.

πλείστην τοῦ βαρβαρικοῦ γένους] Edd. vett. et quattuor codd. Gron. πλείστην παντὸς τοῦ β. γένους. Solus cod. F., quem hic

ἐξήρτητο, ἐπὶ δὲ ἡ παραλία πᾶσα ἔστε ἐπὶ τὴν Κιλικίαν.
Ἐνθένδε ἡ αὐτοῦ ἐπ' Ἰσσῷ ἧσσα, ἵνα τήν τε μητέρα αἰχ- 7
μαλωτισθεῖσαν καὶ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐπεῖδεν·
ἐπὶ τῷδε Φοινίκη τε ἀπώλετο καὶ Αἴγυπτος πᾶσα· ἐπὶ
δὲ αὐτὸς ἐν Ἀρβήλοις ἔφυγέ τε ἐν πρώτοις αἰσχρῶς καὶ
στρατιὰν πλείστην τοῦ βαρβαρικοῦ γένους ἀπώλεσε· φυ- 8
γάς τε ἐκ τούτου τῆς αὐτοῦ ἀρχῆς πλανώμενος καὶ τε-
λευτῶν πρὸς τῶν ἀμφ' αὐτὸν ἐς τὰ ἔσχατα προδοθείς,
βασιλεύς τε ἐν τῷ αὐτῷ καὶ δεσμώτης ξὺν ἀτιμίᾳ ἀγόμε-
νος, τέλος δὲ πρὸς τῶν οἰκειοτάτων ἐπιβουλευθεὶς ἀπώ-
λετο. Ζῶντι μὲν Δαρείῳ τοιαῦτα ξυνηνέχθη, τελευτήσαντι 9

---

verae lectionis auctorem iudico, vocabulum *παντός* ignorat. Nimirum hoc sine dubio dicit Arrianus: *et plurimum gentis barbaricae exercitum perdidit.*

8. *ἐς τὰ ἔσχατα*] »Opt. *πρὸς τὰ ἔσχατα.* Et placet Arriano interdum eandem praepositionem iterare variante sensu. Sic in eadem voce ludit VII, 14, 5 *πρίν γε δὴ πρὸς βίαν ἀπηνέχθη πρὸς τῶν ἑταίρων.*« *Gronov.* Vid. ann. ad I, 25, 5. Recepit scripturam cod. F. Schmiederus. Equidem vulgatam retinui tum propter similem dicendi formulam *ἐς ἔσχατον κινδύνου* IV, 4, 4. IV, 4, 16, coll. ann. Siebel. ad Paus. I, 6, 6; tum quod sic semper dixit Xenophon, ut Hist. Gr. V, 4, 33 *καὶ ἠνίασε μὲν ἐς τὰ ἔσχατα Ἀρχίδαμον.* Laced. rpbl. I, 2 *καὶ εἰς τὰ ἔσχατα μάλα σοφὸν ἡγοῦμαι.* Non multum differt Arr. II, 15, 6 *ἐς τὰ μάλιστα.*

9. *ὁπρία*] Ita edd. Basil. et Vulc. *ὁποῖα* cett. edd. Eundem errorem ed. Basil. notavimus VI, 20. 7.

τροφή τε Ἀλεξάνδρου] »In hoc conspirant editi omnes. Suppleri quidem potest *βασιλεύοντος*, sed durum hoc. Vix dubito quin legendum sit *παρ' Ἀλεξάνδρου.*« *Schmied.* Ita dicere potuisse Arrianum nemo erit qui neget. Sed revera ita eum scripsisse nemo erit qui credat. Genitivi enim notio et usus apud Graecos tam varius est et late patens, ut quae eo significari possint, quae non, dicere vix habeas. Vide Schaef. ann. ad Eurip. Orest. v. 442, ed. Porson. Sic etiam Arrianus genitivum saepe nudum ponit, ubi etiam praepositioni locus esset. Vide I, 17, 12 *ὁ ἀπὸ τῶν ὀλίγων φόβος*, coll. V, 19, 10 *Ἀλεξάνδρου φόβος.* II, 12, 12 *τῆς ἐς τὰς γυναῖκας οἰκτίσεως*, coll. II, 15, 4 *κατοικτίσει τῶν Θηβῶν.* V, 12, 5 *ἡ ἐπιχείρησις ἡ εἰς τὴν διάβασιν*, coll. V, 11, 2 *τῆς διαβάσεως τὴν ἐπιχείρησιν.* V, 12, 5 *τῷ κτύπῳ τῷ ἀπὸ τῶν ὅπλων*, coll. VI,

δὲ ταφή τε ἡ βασιλική, καὶ τῶν παίδων ὁποία καὶ βασιλεύοντος αὐτοῦ τροφή τε Ἀλεξάνδρου καὶ παίδευσις, καὶ γαμβρὸς Ἀλέξανδρος. Ὁπότε δὲ ἐτελεύτα, ἐγεγόνει ἀμφὶ τὰ πεντήκοντα ἔτη.

XXIII. Ἀλέξανδρος δὲ τοὺς ὑπολειφθέντας ἐν τῇ διώξει τῆς στρατιᾶς ἀναλαβὼν ἐς Ὑρκανίαν προὐχώρει.
2 Κεῖται δὲ ἡ Ὑρκανία χώρα ἐν ἀριστερᾷ τῆς ὁδοῦ τῆς ἐπὶ Βάκτρα φερούσης· καὶ τῇ μὲν ὄρεσιν ἀπείργεται δασέσι καὶ ὑψηλοῖς, τῇ δὲ πεδίον αὐτῆς καθήκει ἔστε ἐπὶ τὴν
3 μεγάλην τὴν ταύτῃ θάλασσαν. Ταύτην δὲ ἦγεν ὅτι ταύτῃ τοὺς ξένους τοὺς ἀμφὶ Δαρεῖον διαπεφευγέναι ἐς τὰ τῶν Ταπύρων ὄρη ἐπύθετο, καὶ αὐτοὺς ἅμα τοὺς Ταπύρους

3, 5 *κτύπος τῆς εἰρεσίας.* De formulis *ὁ τοῦ λόγου κόσμος* et *ὁ παρὰ τοῦ λόγου κόσμος* vide Wernsd. ad Himer. p. 369. Adde ann. ad VI, 20, 4. De duplici genitivo ab uno substantivo pendente multi multa scripserunt. Vide modo int. ipp. ad Soph. Aiac. v. 54. Buttm. ad Soph. Philoct. v. 751. Schaef. ad Demosth. t. I, p. 237. Reisig. ad Soph. Oed. Col. v. 280, 309. Fritzsch. Qu. Lucc. p. 111 sq.

C. XXIII. 2. *τῇ μὲν — τῇ δὲ πεδίον*] Edd. vett. cum quattuor codd. Gronovii *τῇ μὲν — τὸ πεδίον δέ.* Minus concinne. Quod Schmiederum secuti dedimus, debemus cod. F. Cf. I, 5, 21 *τῇ μὲν γὰρ πρὸς τοῦ ποταμοῦ ἀπειργόμενα — τῇ δὲ ὄρος ὑπερύψηλον ἦν.*

3. *τοὺς ἀμφὶ Δαρεῖον*] Sic cod. F. Quattuor codd. Gronovii et edd. vett. *τοὺς ἐπὶ Δαρεῖον.* »Occurrit haec locutio et apud Polyb. I, 84 *ἀντιπαράγειν ἐν τοῖς ὑπαίθροις καὶ τηρεῖν τοὺς ἐπὶ τὸν Ἀμίλκαν*, et Ioseph. VI, p. 923 *οἱ ἐπὶ τὸν Ἰωάννην.* Quibus exemplis etsi defendatur vulgatum, quod a mss. quoque stabilitur, tanti tamen ea omnia non sunt, ut non tum antiquiorem tum fideliorem ducam Opt. ms., in quo habetur *τοὺς ἀμφὶ Δαρεῖον.* Ergo id reposui.« *Gronov.* Similem librariorum errorem notavi I, 5, 3. Lectionem quam recepimus, solam esse veram testimonia arguunt ad III, 14, 4 allata. Verba Iosephi et Polybii a Gronovio adscripta partim falsa, partim aliter explicanda sunt. cf. Walz. Epist. crit. ad Boisson. p. 68.

ἐπὶ τὰ τῶν Ταπύρων ὄρη] »Vulgo legitur *ἐς τὰ τῶν Πάγρων* et *ἅμα τοὺς Πάγρους.* Iam Blancardus vidit istud nomen huc non convenire, et quia liber Gandensis habebat *Μάργων ὄρη*, scribi vult *Μάρδων* et *Μάρδους*: sed in hos movet Alexander serius.

χειρωσόμενος. Τριχῇ δὲ διελὼν τὸν στρατὸν αὐτὸς μὲν 4
τὴν ἐπιτομωτάτην καὶ χαλεπωτάτην ἡγήσατο, τὸ πλεῖστον
καὶ ἅμα τὸ κουφότατον τῆς δυνάμεως ἄγων. Κρατερὸν 5
δὲ τήν τε αὑτοῦ τάξιν ἔχοντα καὶ τὴν Ἀμύντου καὶ τῶν
τοξοτῶν ἔστιν οὓς καὶ ὀλίγους τῶν ἱππέων ἐπὶ Ταπύρων
ἔστειλεν. Ἐρίγυιον δὲ τούς τε ξένους καὶ τὴν λοιπὴν ἵπ- 6
πον ἀναλαβόντα τὴν λεωφόρον τε καὶ μακροτέραν ἡγεῖσθαι
ἐκέλευσε, τὰς ἁμάξας καὶ τὰ σκευοφόρα καὶ τὸν ἄλλον
ὅμιλον ἄγοντα. Ὑπερβαλὼν δὲ τὰ πρῶτα ὄρη καὶ κατα- 7
στρατοπεδεύσας αὐτοῦ, ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ
τῆς Μακεδονικῆς φάλαγγος τοὺς κουφοτάτους καὶ τῶν
τοξοτῶν ἔστιν οὓς, ᾔει χαλεπὴν ὁδὸν καὶ δύσπορον, φύ-

Emendavi *Ταπούρων* et *Ταπούρους*. Mox enim mittitur Craterus in Tapuros (§. 5), Alexandro in Hyrcaniam ipsam movente. Ibi cum Alexander moraretur, redit ad eum Craterus, Tapurorum finibus et vi et conditione subiectis, Graecis vero non repertis. (§. 12). Paulo post denique ad Alexandrum veniunt Autophradates Tapurorum satrapa et cum eo Graecorum legati deditionem offerentes (§. 13). Quibus omnibus coniectura mea firmatur.« *Schmied.* Expeditionem in Mardos, Tapuris a Cratero iam subiectis, susceptam esse ab Alexandro, etiam inde apparet quod inter milites quos in Mardos duxit, Amyntae *τάξις* memoratur quam antea Cratero dederat. Probavimus igitur Schmiederi coniecturam, nisi quod pro *Ταπούρων* et *Ταπούρους* scripsimus *Ταπύρων* et *Ταπύρους*, iis freti quae dicta sunt ad III, 8, 7.

5. *τὴν αὑτοῦ τάξιν*] Ed. Bas. *τὴν αὐτοῦ*, unde in plurimas recentiores editiones transiit. Schmiederus demum correxit. — Mox rursus edi curavimus *Ταπύρων*.

6. *Ἐρίγυιον δέ*] Edd. *Ἐριγύϊον δέ*.

7. *ὡς μὴ ἐπίθοιντο*] Edd. *ὡς μὴ ἐπιθοῖντο*. Ad finem indicandum semper fere sic utitur Arrianus *ὡς μή*, ut Latini *ut ne*. Vide I, 19, 11 *τὸν λιμένα ἐφύλαττε τῶν Μιλησίων, ὡς μὴ βιάσαιντο οἱ βάρβαροι τὸν ἔσπλουν*. II, 8, 7 *παρήγγελτο μὴ ἀπολείπειν —, ὡς μὴ κυκλωθεῖεν*. II, 22, 3 *ἔταξεν, ὡς μὴ — ἐκπλεύσειαν*. IV, 26, 2 *ὡς εἰ τροπὴ γίγνοιτο —, μὴ — διασώζοιντο*. IV, 27, 11 *φυλακὴν καταλιπόντα —, ὡς μὴ ἄδεια εἴη*. V, 12, 7 *ἐπέρα, ὡς μὴ πρόσθεν ὀφθεῖεν*. VII, 14, 18 *καὶ τοῦτο δὲ δρᾶσαι, — ὡς μὴ ἐφήδεσθαι δοκοίη*. cf. ad I, 8, 3.

λακας τῶν ὁδῶν καταλιπὼν ἵνα σφαλερόν τι αὐτῷ ἐφαί-
νετο, ὡς μὴ τοῖς ἑπομένοις κατ' ἐκεῖνο ἐπίθοιντο οἱ τὰ
8 ὄρη ἔχοντες τῶν βαρβάρων. Αὐτὸς δὲ μετὰ τῶν τοξοτῶν
διελθὼν τὰ στενὰ ἐν τῷ πεδίῳ κατεστρατοπέδευσε πρὸς
9 ποταμῷ οὐ μεγάλῳ. Καὶ ἐνταῦθα ὄντος αὐτοῦ, Ναβαρ-
ζάνης τε ὁ Δαρείου χιλιάρχης καὶ Φραταφέρνης ὁ Ὑρκα-
νίας τε καὶ Παρθυαίων σατράπης καὶ ἄλλοι τῶν ἀμφὶ
Δαρεῖον Περσῶν οἱ ἐπιφανέστατοι ἀφικόμενοι παρέδοσαν
10 σφᾶς αὐτούς. Ὑπομείνας δὲ ἐν τῷ στρατοπέδῳ τέσσαρας
ἡμέρας ἀνέλαβε τοὺς ὑπολειφθέντας κατὰ τὴν ὁδόν, τοὺς
μὲν ἄλλους ἀσφαλῶς διελθόντας, τοῖς δὲ Ἀγριᾶσιν ὀπι-
σθοφυλακοῦσιν ἐπέθεντο οἱ ὄρειοι τῶν βαρβάρων· καὶ
11 μεῖον ἔχοντες τῷ ἀκροβολισμῷ ἀπηλλάγησαν. Ἄρας δὲ
ἐντεῦθεν προῄει ὡς ἐφ' Ὑρκανίας εἰς Ζαδράκαρτα πόλιν
12 Ὑρκανίων. Καὶ ἐν τούτῳ οἱ περὶ Κρατερὸν ξυνέμιξαν
αὐτῷ, τοῖς μὲν ξένοις τοῖς Δαρείου οὐκ ἐντετυχηκότες, τὴν

---

9. *καὶ ἄλλοι τῶν ἀμφὶ Δαρεῖον*] Sic recte Schmiederus e cod. F. In edd. vett. et quattuor codd. Gron. male omissum est *ἄλλοι*. Quamquam Vulcanius in interpretatione bene sic habet: *et alii quidam Persarum qui apud Darium illustriore loco fuerant.* Nimirum cum Nabarzanes et Phrataphernes et ipsi *τῶν Περσῶν ἐπιφανέστατοι* essent et usque ad Darii mortem a partibus eius stetissent, id ab Arriano nisi addita voce *ἄλλοι* indicari non potuit. — Pro vulgato *Φραδαφέρνης* recte exprimi iussit Schmiederus *Φραταφέρνης*, quae huius nominis forma legitur III, 8, 7. III, 28, 4. IV, 7, 2. IV, 18, 2. V, 20, 11. VI, 27, 7. VII, 6, 7. Supra pro *Ναβαρζάνης* ed. Bas. habet *Ναβράζανης*.

10. *τοὺς μὲν ἄλλους — ἐπέθεντο*] Similem constructionis enallagen vide V, 18, 6 *ὡς κατεῖδε τοὺς μὲν πεπτωκότας, τοὺς δὲ πεπλανημένους, — τῶν δὲ πεζῶν οἱ πλείους ἀπολώλεσαν.* cf. ann. ad IV, 9, 4 et IV, 21, 17.

καὶ μεῖον ἔχοντες] Recte quidem, sed non ita ad verbum interpretes: *iaculis repulsi sese receperunt.* cf. I, 2, 11 *καὶ ἔστε μὲν ἀκροβολισμὸς παρ' ἑκατέρων ἦν, οἱ Τριβαλλοὶ οὐ μεῖον εἶχον.* IV, 29, 6 *καὶ μεῖον σχόντες οἱ βάρβαροι ἐν τῷ ἀκροβολισμῷ.* Simile est quod habes III, 8, 13 *ὅτι ἄρα ἐμειονέκτησε τῶν χωρίων τῇ στενότητι.*

13. *Ἀριοβαρζάνης*] Schmiederus e cod. F. et uno alio codd. Gronovii. *Ἀριβαρζάνης* edd. vett. cum rell. codd. cf. III, 8, 8. Vera

χώραν δὲ ὅσην διαπεπορευμένοι ἦσαν, τὴν μὲν βίᾳ, τὴν
δὲ ἐνδιδόντων τῶν κατοικούντων προσπεποιημένοι. Ἐν- 13
ταῦθα καὶ Ἐρίγυιος ἧκε ξὺν τοῖς σκευοφόροις καὶ ταῖς
ἁμάξαις. Ὀλίγον δὲ ὕστερον Ἀρτάβαζος ἀφίκετο παρ'
Ἀλέξανδρον, καὶ τῶν παίδων αὐτοῦ Κωφὴν καὶ Ἀριοβαρ-
ζάνης καὶ Ἀρσάμης, καὶ ξὺν τούτοις παρὰ τῶν ξένων τῶν
ξὺν Δαρείῳ πρέσβεις καὶ Αὐτοφραδάτης ὁ Ταπύρων σα-
τράπης. Αὐτοφραδάτῃ μὲν δὴ τὴν σατραπείαν ἀπέδω- 14
κεν, Ἀρτάβαζον δὲ καὶ τοὺς παῖδας ἅμα οἷ ἐν τιμῇ ἦγε,
τά τε ἄλλα ἐν τοῖς πρώτοις Περσῶν ὄντας καὶ τῆς ἐς
Δαρεῖον πίστεως ἕνεκα. Τοῖς πρέσβεσι δὲ τῶν Ἑλλήνων 15
δεομένοις σπείσασθαί σφισιν ὑπὲρ τοῦ παντὸς ξενικοῦ
ἀπεκρίνατο, ὁμολογίαν μὲν οὐκ ἂν ποιήσασθαι πρὸς αὐ-
τοὺς οὐδεμίαν· ἀδικεῖν γὰρ μεγάλα τοὺς στρατευομένους
ἐναντία τῇ Ἑλλάδι παρὰ τοῖς βαρβάροις παρὰ τὰ δόγματα
τὰ Ἑλλήνων· ἐκέλευσε δὲ ἥκειν ξύμπαντας καὶ παραδι- 16

---

nominis forma intacta mansit III, 18, 3. — Supra rursus edd. *Ἐρι-γύϊος*, et infra *Ταπούρων*.

14. *Αὐτοφραδάτῃ*] Ed. Bas. *Αὐτοφραδάτης*.

ἅμα οἷ ἐν τιμῇ ἦγε] cf. I, 17, 4 *καὶ Μιθρίνην μὲν ἐν τιμῇ ἅμα οἷ ἦγε.* Paulo aliter dixit I, 25, 4 *ὕστερον δὲ καὶ ἐν τιμῇ ἀμφ' αὐτὸν εἶχε*, et IV, 20, 7 *καὶ ἦν ἐν τιμῇ παρ' αὐτῷ.* — Ceterum in edd. legitur vel *ἅμά οἱ*, vel *ἅμα οἱ.*

15. *σπείσασθαί σφισιν*] Ed. Basil. *σπείσασθαί σφιν.* Quae pronominis forma legitur IV, 17, 6 *καί σφιν ἄπορα — τὰ τῆς φυγῆς ἐγίγνετο.* At cf. IV, 30, 3 *ἐνδοῦναι τὴν πέτραν εἴ σφισι σπένδοιτο.* — Mox ed. Basil. *οὐδὲ μίαν.*

ἐναντία τῇ Ἑλλάδι] cf. I, 16, 10 *ὅτι — ἐναντία τῇ Ἑλλάδι ἐμάχοντο.* I, 29, 9 *ὅσοι ἐναντία τῇ Ἑλλάδι στρατεύεσθαι — οὐκ ἀπηξίωσαν.* Pausan. I, 27, 1 *Μαρδονίου δὲ μαχησαμένου Λακεδαιμονίοις ἐναντία.* Vid. ann. ad I, 25, 9. — Ad verba *παρὰ τὰ δόγματα* conferas quae scripsit I, 16, 10 *ὅτι παρὰ τὰ κοινῇ δόξαντα Ἕλληνες ὄντες — ἐμάχοντο.*

16. *χρῆσθαι ὅ τι καὶ βούλοιτο*] De hac solenni dicendi formula vide quae copiose disputarunt Valcken. et Lennep. ad Phalar. p. XXII et p. 304, et nuperrime Fritzsch. Qu. Lucc. p. 128. cf. Arr. III, 2, 9 *τοὺς τυράννους — ἐς τὰς πόλεις πέμπει χρήσασθαι ὅπως ἐθέλοιεν.* Xen. Anab. IV, 8, 11 *καὶ τοῖς περιττοῖς χρήσονται ὅ τι*

δόναι σφᾶς αὐτοὺς ἐπιτρέποντας Ἀλεξάνδρῳ χρῆσθαι ὅ τι
17 *καὶ βούλοιτο, ἢ σώζεσθαι ὅπη δύναιντο. Οἱ δὲ ἐπιτρέπειν ἔφασαν σφᾶς τε αὐτοὺς καὶ τοὺς ἄλλους Ἀλεξάνδρῳ· ξυμπέμπειν τε ἐκέλευον τὸν ἡγησόμενον αὐτοῖς, ὡς ἀσφαλῶς διακομισθεῖεν παρ' αὐτόν· εἶναι δὲ ἔλεγον ἐς χιλίους καὶ πεντακοσίους. Καὶ Ἀλέξανδρος πέμπει Ἀνδρόνικον τὸν Ἀγέῤῥου καὶ Ἀρτάβαζον παρ' αὐτούς.*

XXIV. *Αὐτὸς δὲ προῆγεν ὡς ἐπὶ Μάρδους, ἀναλαβὼν τούς τε ὑπασπιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὴν Κοίνου καὶ Ἀμύντου τάξιν καὶ τῶν ἑταίρων ἱππέων τοὺς ἡμίσεας καὶ τοὺς ἱππακοντιστάς·*
2 *ἤδη γὰρ αὐτῷ καὶ ἱππακοντισταὶ ἦσαν τάξις. Ἐπελθὼν δὲ τὸ πολὺ μέρος τῆς χώρας τῶν Μάρδων πολλοὺς μὲν ἀπέκτεινεν αὐτῶν φεύγοντας, οὓς δέ τινας ἐς ἀλκὴν τε-*

ἂν βούλωνται. Thucyd. II, 4 *παραδοῦναι χρήσασθαι ὅτι ἂν βούλωνται.* Dion. Hal. Antiqq. VII, 16 *χρήσασθε ὅ τι βούλεσθέ μοι.* — Pro *ὅτι καὶ βούλοιτο*, quod cod. F. debemus, edd. vett. et rell. codd. *ὅτι βούλοιτο.* Sed vide II, 22, 7 *οὐδὲν ἤνυον ὅ τι καὶ λόγου ἄξιον.* VI, 9, 11 *ὅτι κινδυνεύσει — μηδὲν ὅτι καὶ λόγου ἄξιον.*

17. *εἶναι δὲ ἔλεγον*] Sic cod. F., et ex eo Schmiederus. *ἐλέγοντο* edd. vett. et codd. quattuor Gron. Non inepte. Quominus vero hanc scripturam probemus, impediunt praegressa *ἔφασαν* et *ἐκέλευον.*

C. XXIV. *ὡς ἐπὶ Μάρδους*] Hanc gentem *Μάρδους* et *Ἀμάρδους* promiscue dici docet Strab. XI, p. 795 (t. II, p. 451, ed. ster.), monente Wessel. ad Diod. Sic. XVII, 76. cf. St. Croix Exam. crit. p. 721. — Mox omnes edd. *Ἀγριάνας.*

2. *ἐς ἀλκὴν τετραμμένους*] Haud inepte interpres: *ad arma conversos.* Malim: *ad pugnam conversos.* cf. I, 8, 14 *ἔκτεινον τοὺς μὲν ἄλλους ἐν ταῖς οἰκίαις ἐπεισπίπτοντες, οὓς δὲ καὶ ἐς ἀλκὴν τετραμμένους.* VI, 6, 5 *οὐδὲ ἐς ἀλκὴν οἷα δὴ ἀνόπλους τραπέντας.* VI, 16, 2 *οὐδέ τις ἐτράπετο ἐς ἀλκήν.* Herodot. IV, 125 *οὔτε πρὸς ἀλκὴν ἐτράποντο.* IX, 102 *οὔτ' ἔτι πρὸς ἀλκὴν ἐτράποντο.* Eurip. Phoen. v. 432 *στρώμνης ἐς ἀλκὴν ἡνίκ' ἤλθομεν πέρι.* Diod. Sic. XV, 91 *πρὸς ἀλκὴν ἐτρέπετο.* XVII, 46 *πρὸς ἀλκὴν τραπέντες.* Simile est Arr. VI, 4, 3 *ἐς ἀλκὴν χωρήσαντες* et Diod. Sic. XVII, 27 *εἰς ἀλκὴν προεκλήθησαν.*

3. *ἐς τὴν γῆν αὐτῶν*] Hanc scripturam tuentur edd. vett. et quat-

τραμμένους, πολλοὺς δὲ ζῶντας ἔλαβεν. Οὐ γάρ ἐστιν 3
ὅστις χρόνῳ ἐμβεβλήκει ἐς τὴν γῆν αὐτῶν ἐπὶ πολέμῳ,
διά τε δυσχωρίαν καὶ ὅτι πένητες οἱ Μάρδοι καὶ μάχιμοι
ἐπὶ τῇ πενίᾳ ἦσαν· οὔκουν οὐδὲ Ἀλέξανδρον ἐμβαλεῖν ἄν
ποτε δείσαντες, ἄλλως τε καὶ προκεχωρηκότα ἤδη ἐς τὸ
πρόσω, ταύτῃ μᾶλλόν τι ἀφύλακτοι ἡλίσκοντο. Πολλοὶ 4
δὲ αὐτῶν καὶ εἰς τὰ ὄρη κατέφυγον ἃ δὴ ὑπερύψηλά τε
καὶ ἀπότομα αὐτοῖς ἐν τῇ χώρᾳ ἐστὶν, ὡς πρός ταῦτά γε
οὐχ ἥξοντα Ἀλέξανδρον. Ἐπεὶ δὲ καὶ ταύτῃ προσῆγεν, 5
οἱ δὲ πέμψαντες πρέσβεις σφᾶς τε αὐτοὺς ἐνέδοσαν καὶ
τὴν χώραν· καὶ Ἀλέξανδρος αὐτοὺς μὲν ἀφῆκε, σατράπην
δὲ ἀπέδειξεν αὐτῶν Αὐτοφραδάτην ὅνπερ καὶ Ταπύρων.
Αὐτὸς δ' ἐπανελθὼν ἐς τὸ στρατόπεδον ἔνθενπερ ὡρμήθη 6
ἐς τῶν Μάρδων τὴν γῆν, κατέλαβε τοὺς Ἕλληνας τοὺς μι-

---

tuor codd. Gronovii. *ἐς τὴν χώραν αὐτῶν* cod. F., quod Schmiederum non recepisse miror. Utrumque enim stare potest, ut videre est ex III, 24, 2, 6. IV, 15, 4, cet. coll. ann. ad VI, 13, 9. Sic dixit quoque *γῆν ἐργάζεσθαι* I, 24, 11. II, 3, 2. III, 17, 14. Cyneg. c. XXXV. *χώραν ἐργάζεσθαι* VI, 17, 12. VI, 25, 6. Hist. Ind. XI, 9.

οὔκουν οὐδὲ —] Sic scripsimus pro vulgato *οὐκοῦν οὐδέ.* cf. I, 20, 1 *οὔκουν οὐδ' ἐθέλων μέρει τινὶ κινδυνεύειν.* IV, 11, 7 *οὔκουν οὐδὲ Ἀλέξανδρον ἀνασχέσθαι ἄν.* IV, 11, 11 *οὔκουν οὐδὲ ἐγένετο.* VI, 25, 3 *οὔκουν οὐδὲ τοὺς κάμνοντας — ἄγειν ἔτι ἦν.* VII, 3, 2 *οὔκουν οὐδὲ δίαιταν διαιτᾶσθαι θέλειν.* VII, 14, 9 *οὔκουν οὐδὲ ἄλλον τινὰ ἔταξεν.* Vide quae de significatione et usu particularum *οὔκουν* et *οὐκοῦν* optime disseruit Herm. ad Viger. p. 794 sq. Ceterum vide easdem illas particulas confusas apud Arr. III, 9, 12. IV, 8, 8. IV, 11, 6. VII, 2, 9.

προκεχωρηκότα — ἐς τὸ πρόσω] cf. VI, 21, 11 *προὐχώρει ἐς τὸ πρόσω.* Ac simile est I, 6, 4 *καὶ αὐτὴν δὲ τὴν φάλαγγα ἔς τε τὸ πρόσω ἐκίνησε.* Plura vide in ann. ad V, 16, 1.

4. *ὡς πρὸς ταῦτά γε* —] Ed. Bas. *ὡς πρὸς τῷ τάγε.* Similem orationis colorem vide IV, 18, 10 *οἱ δὲ — πτηνοὺς ἐκέλευον ζητεῖν στρατιώτας Ἀλέξανδρον οἵτινες αὐτῷ ἐξαιρήσουσι τὸ ὄρος, ὡς τῶν γε ἄλλων ἀνθρώπων οὐδεμίαν ὤραν σφίσιν οὖσαν.* V, 4, 8 *ὡς τά γε κατ' Ἰνδοὺς ὅσα ἂν ἄτοπα ψεύσωνται, οὐκ ἐξελεγχθησόμενα πρὸς οὐδαμῶν.*

σθοφόρους ἥκοντας· καὶ τοὺς Λακεδαιμονίων πρέσβεις οἳ παρὰ βασιλέα Δαρεῖον ἐπρέσβευον, Καλλικρατίδαν τε καὶ Παύσιππον καὶ Μόνιμον καὶ Ὀνόμαντα καὶ Ἀθηναίων
7 Δροπίδην. Τούτους μὲν δὴ ξυλλαβὼν ἐν φυλακῇ εἶχε. Τοὺς Σινωπέων δὲ ἀφῆκεν, ὅτι Σινωπεῖς οὔτε τοῦ κοινοῦ τῶν Ἑλλήνων μετεῖχον ὑπὸ Πέρσαις τε τεταγμένοι οὐκ ἀπεικότα ποιεῖν ἐδόκουν παρὰ τὸν βασιλέα σφῶν πρε-

---

5. *Ταπύρων*] Edd. *Ταπούρων*.

6. *ἔνθενπερ ὡρμήθη*] Sic tres codd. Gronovii. *ἔνθεν παρωρμήθη* unus codd. Florr. *ἔνθαπερ ὡρμήθη* edd. vett. *ἔνθεν ὡρμήκει* cod. F., quod Schmiederus Arriano condonavit. Sed nemo ei propterea gratias aget. Arrianeam manum cognoscere cupientibus suppetunt haec I, 7, 7 *ἔνθεν δὲ ὁρμηθείς*. I, 10, 1 *ἀπὸ τῆς οἰκείας ὡρμήθησαν*. I, 12, 7 *ἔνθεν καὶ αὐτὸς ὁρμηθῆναί φημι*. I, 20, 12 *ὧν ἕνεκα ὡρμήθη*. II, 15, 8 *ἐκ Μαράθου δὲ ὁρμηθείς*. III, 1, 1 *ἵναπερ τὸ πρῶτον ὡρμήθη*. III, 16, 4 *Ἀλέξανδρος ἐξ Ἀρβήλων ὁρμηθείς*. IV, 2, 1 *ὁρμηθεὶς προὐχώρει*. IV, 8, 15 *ὅθεν ἡ παροινία ὡρμήθη*. V, 1, 2 *ἐκ Θηβῶν ὁρμηθείς*. V, 19, 6 *καὶ ἔνθεν ὁρμηθεὶς ἐπέρασε*. V, 27, 6 *οἴκοθεν ὁρμηθεῖσι*. VI, 4, 6 *ἔνθεν δὲ ὡρμήθη*. VI, 24, 1 *ἵναπερ ἀφίκετο ὁρμηθείς*. VII, 30, 7 *ἐφ' ὅτῳ ὡρμήθην*. Hist. Ind. XXIII, 1 *ὁρμηθέντες δὲ ἐκ τῶν ἐκβολῶν*. XXXIX, 1 *ἐνθένδε ὁρμηθέντες — ἀφίκοντο*, et quae maxime huc faciunt I, 2, 4 *ἐπὶ τὸν ποταμόν, ἔνθενπερ τῇ προτεραίᾳ ὡρμήθη Ἀλέξανδρος*. VI, 12, 1 *ἐς τὸ στρατόπεδον, ἔνθενπερ ὡρμήθη ἐπὶ τοὺς Μαλλούς*. Unde non dubito quin Schneiderus qui ad Xen. Anab. I, 10, 1, recte taxata codicis F. lectione, ut h. l. ita III, 21, 5 scriptum voluit *ἔνθεν ὥρμητο*, perlectis quae hic adscripsimus, sententiam suam retractaturus esset. Particulas *ἔνθα* et *ἔνθεν* confusas notavit Iacobs. ad Achill. Tat. p. 402.

Καλλικρατίδαν] Tres vel quattuor codd. Gron. *Καλλιστρατίδαν*, et sic quoque edd. Vulc. Blanc. Gron. Raph. Schmied. *Καλισσατίδαν* ed. Basil. *Καλλικρατίδαν* V. C. Vulcanii cum uno cod. Gron. Atque hanc nominis formam plures codd. firmant apud Curt. III, 13, 15, ubi vide annotationem Freinshemii. Eam vero Lacedaemoniorum quasi propriam fuisse iam monuit Gronovius. Et memoratur vir huius nominis apud Xenoph. Hist. Gr. I, 6, 2 sq. Diod. Sic. XIII, 76. Plut. apophthegm. Lacon. p. 222, B. — Infra pro vulgato *Ἀνόμαντα* Schmiederus primus dedit *Ὀνόμαντα*, cod. F. secutus.

καὶ Ἀθηναίων Δροπίδην] Schmiederus, nescio an ex typothetae

σβεύοντες. Ἀφῆκε δὲ καὶ τῶν ἄλλων Ἑλλήνων ὅσοι πρὸ 8
τῆς εἰρήνης τε καὶ τῆς ξυμμαχίας τῆς πρὸς Μακεδόνας
γενομένης παρὰ Πέρσαις ἐμισθοφόρουν, καὶ Χαλκηδονίων
Ἡρακλείδην τὸν πρεσβευτὴν ἀφῆκε. Τοὺς δ' ἄλλους 9
ξυστρατεύεσθαί οἱ ἐπὶ μισθῷ τῷ αὐτῷ ἐκέλευσε· καὶ
ἐπέταξεν αὐτοῖς Ἀνδρόνικον ὅσπερ ἤγαγέ τε αὐτοὺς καὶ
ἔνδηλος ἐγεγόνει οὐ φαῦλον ποιούμενος σῶσαι τοὺς ἄνδρας.

---

errore, *καὶ Ἀθηναῖον Δροπίδην*. Pendet vero genitivus a nomine *τὸν πρεσβευτήν*, ex praegressis tacite repetendo. cf. III, 24, 8 *καὶ Χαλκηδονίων Ἡρακλείδην τὸν πρεσβευτὴν ἀφῆκε*. — Num autem *Δροπίδην* scribendum sit, an *Δρωπίδην* s. *Δρωπίδαν*, equidem nescio. Id certe constat, patrem Cliti scriptum legi *Δρωπίδην*. v. III, 11, 11.

7. *ὑπὸ Πέρσαις τε τεταγμένοι*] Particulam *τὲ*, quam edd. vett. cum duobb. codd. Gron. ignorant, praebuere duo codd. Florr. cum cod. F. Ac facile potest intelligi, cur a pluribus codicibus absit ista particula. Verba enim *ὑπὸ Π. — τεταγμένοι* ut appositionem eorum quae antecessere, arctissime cum iis coniungenda censuerunt. At pertinent ad sequentia, ita ut *τὲ* respondeat praegresso *οὔτε*, cuius dicendi generis cum plura exempla attulerimus ad IV, 7, 6, tum vide II, 9, 6 *ἐπεὶ γὰρ οἱ ὑπὲρ τοῦ ὄρους τεταγμένοι οὔτε κατῆεσαν, ἐκδρομῆς τε — γενομένης — ἀνέφυγον*. VI, 5, 3 *οὔτε μετέωροι — ὡσαύτως οὖσαι, ὅσαι τε δίκροτοι αὐτῶν*. — Supra ed. Basil. *συλλαβών*.

8. *καὶ Χαλκηδονίων*] Ex certissima emendatione Palmerii (Exercc. p. 238) ita scripsimus pro vulgato *Καρχηδονίων*; quamquam rectius forsitan scribatur *Καλχηδονίων*, quo literarum ductus nos defert, quamque nominis formam e pluribus codd. dedit Kruegerus Xenophont. Anab. VI, 4, 38. cf. Wessel. et Schweigh. ad Herod. IV, 144. Popp. ad Thucyd. IV, 75. Passov. ad Parthen. p. 61, et qui de illarum formarum confusione paulo accuratius egit, Bernhardyus ad Dion. Perieg. p. 746 sq. Apud Xenoph. Hist. Gr. IV, 8, 28 hodie expressum legimus *Χαλκηδονίους*. cf. fragm. Arriani apud Eustath. ad Dionys. Perieg. p. 110. Atque huc facit quoque Choerobosc. apud Bekk. Anecd. p. 1207: *Καλχηδὼν Καλχηδόνος ἡ κατὰ τὸ Βυζάντιον, ἥτις καὶ Χαλκηδὼν καλεῖται· εὑρίσκομεν γὰρ διφορουμένην τὴν χρῆσιν*.

9. *ὅσπερ ἤγαγε — καὶ ἐγεγόνει*] Recte in his temporum discrimen observavit Arrianus: *ἤγαγε* enim plusquamperfectum *ἀόριστον* est, *ἐγεγόνει* autem plusquamperfectum absolutum. cf. II, 11, 2

XXV. Ταῦτα δὲ διαπραξάμενος ἦγεν ὡς ἐπὶ Ζαδράκαρτα τὴν μεγίστην πόλιν τῆς Ὑρκανίας, ἵνα καὶ τὰ βα-
2 σίλεια τοῖς Ὑρκανίοις ἦν. Καὶ ἐνταῦθα διατρίψας ἡμέ-
ρας πεντεκαίδεκα καὶ θύσας τοῖς θεοῖς ὡς νόμος καὶ
3 ἀγῶνα γυμνικὸν ποιήσας, ὡς ἐπὶ Παρθυαίους ἦγεν· ἐκεῖ-
θεν δὲ ἐπὶ τὰ τῆς Ἀρείας ὅρια καὶ Σουσίαν πόλιν τῆς
Ἀρείας, ἵνα καὶ Σατιβαρζάνης ἧκε παρ' αὐτὸν ὁ τῶν
4 Ἀρείων σατράπης. Τούτῳ μὲν δὴ τὴν σατραπείαν ἀπο-
δοὺς ξυμπέμπει αὐτῷ Ἀνάξιππον τῶν ἑταίρων, δοὺς
αὐτῷ τῶν ἱππακοντιστῶν ἐς τεσσαράκοντα, ὡς ἔχοι φύ-
λακας καθιστάναι τῶν τόπων, τοῦ μὴ ἀδικεῖσθαι τοὺς

ὑπερφαλαγγήσαντες ἐς τὰ πλάγια ἐμβεβληκότες ἤδη ἔκοπτον. VI, 10, 5 *ὅτι — ἰδόντες — τὰς κλίμακας συντετριφότες ἐμηχανῶντο* Xen. Hist. Gr. V, 1, 35 *ἐπεὶ δὲ ταῦτ' ἐπράχθη καὶ ὀμωμόκεσαν αἱ πόλεις.*

C. XXV. *Ζαδράκαρτα*] Edd. omnes ante Schmiederum *Ζευδράκαρτα.* Quod dedimus, legitur III, 23, 11. Utra scriptura vero rectior sit, quis hodie decernat?

3. *καὶ Σουσίαν πόλιν τῆς Ἀρείας*] Ita legitur in cod. F. et duobus aliis codd. Gronovii; idem notavit ex V. C. Vulcanius, idemque habet ed. Basil. Unde mirum sane apud Vulcanium, quem secutus est Blancardus, scriptum exstare *τοῖς Ἀρείοις.* Quamquam eiusdem erroris exemplum allatum vide III, 16, 14. — Mox dedimus *ἧκε*, omisso *ν* paragogico.

4. *τοῦ μὴ ἀδικεῖσθαι*] Ed. Bas. *τοῦ μὴ διακεῖσθαι.* Vulc. *τοῦ μηδὲν ἀδικεῖσθαι.* Cui lectioni favere videntur duo codd. Gronovii peioris notae. *τοῦ μὴ ἀδικεῖσθαι* dedit cod. F. cum duobus codd. Gron. et V. C. Vulcanii. cf. III, 28, 12 *οἱ δὲ καὶ περιφράσσουσι τὸν χῶρον τοῦ μηδ' εἰ πελάσαιεν αὐτῷ τὰ πρόβατα, δυνατὰ γενέσθαι.* V, 12, 3 *ἦγεν ἀφανῶς — τοῦ μὴ καταφανὴς εἶναι ἄγων.* VI, 5, 1 *ἐξελαύνειν — τοῦ μὴ — ἀναστρέφεσθαι.* VII, 7, 11 *οἳ δὴ πεποιημένοι ἦσαν τοῦ μὴ — ἀναπλεῦσαι.* — Paulo ante ed. Bas. *τὸν τόπον.*

5. *οἳ ἤγγελλον*] Vulgo *οἳ ἤγγελον.* Vide ann. ad II, 15, 9. cf. quae recte observavit Bernh. Wissensch. Synt. p. 373. Adde vv. ll. apud Lys. Or. VIII, p. 228, Bekk.

καὶ τὴν Περσικὴν στολὴν φοροῦντα — καλεῖσθαι] In omnibus editionibus post *φοροῦντα* puncto minusculo distinctum est, ita ut verba *καὶ — φοροῦντα* ad praegressa referantur necesse sit atque

Ἀρείους πρὸς τῆς στρατιᾶς κατὰ τὴν πάροδον. Ἐν τούτῳ 5
δὲ ἀφικνοῦνται παρ' αὐτὸν Περσῶν τινες οἳ ἤγγελλον
Βῆσσον τήν τε τιάραν ὀρθὴν ἔχειν καὶ τὴν Περσικὴν
στολὴν φοροῦντα Ἀρταξέρξην τε καλεῖσθαι ἀντὶ Βήσσου,
καὶ βασιλέα φάσκειν εἶναι τῆς Ἀσίας· ἔχειν τε ἀμφ' αὐ-
τὸν Περσῶν τε τοὺς ἐς Βάκτρα διαφυγόντας καὶ αὐτῶν
Βακτριανῶν πολλούς· προσδοκᾶσθαι δὲ ἥξειν αὐτῷ καὶ
Σκύθας ξυμμάχους. Ἀλέξανδρος δὲ ὁμοῦ ἤδη ἔχων τὴν 6
πᾶσαν δύναμιν ᾔει ἐπὶ Βάκτρων ἵνα καὶ Φίλιππος ὁ
Μενελάου παρ' αὐτὸν ἀφίκετο ἐκ Μηδίας, ἔχων τούς τε
μισθοφόρους ἱππέας ὧν ἡγεῖτο αὐτός, καὶ Θεσσαλῶν τοὺς

---

pendeant ab ἤγγελλον. Ac quamvis negari non possit, haud raro verba ἀγγέλλειν et ἐξαγγέλλειν constructa reperiri nunc cum participio, nunc cum infinitivo (cf. I, 12, 16. I, 29, 3. III, 25, 7. IV, 5, 4. IV, 16, 4. IV, 17, 12. V, 15, 5. V, 21, 3. VI, 8, 6), neque structuram variatam habere in quo offendas: tamen aptius censui puncto deleto illa verba referre ad sequentia, ut quasi causam contineant eorum quae sequuntur. Nimirum hoc dicit Arrianus, *Bessum mutata veste simul etiam nomen suum mutasse.* — Infra ex ed. Bas. edi curavimus ἀμφ' αὐτόν.

6. ᾔει ἐπὶ Βάκτρων] Sic edd. Vulc. Blanc. et quattuor codd. Gronovii. Idemque voluit editor Basileensis, nisi quod typothetae errore expressum sit Βάκτρον. Schmiederus dedit e codice F. ᾔει ἐπὶ Βάκτρα, quod et ipsum bene habet. Sic enim dixit τὴν ἐπὶ Βάκτρα III, 25, 7. τὴν ἐπὶ Πασαργάδας VI, 29, 1; sed τὴν ἐπὶ Σούσων III, 16, 3. τὴν ἐπὶ Γαδρωσίων VI, 27, 13. At vero ad confirmandam nostram scripturam cf. I, 18, 5 ἐπὶ Μιλήτου ἐστέλλετο. I, 24, 5 ἐπὶ Λυκίας — ᾔει. II, 13, 6 ἐπὶ Χίου ἐστάλη. II, 19, 10 ἐπὶ Σιδῶνος ἐστάλη. IV, 22, 5 ἐπὶ Βάκτρων ἐστέλλετο. Adde ann. ad VII, 14, 10.

τοὺς ἐθελοντὰς ὑμομείναντας] Ed. Basil. τοὺς ἐθέλοντας. Non inepte. Vide ad VI, 8, 3. Sed vulgatam defendunt haec III, 29, 9 καὶ τῶν Θεσσαλῶν τοὺς ἐθελοντὰς καταμείναντας, ubi neque ed. Bas. dissentit.

Νικάνωρ δὲ — νόσῳ] »Haec verba praeter opinionem et sine ullo nexu inseruntur, ut putem vel excidisse quaedam, sic forte: τοὺς Ἀνδρομάχου καὶ τοὺς ὑπασπιστὰς τοὺς Σελεύκου. Νικάνωρ δέ; vel transponenda esse ea verba in caput sequens sect. 4, sic: καὶ ὅσοι ἄλλοι μετέσχον τῆς ἐπιβουλῆς. Νικάνωρ δέ —, quod verosi-

ἐθελοντὰς ὑπομείναντας, καὶ τοὺς ξένους τοὺς Ἀνδρομάχου· Νικάνωρ δὲ ὁ Παρμενίωνος ὁ τῶν ὑπασπιστῶν ἄρ-
7 χων τετελευτήκει ἤδη νόσῳ· Ἰόντι δὲ Ἀλεξάνδρῳ τὴν ἐπὶ Βάκτρα ἐξηγγέλθη Σατιβαρζάνης ὁ Ἀρείων σατράπης Ἀνάξιππον μὲν καὶ τοὺς ἱππακοντιστὰς τοὺς ξὺν αὐτῷ ἀπεκτονὼς, ὁπλίζων δὲ τοὺς Ἀρείους καὶ ξυνάγων εἰς
8 Ἀρτακόανα πόλιν ἵνα τὸ βασίλειον ἦν τῶν Ἀρείων· ἐκεῖθεν δὲ ὅτι ἔγνωκεν, ἐπειδὰν προκεχωρηκότα Ἀλέξανδρον πύθηται, ἰέναι ξὺν τῇ δυνάμει παρὰ Βῆσσον, ὡς ξὺν
9 ἐκείνῳ ἐπιθησόμενος ὅπη ἂν τύχῃ τοῖς Μακεδόσι. Ταῦτα ὡς ἐξηγγέλθη αὐτῷ, τὴν μὲν ἐπὶ Βάκτρα ὁδὸν οὐκ ἦγεν· ἀναλαβὼν δὲ τούς τε ἑταίρους ἱππέας καὶ τοὺς ἱππακοντιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὴν Ἀμύντου τε καὶ Κοίνου τάξιν, τὴν δὲ ἄλλην δύναμιν αὐ-

---

milius.« *Schmied.* Satis est hanc qualemcunque Schmiederi annotationem attulisse. Tu vide quae narravit Arrianus III, 21, 13, et mecum non dubitabis quin suo loco inseruerit illa verba.

8. *ἰέναι — παρὰ Βῆσσον*] Sic cod. F. cum uno alio cod. Gronovii et V. C. Vulcanii. *περὶ Βῆσσον* edd. vett. cum tribb. codd. Gronovii. — Supra ed. Basil. *Ἀνάξιππος.*

ὅπη ἂν τύχῃ] Formam *ὅπη* tuentur omnes codices quos inspexit Gronovius, et ed. Basil. *ὅποι* primus dedit Vulcanius, quem secutus est Blancardus. At cf. I, 20, 2 *οὔτε ὅπη προσέχουσιν ἔχοντες.* V, 9, 3 *σκοπῶν ὅπη φανεῖται.* VI, 4, 3 *προσορμιζόμενος ὅπη τύχοι ταῖς ὄχθαις.* VI, 9, 4 *οἱ δὲ — ὅπη παρείκοι — βιάσασθαι.* Vid. ann. ad I, 26, 8.

9. *καὶ τοὺς Ἀγριᾶνας*] Edd. *τοὺς Ἀγριάνας.* — Mox verba *τὴν δὲ ἄλλην — ἡγεμόνα* in vulgaribus edd. parenthesi inclusa sunt. Minus apte, opinor. Aliter habent quae leguntur I, 29, 3 *ἐπαγγελλόμενοι, εἰ μὴ ἀφίκοιτό σφισι βοήθεια ἐν ἡμέρᾳ ᾗ ξυνέκειτο (φράσαντες τὴν ἡμέραν), ὅτι παραδώσουσι.* cf. ann. ad V, 1, 2. Ceterum compara III, 29, 12 *καὶ ἡγεμὼν τῇ στρατιᾷ.* IV, 28, 10 *καὶ Φίλιππον ἐπὶ τῇ φρουρᾷ ἡγεμόνα.*

10. *ἐς Ἀρτακόανα*] Mire depravatum est huius urbis nomen. In ed. Venet. et Basil. male h. l. expressum est *Ἀρταβόανα,* quamquam supra §. 8 recte exhibent *Ἀρτακόανα,* quod firmant quoque tres codd. Gronovii. In quarto cod. Gron. est *Ἀρτακόαν.* Cod. F. habet *Ἀρκτόανα,* quod nollem recepisset Schmiederus. Diodoro XVII, 78 haec urbs vocatur *Χορτάκανα.* Ad vulgatam formam

τοῦ καταλιπὼν καὶ ἐπ' αὐτῇ Κρατερὸν ἡγεμόνα, σπουδῇ
ἦγεν ὡς ἐπὶ Σατιβαρζάνην τε καὶ τοὺς Ἀρείους. Καὶ 10
διελθὼν ἐν δυσὶν ἡμέραις σταδίους ἐς ἑξακοσίους πρὸς
Ἀρτακόανα ἧκε. Σατιβαρζάνης μὲν οὖν ὡς ἔγνω ἐγγὺς 11
ὄντα Ἀλέξανδρον, τῇ ὀξύτητι τῆς ἐφόδου ἐκπλαγεὶς ξὺν
ὀλίγοις ἱππεῦσι τῶν Ἀρείων ἔφυγε· πρὸς γὰρ τῶν πολ-
λῶν στρατιωτῶν κατελείφθη ἐν τῇ φυγῇ, ὡς κἀκεῖνοι
ἔμαθον προσάγοντα Ἀλέξανδρον. Ἀλέξανδρος δὲ ὅσους 12
ξυναιτίους τῆς ἀποστάσεως κατέμαθε καὶ ἐν τῷ τότε
ἀπολιπόντας τὰς κώμας, τούτους δὲ ἄλλῃ καὶ ἄλλῃ ὀξείας
τὰς διώξεις ποιησάμενος τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἠν-
δραπόδισε· σατράπην δὲ Ἀρείων ἀπέδειξεν Ἀρσάμην ἄν-
δρα Πέρσην. Αὐτὸς δὲ σὺν τοῖς ἀμφὶ Κρατερὸν ὑπολε- 13
λειμμένοις ὁμοῦ οὖσιν ἤδη ὡς ἐπὶ τὴν Ζαραγγαίων χώραν

---

propius accedit quod habet Strab. XI, p. 785 (p. 438, ed. ster.) *Ἀρτάκανα* s., ut hodie legitur, *Ἀρτάκακνα.* Sic quoque apud Curt. VI, 6, 33 e codicibus enotatae sunt formae *Artacana*, *Artacacna*, *Artacrana* et *Artacna.* — Supra codd. Gronovii omnes recte *ἐς ἑξακοσίους.* Praepositionem desideramus in edd. vett. cf. III, 8, 10 et VII, 11, 15.

12. *ἀπολιπόντας — τούτους δέ*] Ita tres codd. Gronovii cum V. C. Vulcanii; ita quoque ed. Basil. In edd. Vulc. et Blanc. atque in duobb. codd. Gron. minus concinne legitur *ἀπολελοιπότας — τούτων δέ.* Gronovius conferri iussit I, 22, 6 *καὶ πολλοὺς — ἐμπεσόντας τοὺς μὲν — τοὺς δὲ.* VI, 27, 4 *τοὺς δὲ ἀποκτείναντας — τοὺς μὲν — τοὺς δέ.* Quibus adde III, 23, 12 *τὴν χώραν — τὴν μὲν — τὴν δέ.* IV, 23, 4 *καὶ τούτους — τοὺς μέν.* VII, 23, 6 *τοὺς δὲ Πέρσας — τοὺς μὲν — τοὺς δέ.* cf. ann. ad V, 20, 15. Perf. et aor. confusa vide III, 20, 3. — Pro *Ἀρσάμην,* quod ex coniectura primus dedit Blancardus, edd. vett. habent *Ἀρσάκην.* At vide III, 29, 9. IV, 7, 2.

13. *ἐπὶ τὴν Ζαραγγαίων χώραν*] Novum huius populi nomen, quamvis multis aliis locis scriptum reperiatur *Δράγγαι*, ut III, 21, 2. III, 28, 1. VI, 15, 9. VII, 10, 11. Diod. Sic. XVII, 78. Strab. XV, p. 1050 (p. 312, ed. ster.). Curt. VI, 6, 35, tamen non ausi sumus cum Schmiedero ad formam magis consuetam redigere, quippe cum, ut Wesselingius iam recte monuit, diversa forma ex diversa vocabuli pronunciatione orta esse possit. (cf. VI, 15, 1). Neque praetermittendum videtur (id quod iam animadvertit Blan-

ἦγε· καὶ ἀφικνεῖται ἵνα τὰ βασιλεία τῶν Ζαραγγαίων ἦν. Βαρσαέντης δὲ ὃς τότε κατεῖχε τὴν χώραν, εἷς ὢν τῶν ξυνεπιθεμένων Δαρείῳ ἐν τῇ φυγῇ, προσιόντα Ἀλέξανδρον μαθὼν ἐς Ἰνδοὺς τοὺς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ
14 ἔφυγε. Ξυλλαβόντες δὲ αὐτὸν οἱ Ἰνδοὶ παρ' Ἀλέξανδρον ἀπέστειλαν· καὶ ἀποθνήσκει πρὸς Ἀλεξάνδρου τῆς ἐς Δαρεῖον ἀδικίας ἕνεκα.

XXVI. Ἐνταῦθα καὶ τὴν Φιλώτα ἐπιβουλὴν τοῦ Παρμενίωνος ἔμαθεν Ἀλέξανδρος. Καὶ λέγει Πτολεμαῖος καὶ Ἀριστόβουλος ὅτι προσηγγελμένην ἤδη οἱ καὶ πρότερον ἐν Αἰγύπτῳ· οὐ μέντοι πιστή γε ἐφάνη τῆς τε φιλίας τῆς πάλαι εἵνεκα καὶ τῆς ἐξ αὐτοῦ ἐς Παρμενίωνά

---

δὲ τῆς προσκυνήσεως ὅπως ἠναντιώθη Ἀλεξάνδρῳ, καὶ
τοιόσδε κατέχει λόγος· ξυγκεῖσθαι μὲν γὰρ τῷ Ἀλεξάν-
δρῳ πρὸς τοὺς σοφιστάς τε καὶ τοὺς ἀμφ' αὐτὸν Περσῶν
καὶ Μήδων τοὺς δοκιμωτάτους, μνήμην τοῦ λόγου τοῦδε
8 ἐν πότῳ ἐμβαλεῖν· ἄρξαι δὲ τοῦ λόγου Ἀνάξαρχον, ὡς

---

5. *εἴ τῳ τύραννον κτείναντι*] Ed. Basil. *εἴ τῷ — κτείναντι.* Utrumque h. l. ferri potest. Alias tamen saepe ab ed. Bas. in hanc rem peccatum est. Vid. I, 17, 14, ubi habet *εἰ δὴ τῷ ἄλλῳ* pro *εἰ δή τῳ ἄλλῳ.* cf. Pausan. I, 26, 6, ubi pro vulgato *ἐκ τοῦ μαντεύματος* hodie recte scriptum legitur *ἔκ του μαντεύματος.*

εἰ καὶ μή] Hoc habent omnes quos inspexit Gronovius codices. Vulcanius, quia in ed. Basil. videbat *καὶ μή*, omisso *εἰ*, de suo dedit *κἂν μή.* Secutus est Blancardus. Parum consulte. cf. I, 9, 2 *εἰ καὶ — ἤνεγκεν, ἀλλὰ τῷ γε.* VII, 1, 6 *εἰ καὶ μὴ ἄλλῳ τῳ, ἀλλὰ αὐτόν γε αὐτῷ ἐρίζοντα.* Vide Herm. ad Vig. p. 832.

6. *Τούτους γὰρ — Ἑλλάδος*] Quae breviter hic memorat Arrianus de filiis Herculis, ea copiose enarrat Lysias in orat. funebr. p. 174 sq., ed. Bekk.

8. *Διονύσου τε καὶ Ἡρακλέους*] Ita codd. Gronovii omnes. *Διονύσῳ τε καὶ Ἡρακλέει* ed. Bas. Unde Vulcanius dedit *Διονύσῳ τε καὶ Ἡρακλεῖ.* Genitivum solum recte habere nemo non videt. — Infra ed. Bas. *οὐδ' οὗτος προσῆκον,* ut paulo ante *οὐδέν τι προσῆκον.* In eadem etiam vitiose expressum est *Ἡρακλεῖς Ἀργεῖος.*

9. *οὐδὲ ἐκεῖνο εἶναι ἀμφίλογον*] Schmiederus codicis F. auctoritatem secutus verbum substantivum omisit. Male. Restituimus hoc verbum ex edd. vett. et rell. codd. Gronovii. cf. ann. ad II, 26, 4. Eundem errorem commisit Schmiederus in Hist. Ind. VIII, 7, ubi scribendum *οὔνομα δὲ εἶναι τῇ παιδὶ Πανδαίην.*

πόσῳ δὴ δικαιότερον] Vertunt: *multo igitur satius esse.* Sed hoc foret *πολὺ δὴ δικαιότερον* (cf. Xen. Hist. Gr. I, 7, 33). Itaque

πολὺ δικαιότερον ἂν θεὸν νομιζόμενον Ἀλέξανδρον Διονύσου τε καὶ Ἡρακλέους, μὴ ὅτι τῶν ἔργων ἕνεκα ὅσα καὶ ἡλίκα καταπέπρακται Ἀλεξάνδρῳ, ἀλλὰ καὶ ὅτι Διόνυσος μὲν Θηβαῖος ἦν, οὐδέν τι προσήκων Μακεδόσι, καὶ Ἡρακλῆς Ἀργεῖος, οὐδ' οὗτος προσήκων ὅτι μὴ κατὰ γένος τὸ Ἀλεξάνδρου· Ἡρακλείδην γὰρ εἶναι Ἀλέξανδρον· 9
Μακεδόνας δ' αὖ τὸν σφῶν βασιλέα δικαιότερον θείαις τιμαῖς κοσμοῦντας· καὶ γὰρ οὐδὲ ἐκεῖνο εἶναι ἀμφίλογον ὅτι ἀπελθόντα γε ἐξ ἀνθρώπων ὡς θεὸν τιμήσουσι· πόσῳ δὴ δικαιότερον ζῶντα γεραίρειν ἤπερ τελευτήσαντα, ἐς οὐδὲν ὄφελος τῷ τιμωμένῳ.

XI. *Λεχθέντων δὲ τούτων τε καὶ τοιούτων λόγων πρὸς Ἀνάξαρχον, τοὺς μὲν μετεσχηκότας τῆς βουλῆς ἐπαινεῖν τὸν λόγον καὶ ἤδη ἐθέλειν ἄρχεσθαι τῆς προσ-*

---

verba Graeca sic interpretare: *quanto igitur melius convenire.* Num forte scribendum *ποσῷ δὴ δικαιότερον* —? Verbum *γεραίρειν*, quod poetici coloris esse videtur, Arrianus quater usurpavit cf. IV, 11, 4 *τῇ προσκυνήσει γεραίρεται.* VII, 23, 8 *καὶ τὸ ἀπὸ τοῦδε ὡς ἥρωα ἐγέραιρε.* Hist. Ind. VIII, 5 *τὸν Ἡρακλέα μάλιστα πρὸς Σουσιανῶν γεραίρεσθαι.* Quibus locis omnibus habet *colendi* significationem. Apud Xenophontem quidem, cui debuisse videtur suum Arrianus, non nisi addito dativo rei dictum reperitur, ut sit *honorare, donare.* Vide Hist. Gr. I, 7, 33 *ἀλλὰ πολὺ δικαιότερον, στεφάνοις γεραίρειν τοὺς νικῶντας, ἢ θανάτῳ ζημιοῦν.* Cyrop. VIII, 1, 39 *καὶ δώροις — καὶ πάσαις τιμαῖς ἐγέραιρεν.* Hieron. c. VII, 2 *γεραίρωσι δὲ καὶ λόγοις καὶ ἔργοις πάντες οἱ παρόντες ἀεὶ ὑμᾶς.*

C. XI. *καὶ ἤδη ἐθέλειν*] Sic cod. F. et ex eo Schmiederus. *καὶ δὴ ἐθέλειν* edd. vett. et quattuor codd. Gronovii. Minus apte. cf. Xenoph. Anab. I, 3, 11 *εἴτε ἤδη δοκεῖ ἀπιέναι,* ubi nollem Bornemannus vulgatam scripturam *εἴτε δὴ δοκεῖ* retinuisset. Est enim *ἤδη statim, illico.* Vide II, 7, 15 *ἄγειν ἤδη ἐκέλευον.*

σιγῇ ἔχειν] h. e. *plerosque Macedones, qui Anaxarchi orationem improbarunt, tacuisse.* Locutio *σιγῇ ἔχειν*, quam neque apud Xenophontem, neque apud alium quemquam Atticorum scriptorum deprehendi, apud Herodotum legitur IX, 93 *ὁ δὲ εἶχε σιγῇ καὶ ἔφραζε οὐδενί.* Ac pertinet ea ad illum satis tritum morem adverbia componendi cum verbo *ἔχειν*, quo nihil frequentius est apud Arrianum. Dixit enim *ἀδυνάτως ἔχειν* I, 25, 10. *ἀπόρως ἔχειν* I, 26, 2. VII, 19, 6. *ἀμελῶς ἔχειν* III, 4, 7. *μεῖον ἔχειν* ad III, 23, 10. *ἐμπείρως*

κυνήσεως, τοὺς Μακεδόνας δὲ τοὺς πολλοὺς μαχομένους
2 τῷ λόγῳ σιγῇ ἔχειν. Καλλισθένην δὲ ὑπολαβόντα, Ἀλέξ-
ανδρον μὲν, εἰπεῖν, ὦ Ἀνάξαρχε, οὐδεμιᾶς ἀνάξιον απο-
3 φαίνω τιμῆς ὅσαι ξύμμετροι ἀνθρώπῳ· ἀλλὰ διακεκρί-
σθαι γὰρ τοῖς ἀνθρώποις ὅσαι τε ἀνθρώπιναι τιμαὶ καὶ ὅσαι θεῖαι, πολλοῖς μὲν καὶ ἄλλοις, καθάπερ ναῶν τε οἰκοδομήσει καὶ ἀγαλμάτων ἀναστάσει, ὅτι καὶ τεμένη τοῖς θεοῖς ἐξαιρεῖται καὶ θύεται ἐκείνοις καὶ σπένδεται, καὶ ὕμνοι μὲν ἐς τοὺς θεοὺς ποιοῦνται, ἔπαινοι δὲ ἐς ἀνθρώπους, ἀτὰρ οὐχ ἥκιστα τῷ τῆς προσκυνήσεως νό-

---

ἔχειν IV, 3, 15. ὁποτέρως ἔχειν V, 20, 2. μέσως ἔχειν V, 20, 16. κακῶς ἔχειν VI, 10, 3 πολεμίως ἔχειν VI, 16, 6. ἀδυνάτως ἔχειν VII, 3, 5. ἐνδεῶς ἔχειν VII, 7, 9. μαλακῶς ἔχειν VII, 12, 8. πονήρως ἔχειν VII, 25, 11. Formula σιγῇ ἔχειν, hoc loco excepto bis usus est I, 6, 2 et VII, 8, 5. Paulo aliter dixit IV, 8, 9 ἀλλ' ἱκανὸν εἶναι τίθεμαι — τὸ καθ' αὑτὸν σιγῶντα ἔχειν et V, 1, 5 καὶ πεσόντας ἐς γῆν ἐπὶ πολὺ σιγὴν ἔχειν. Quam posteriorem locutionem habet quoque Herodotus I, 86.

2. οὐδεμιᾶς] Ed. Basil. οὐδὲ μιᾶς.

3. οἰκοδομήσει] Recte hanc Atticam formam servavit Arrianus, cuius loco scriptores senescentis Graecitatis formam οἰκοδομή usurpasse post Lobeck. ad Phrynich. p. 487 monuit Siebelis. ad Pausan. 1, 19, 7.

ὅτι καὶ τεμένη — ἐξαιρεῖται] Facile in his verbis agnoscas Xenophontis manum, qui scripsit Cyropaed. VIII, 3 ὅτι ἐλάσαι βούλοιτο εἰς τὰ τεμένη τὰ τοῖς θεοῖς ἐξῃρημένα καὶ θῦσαι μετ' ἐκείνων. — Ceterum edd. vett. post θεοῖς male insertum habent pronomen τὶς, quod in plurimis codd. Gronovii non exstat. Paulo ante ed. Bas. τεμένει. Vid. ann. ad. VII, 16, 12.

ἀτὰρ οὐχ ἥκιστα] Pro οὐχ ἥκιστα δέ, referendum ad prius orationis membrum πολλοῖς μὲν καὶ ἄλλοις. Particula ἀτάρ, quam poeticam duco, legitur apud Platon. Phaed. p 60, D et saepe apud Xenophontem, ut Anab. VII, 7, 10. αὐτάρ habet Arr. Epict. III, p. 314, Borh. Ceterum cf. Himer. Orat. V, p. 480 τῆς τε ἄλλης ἀρετῆς ἕνεκα, ἀτὰρ οὐχ ἥκιστα τῆς σπουδῆς. Or. VI, p. 506 ἀτὰρ δὴ καὶ τόδ' οὐχ ἥκιστα. Ael. vv. hh. II, 44 πολλὰ μὲν καὶ ἄλλα —, ἀτὰρ οὖν καὶ τόδε. Xenoph. Hist. Gr. V, 4, 17 πολλὰ μὲν γὰρ καὶ ἄλλα — ἀτὰρ καί. Vide Perizon. ad Ael. l. l. III, 16.

4. τὸ θεῖον δὲ ὅτι ἄνω που ἱδρυμένον] Particula ὅτι, quae non tam propter priorem enunciati partem, quam ob posteriorem καὶ

μῳ. Τοὺς μὲν γὰρ ἀνθρώπους φιλεῖσθαι πρὸς τῶν ἀσπα- 4
ζομένων, τὸ θεῖον δὲ ὅτι ἄνω που ἱδρυμένον καὶ οὐ-
δὲ ψαῦσαι αὐτοῦ θέμις, ἐπὶ τῷδε ἄρα τῇ προσκυνήσει
γεραίρεται· καὶ χοροὶ τοῖς θεοῖς ἵστανται, καὶ παιᾶνες
ἐπὶ τοῖς θεοῖς ᾄδονται. Καὶ οὐδὲν θαυμαστὸν ὁπότε γε 5
καὶ αὐτῶν τῶν θεῶν ἄλλοις ἄλλαι τιμαὶ πρόσκεινται,
καὶ ναὶ μὰ Δία ἥρωσιν ἄλλαι, καὶ αὗται ἀποκεκριμέναι
τοῦ θείου. Οὔκουν εἰκὸς ξύμπαντα ταῦτα ἀναταράσσον- 6
τας τοὺς μὲν ἀνθρώπους ἐς σχῆμα ὑπέρογκον καθιστάναι
τῶν τιμῶν ταῖς ὑπερβολαῖς, τοὺς θεοὺς δὲ τό γε ἐπὶ

οὐδὲ ψαῦσαι θέμις in edd. vett. desiderabatur, iam a Gronovio ex omnium codicum auctoritate in suam sedem restituta est. Recte idem conferri iubet Eustath. ad Iliad. *η'*, v. 178 *ὧδε δέ τις εἴπεσκεν ἰδὼν εἰς οὐρανὸν εὐρύν· ὅτι εἰς οὐρανὸν ὁρῶντες οἱ Ἕλληνες εὔχονται, ἔνθα ἱδρύσθαι τὸ θεῖον δοκεῖ.* Adde quae dixit Wyttenb. ad. Iulian. Orat. p. 193, ed. Lips.

5. *καὶ ναὶ μὰ Δία*] Edd. ante Schmied. *καὶ ναὶ μάλιστα.* Gronovius ad h. l.: „in omnibus, inquit, scriptis, tam Perusino, quam Florentinis (et postea quoque notavit ex V. C. Vulcanius) perspicue satis legitur *καὶ ναὶ μὰ Δία,* quod tam pretiosum est, quam inane ac ineptum est vulgatum, perinde ut in Alexandri oratione V, 26, 14 *οὐκ ἐμπλήσας μὰ Δία ὑμᾶς.* Unde id prorsus restituendum."

6. *ἀναταράσσοντας*] Sic omnes codd. Gronovii. *ταράσσοντας* edd. vett. Simplex si pro composito ab omnibus codicibus commendaretur, non minus aptum foret. Utrumque enim verbum Arriano in usu fuit. Quem vide III, 10, 2 *ἀπροσδοκήτοις τε γὰρ καὶ ἀνατεταραγμένοις ἐπιθήσεσθαι.* III, 13, 1 *ὡς ἀναταράξοντες αὐτῷ τὴν φάλαγγα.* IV, 4, 7 *Ἀλέξανδρος δὲ τεταραγμένους πρὸς τὰ βέλη ἰδών.* V, 16, 6 *πρὶν τεταραγμένην τὴν φάλαγγα — κατίδωσιν.* V, 17, 2 *τοῦτό τε εὐθὺς ἐτάραξε τὰς τάξεις τε καὶ τὰς γνώμας τῶν Ἰνδῶν.* VI, 5, 2 *ὅτι μὴ ταράξαντα τοὺς ἐμπλέοντας.* Similiter confusa vide verba *ταράξαι* et *συνταράξαι* VI, 5, 2. — Paulo supra ed. Bas. *οὐκοῦν.* Cf. ann. ad III, 24, 4.

τό γε ἐπὶ σφίσιν] Minus accurate interpretes: *et deos ad statum ab illorum dignitate alienum redigere.* Hic potius est verborum sensus: *deos autem, quantum in ipsis sit, ad humilitatem iis minime dignam redigere.* Ad formulam *τό γε ἐπὶ σφίσιν* cf. III, 28, 8 *ψιλὸν δὲ τὸ πολὺ αὐτοῦ τό γε ταύτῃ.* VII, 11, 11 *τό γε ἀπὸ τούτου.* Lucian. diall. deorr. VIII *τό γε ἐπ' ἐμοί.* Apud Dionys.

σφίσιν ἐς ταπεινότητα οὐ πρέπουσαν καταβάλλειν, τὰ
7 ἴσα ἀνθρώποις τιμῶντας. Οὔκουν οὐδὲ Ἀλέξανδρον ανα-
σχέσθαι ἂν, εἰ τῶν ἰδιωτῶν τις εἰσποιοῖτο ταῖς βασιλι-
8 καῖς τιμαῖς χειροτονίᾳ ἢ ψήφῳ οὐ δικαίᾳ. Πολὺ ἂν οὖν
δικαιότερον τοὺς θεοὺς δυσχεραίνειν, ὅσοι ἄνθρωποι
ἐς τὰς θείας τιμὰς σφᾶς εἰσποιοῦσιν ἢ πρὸς ἄλλων
9 εἰσποιούμενοι ἀνέχονται. Ἀλέξανδρον δὲ πόῤῥω τοῦ ἱκα-
νοῦ ἀνδρῶν ἀγαθῶν τὸν ἄριστον εἶναί τε καὶ δοκεῖν,
καὶ βασιλέων τὸν βασιλικώτατον, καὶ στρατηγῶν τὸν ἀξιο-
10 στρατηγότατον. Καὶ σὲ εἴπερ τινὰ ἄλλον, ὦ Ἀνάξ-
αρχε, εἰσηγητήν τε τούτων τῶν λόγων ἐχρῆν γίγνεσθαι

Hal. Antiqq. VII, 45 scribendum videtur cum Sylburgio *τό γε ἐπὶ τούτῳ εἶναι μέρος* pro vulg. *τό γε ἐπὶ τοῦτον.* Vide tamen Porson. ad Eurip. Orest v. 1338.

7. *Οὔκουν οὐδέ*] Ed. Bas., ut supra, *οὐκοῦν.* Mox eadem *εἰσποιῆτο.* Quae vitiosa forma orta est ex simili vocalium *η* et *οι* pronunciatione. — Ceterum hunc locum a verbis *οὔκουν οὐδέ* usque ad *ἀνέχονται* memorat Grammat. Bekk. Anecdd. I, p. 145 s. v. *εἰσποιοῦμαι· ἀντὶ τοῦ καλλωπίζομαι καὶ ἀνέρχομαι νοσφιζόμενος.* Et accuratissime omnia descripsit, praeterquam quod pro vulgato *πρὸς ἄλλων* habet *πρὸς τῶν ἄλλων.* Non male.

8. *εἰσποιούμενοι ἀνέχονται*] Paulo rarior est apud Arrianum verbi *ἀνέχεσθαι* constructio cum participio, de qua vide Monk. ad Eurip. Hippol. v. 354. Blomf. ad Aesch. Pers. v. 843. Soph. Oed. Col. v. 1170. Lys. c. Simon. p. 191, Bekk. *ἠνεσχόμην ἀδικούμενος,* et quae larga manu dedit exempla Matth. Gr. Gr. ub. p. 1060. Cum infinitivo constructum vide illud verbum apud Arr. II, 17. 4 *οὐ γὰρ ἀνέξονται — κινδυνεύειν.* V, 29, 1 *ὅτι πρὸς σφῶν μόνων νικηθῆναι ἠνέσχετο.*

9. *τὸν ἀξιοστρατηγότατον*] Ita edd. vett. et quattuor codd. Gronovii. *τὸν ἀξιοστρατηγικώτατον* cod. F., quem secutus est Schmiederus. Sed valde suspecta videtur haec altera adiectivi forma; id quod sensit iam Bornemannus ad Xenoph. Anab. III, 1, 24 *φάνητε τῶν λοχαγῶν ἄριστοι καὶ τῶν στρατηγῶν ἀξιοστρατηγότεροι.* Et quis est quin intelligat, Arrianum, cum sua scribebat, in mente habuisse verba Xenophontis?

10. *Καὶ σὲ —*] Edd. omnes *καί σε.* Paulo infra ed. Bas. *οὐκοῦν.*

11. *Ἡρακλείδῃ δὲ ἀπὸ γένους*] Cf. II, 5, 12 *αὐτὸς δὲ ἀπ' Ἄργους τῶν Ἡρακλειδῶν εἶναι ἠξίου.* III, 3, 2 *Ἀλεξάνδρῳ δὲ φιλοτι-*

καὶ κωλυτὴν τῶν ἐναντίων, ἐπὶ σοφίᾳ τε καὶ παιδεύσει Ἀλεξάνδρῳ ξυνόντα· οὔκουν ἄρχειν σε τοῦδε τοῦ λόγου 11 πρέπον ἦν, ἀλλὰ μεμνῆσθαι γὰρ οὐ Καμβύσῃ οὐδὲ Ξέρξῃ ξυνόντα ἢ συμβουλεύοντα, ἀλλὰ Φιλίππου μὲν παιδὶ, Ἡρακλείδῃ δὲ ἀπὸ γένους καὶ Αἰακίδῃ, ὅτου οἱ πρόγονοι ἐξ Ἄργους εἰς Μακεδονίαν ἦλθον, οὐδὲ βίᾳ, ἀλλὰ νόμῳ Μακεδόνων ἄρχοντες διετέλεσαν. Οὔκουν οὐδὲ αὐ- 12 τῷ τῷ Ἡρακλεῖ ζῶντι ἔτι θεῖαι τιμαὶ παρ' Ἑλλήνων ἐγένοντο, ἀλλ' οὐδὲ τελευτήσαντι πρόσθεν ἢ πρὸς τοῦ θεοῦ τοῦ ἐν Δελφοῖς ἐπιθεσπισθῆναι ὡς θεὸν τιμᾶν Ἡρακλέα. Εἰ δ' ὅτι ἐν τῇ βαρβάρῳ γῇ ὀλίγοι γίγνονται, 13

μία ἦν πρὸς Περσέα καὶ Ἡρακλέα, ἀπὸ γένους τε ὄντι τοῦ ἀμφοῖν. IV, 7, 7 *ἐσθῆτά τε ὅτι Μηδικὴν — Ἡρακλείδης ὢν μετέλαβεν, οὐδαμῇ ἐπαινῶ.* Ad Ammonem genus suum retulisse dicitur Alexander Arr. III, 3, 3. Justin. XI, 11 et Plut. vit. Al. c. III. Quibus adde Paus. IV, 14, 5 *Μεσσήνιοι γὰρ οὐκ εἰσποιοῦσιν Ἀριστομένην Ἡρακλεῖ —, ὥσπερ Ἀλέξανδρον Ἄμμωνι οἱ Μακεδόνες.* Ael. vv. hh. I, 25 *Ἀλέξανδρος ὁ Φιλίππου (εἰ δέ τῳ δοκεῖ, ὁ τοῦ Διός· ἐμοὶ γὰρ οὐδὲν διαφέρει).* Ex Aeacidarum stirpe prognatum fuisse Alexandrum tradit Paus. I, 9, 10 *καὶ γὰρ Ἀλέξανδρος ἠπειρώτης τε ἦν καὶ τῶν Αἰακιδῶν τὰ πρὸς μητρός,* et Appian. bell. civv. II, c. 151 *ὁ μὲν* (sc. *Ἀλέξανδρος*) *Αἰακίδης τε καὶ Ἡρακλείδης.* — Supra ed. Bas. *ἄρχειν τε* et *Ξέρξην.* Perperam.

12. *ἐπιθεσπισθῆναι*] Sic edd. vett. et quattuor codd. Gronovii. *θεσπισθῆναι* cod. F. et ex eo Schmiederus. Parum consulte, puto. Non tam enim dicere voluit Arrianus, ab oraculo Delphico *iussum fuisse*, Herculem coli tanquam deum (quod foret *θεσπισθῆναι*), quam *permissum fuisse* rogantibus, quod est *ἐπιθεσπισθῆναι.* Inde etiam dixit VI, 19, 9 *καὶ ταύτας δὲ* (sc. *τὰς θυσίας*) *κατ' ἐπιθεσπισμὸν θύει τοῦ Ἄμμωνος.* Similem scripturae discrepantiam notavimus ad I, 18, 10.

13. *Εἰ δ' ὅτι — γίγνονται*] Edd. ante nos omnes *εἰ δ' ὅτι — γίγνωνται.* Quod quomodo defendi possit, equidem non video. Cum autem in ed. Basil. ο et ω quam crebro confusum reperiatur, dici vix possit (vid. ann. ad I, 22, 4): nonne veri simillimum est, a recentoribus editoribus, qui omnes ad unum de usu et natura coniunctivi nihil perspectum habuere, vitiosam editionis Basil. scripturam tacite receptam esse, ita ut ne opus quidem esse putarent consulere codices? Ex eadem illa editorum ignorantia orta

βαρβαρικὰ χρὴ ἔχειν τὰ φρονήματα, καὶ ἐγὼ τῆς Ἑλλάδος μεμνῆσθαί σε ἀξιῶ, ὦ Ἀλέξανδρε, ἧς ἕνεκα ὁ πᾶς στόλος σοι ἐγίγνετο, προσθεῖναι τὴν Ἀσίαν τῇ Ἑλλάδι.
14 Καὶ οὖν ἐνθυμήθητι ἐκεῖσε ἐπανελθών, ἆρά γε καὶ τοὺς Ἕλληνας τοὺς ἐλευθερωτάτους προσαναγκάσεις ἐς τὴν προσκύνησιν, ἢ Ἑλλήνων μὲν ἀφέξῃ, Μακεδόσι δὲ προσ-
15 θήσεις τήνδε τὴν ἀτιμίαν· ἢ διακεκριμένα ἔσται σοὶ αὐτῷ τὰ τῶν τιμῶν ἐς ἅπαν, ὡς πρὸς Ἑλλήνων μὲν καὶ Μακεδόνων ἀνθρωπίνως τε καὶ Ἑλληνικῶς τιμᾶσθαι,
16 πρὸς δὲ τῶν βαρβάρων μόνων βαρβαρικῶς. Εἰ δὲ ὑπὲρ Κύρου τοῦ Καμβύσου λέγεται, τὸν πρῶτον προσκυνηθῆναι ἀνθρώπων Κῦρον, καὶ ἐπὶ τῷδε ἐμμεῖναι Πέρσαις

---

est et propagata mala imo inaudita prope forma V, 19, 9 εἰ μὴ ἀπάξωσιν. Inde etiam, quod multum scrupuli iniecit Fritzschio Qu. Lucc. p. 44: ἀγανακτῶ ὅτι μὴ μεταλαμβάνωσι apud Lucian. Nigr. c. 24, cuius rei memores fuimus in praef. t. I, p. XXIII, sq.

στόλος σοι ἐγίγνετο] Ed. Bas. ἐγίνετο, aeque recte. Mox tamen eadem προσθῆναι, perperam.

15. ἐς ἅπαν] Ed. Bas. ἐς ἅπασαν. De duplici scriptura ἐς ἅπαν et ἐσάπαν simill. vid. ann. ad I, 12, 8. — Ceterum ne mireris verba ἀνθρωπίνως τε καὶ Ἑλληνικῶς Arriano opposita quasi exhiberi vocabulo βαρβαρικῶς. Quemadmodum enim Ἑλληνικά ea vocantur, *quae iusta, recta et exculto homine digna sunt*: sic τὰ βαρβαρικά ea complectuntur quae *nimis dura, aspera, crudelia sunt et a moribus Graecorum ut politorum hominum aliena.* Inde Arrianus de Thebanis loquens dixit I, 9, 10 καὶ τῆς τῶν παραδόντων σφᾶς Λακεδαιμονίοις οὐχ Ἑλληνικῆς γενομένης διὰ Θηβαίους (? Θηβαίων) σφαγῆς. Inde Aelian. vv. hh. V, 11 μὴ ποιήσας Ἑλληνικά. Vide Periz. ad Ael. l. l. VII, 8.

16. τὸν πρῶτον προσκυνηθῆναι] Ita codd. Gronovii omnes et edd. praeter ed. Basil., in qua expressum est τὸ πρῶτον. Minus apte. Cf. IV, 12, 4 τὸν δὲ πρῶτον ἐκπιόντα τὴν φιάλην προσκυνῆσαι, et quae diximus in ann. ad II, 9, 1. Mox eadem ed. Κύρον et Μήδων.

ἐσωφρόνισαν] Ed. Bas. ἐσωφρόνησαν, ex nota vocalium η et ι confusione, quam passim iam notavimus. Vide ad II, 21, 7 et III, 9, 14. Adde quae diximus ad VII, 16, 12.

C. XII. ἀνιᾶσαι] Edd. ante Schmiederum omnes ἀνιάσαι.

πρὸς θυμοῦ εἰπεῖν] Sic cod. F., unde recepit Schmiederus.

τε καὶ Μήδοις τήνδε τὴν ταπεινότητα, χρὴ ἐνθυμεῖσθαι, ὅτι τὸν Κῦρον ἐκεῖνον Σκύθαι ἐσωφρόνισαν, πένητες ἄνδρες καὶ αὐτόνομοι, καὶ Δαρεῖον ἄλλοι αὖ Σκύθαι, καὶ Ξέρξην Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, καὶ Ἀρταξέρξην Κλέαρχος καὶ Ξενοφῶν καὶ οἱ ξὺν τούτοις μύριοι, καὶ Δαρεῖον τοῦτον Ἀλέξανδρος μὴ προσκυνούμενος.

XII. *Ταῦτα δὴ καὶ τοιαῦτα εἰπόντα Καλλισθένην ἀνιᾶσαι μὲν μεγαλωστὶ Ἀλέξανδρον, Μακεδόσι δὲ πρὸς θυμοῦ εἰπεῖν· καὶ τοῦτο γνόντα Ἀλέξανδρον, πέμψαντα κωλῦσαι Μακεδόνας μεμνῆσθαι ἔτι τῆς προσκυνήσεως.* 2
Ἀλλὰ σιγῆς γὰρ γενομένης ἐπὶ τοῖς λόγοις, ἀναστάντας Περσῶν τοὺς πρεσβυτάτους ἐφεξῆς προσκυνεῖν. Λεοννά- 3

In edd. vett. et tribus codd. Gronovii legebatur *ἀδελφὰ εἰπεῖν*. In uno cod. Flor. vidisse se testatur Gronovius *ἀδελφὸν εἰπεῖν*. »Vix decerno, quae glossa quaeve interpretatio habenda. Suidas quidem operosior est in explicandis illis *πρὸς θυμοῦ*, quam voce *ἀδελφός*. Verum ipsa significatio, qua gaudet istud adiectivum, est non satis conveniens huic loco, ubi sane requiritur *gratissima*, ut dedit Vulcanius, aut *Macedones libenter audierunt*, ut Facius. Idcirco stare cogor ab Optimo codice, praesertim cum utatur eodem sermone V, 2, 1 *καὶ ταῦτα Ἀλεξάνδρῳ πρὸς θυμοῦ ἐγίγνετο ἀκούειν*. VII, 6, 1 *τοὺς γάμους οὐ πρὸς θυμοῦ γενέσθαι τοῖς πολλοῖς αὐτῶν*.« *Gronov.* Exemplis a Gronovio allatis adde III, 4, 8 *καὶ ἀκούσας ὅσα αὐτῷ πρὸς θυμοῦ ἦν*. VII, 12, 15 *οὐχ ὡσαύτως εἶναι πρὸς θυμοῦ*. Nihilominus tamen vulgata scriptura habet quo defendatur. Nimirum ea servata hic est loci sensus: *Callisthenem, cum haec et alia similia libere pronunciaret, Alexandrum quidem maximo affecisse dolore, eadem tamen quae Macedones dixisse.* De significatione et constructione vocis *ἀδελφός* vide quae Schaeferus dixit ad Greg. Cor. p. 569 et ante eum Periz. ad Ael. vv. hh. II, 19. — Infra pro *κωλῦσαι*, quod primus dedit Schmiederus e cod. F., edd. vett. et quattuor codd. Gronovii praebent *κυκλῶσαι*. Similem scribendi errorem notavimus ad III, 14, 2.

3. *ἐπιγελάσαι τῷ σχήματι*] Hunc dativum suppeditavit cod. F. In edd. ante Schmiederum et quattuor codd. Gron. legebatur *τοῦ σχήματος*. Quod ferri nequit. cf. Arr. V, 2, 4 *ἐπιμειδιάσαι τῷ λόγῳ*. Est enim *ἐπιγελάσαι τινί* idem quod alias dicitur *γελάσαι ἐπί τινι*, ut Arr. V, 2, 4 *καὶ Ἀλέξανδρον ἐρέσθαι ἐφ' ὅτῳ ἐγέλασεν*. Xen. Cyrop. II, 2, 16 *ἐπὶ τούτῳ μὲν οἵ τε ἄλλοι ἐγέλασαν καί —*.

τον δὲ ἕνα τῶν ἑταίρων, ἐπειδή τις ἐδόκει τῶν Περσῶν
αὐτῷ οὐκ ἐν κόσμῳ προσκυνῆσαι, τὸν δὲ ἐπιγελάσαι τῷ
σχήματι τοῦ Περσοῦ ὡς ταπεινόν· καὶ τούτῳ χαλεπήναν-
4 τα τότε Ἀλέξανδρον ξυναλλαγῆναι αὖθις. Ἀναγέγραπται
δὲ δὴ καὶ τοιόσδε λόγος· προπίνειν φιάλην χρυσῆν ἐν
κύκλῳ Ἀλέξανδρον πρώτοις μὲν τούτοις πρὸς οὕστινας
ξυνέκειτο αὐτῷ τὰ τῆς προσκυνήσεως· τὸν δὲ πρῶτον
ἐκπιόντα τὴν φιάλην προσκυνῆσαί τε ἀναστάντα καὶ φι-
ληθῆναι πρὸς αὐτοῦ, καὶ τοῦτο ἐφεξῆς διὰ πάντων χω-
5 ρῆσαι· ὡς δὲ ἐς Καλλισθένην ἧκεν ἡ πρόποσις, ἀναστῆ-
ναι μὲν Καλλισθένην καὶ ἐκπιεῖν τὴν φιάλην, καὶ προσ-
6 ελθόντα ἐθέλειν φιλῆσαι οὐ προσκυνήσαντα. Τὸν δὲ τυ-
χεῖν μὲν τότε διαλεγόμεεον Ἡφαιστίωνι· οὔκουν προσέ-
χειν τὸν νοῦν εἰ καὶ τὰ τῆς προσκυνήσεως ἐπιτελῆ αὐτῷ
7 Καλλισθένει ἐγένετο. Ἀλλὰ Δημήτριον γὰρ τὸν Πυθώ-

Conviv. III, 10 ἐπεὶ δὲ ἐγέλασεν ἐπ' αὐτῷ. Vide Bornem. ad Xen. Anab. V, 4, 34 et ad Conviv. l. l. Similia tetigere Siebel. ad Paus. VI, 1, 2 et Heindorf. ad Plat. Cratyl. p. 6 et p. 107. — Supra ed. Bas. ἐπειδή τι ἐδώκει (sic).

ὡς ταπεινόν] Sic omnes codd. quos inspexit Gronovius, sic quoque ed. Bas. Vulcanius, cum scriptum legeret τοῦ σχήματος, primus dedit ταπεινοῦ, quod vel probarunt vel non correxerunt Blancardus, Gronovius, Raphelius. Si quid mutandum hodie esset, scribendum foret ταπεινῷ, ut ad τῷ σχήματι relatum. Accusativum tamen si mecum probas, absolute eum positum existima. Vide ann. ad I, 29, 4.

τούτῳ χαλεπήναντα] Edd. vett. et quattuor codd. Gron. τούτου χαλ. Verum praebuit solus cod. F. Vide, si in re tritissima exemplis opus est, IV, 13, 5 ἐχαλέπηνε τῷ Ἑρμολάῳ. VII, 18, 9 τοσοῦτου δεῆσαι χαλεπῆναι τῷ Πειθαγόρᾳ. Si genitivum omnes suppeditarent codices, ante eum existimarem excidisse praepositionem κατά. Similiter enim dixit Lucian. Gall. c. 3 ἀγανακτῆσαι κατὰ τοῦ ἀλεκτρυόνος. c. 12 ἀγανακτῶ κατὰ σοῦ.

4. διὰ πάντων] Ed. Bas. διαπάντων. — Mox eadem προσκυνήσοντα.

ξυνέκειτο — προσκυνήσεως] Recte Vulcanius: *quibuscum de se adorando convenisset.* cf. IV, 10, 7 συγκεῖσθαι μὲν γὰρ τῷ Ἀλεξάνδρῳ πρὸς τοὺς σοφιστάς.

6. οὔκουν προσέχειν τὸν νοῦν εἰ καὶ — ἐγένετο] Vulgata ante

νακτος ἕνα τῶν ἑταίρων, ὡς προσῄει αὐτῷ ὁ Καλλισθένης
φιλήσων, φάναι ὅτι οὐ προσκυνήσας πρόσεισι καὶ τὸν Ἀλέξ-
ανδρον οὐ παρασχεῖν φιλῆσαι ἑαυτόν· τὸν δὲ Καλλισθένην
φιλήματι, φάναι, ἔλαττον ἔχων ἄπειμι. Καὶ τούτων ἐγὼ ὅσα 8
ἐς ὕβριν τὴν Ἀλεξάνδρου τὴν ἐν τῷ παραυτίκα καὶ ἐς σκαιό-
τητα τὴν Καλλισθένους φέροντα, οὐδὲν οὐδαμῇ ἐπαινῶ· ἀλ-
λὰ τὸ καθ' αὑτὸν γὰρ κοσμίως τίθεσθαι ἐξαρκεῖν φημὶ
αὔξοντα ὡς ἀνυστὸν τὰ βασιλέως πράγματα, ὅτῳ τις ξυν-
εῖναι οὐκ ἀπηξίωσεν. Οὔκουν ἀπεικότως δι' ἀπεχθείας 9
γενέσθαι Ἀλεξάνδρῳ Καλλισθένην τίθεμαι ἐπὶ τῇ ἀκαίρῳ
τε παῤῥησίᾳ καὶ ὑπερόγκῳ ἀβελτηρίᾳ. Ἐφ' ὅτῳ τεκμαί- 10
ρομαι μὴ χαλεπῶς πιστευθῆναι τοὺς κατειπόντας Καλλι-
σθένους, ὅτι μετέσχε τῆς ἐπιβουλῆς τῆς γενομένης Ἀλεξάν-
δρῳ ἐκ τῶν παίδων, τοὺς δὲ ὅτι καὶ ἐπῆρεν αὐτὸς εἰς τὸ
ἐπιβουλεῦσαι. Ξυνέβη δὲ τὰ τῆς ἐπιβουλῆς ὧδε.

Schmiederum fuit *καὶ ἐπιτελῆ ἐγένετο*, omissa particula *εἰ*. In uno cod. Flor. et V. C. Vulcanii legebatur *καὶ — οὐκ ἐπιτελῆ ἐγένετο*. Sola vera est scriptura codicis 1., quam Schmiederum secuti recepimus. Sensus verborum hic est: *non igitur animadvertisse eum, num etiam integra facta esset Callisthenis adoratio.*

7. *φιλήματι, φάναι, ἔλαττον*] Signa parentheseos, quibus verbum *φάναι* circumscriptum erat in omnibus editionibus, delevi. Idem infra fecimus, ubi verba *ὡς ἀνυστόν* cancellis circumdederant ante nos editores. Ceterum verba ista apte ita converteris in vernaculum sermonem: *Dann gehe ich um einen Kuss ärmer fort.* Plane eadem narrat Plut. vit. Alex. c. LIV.

8. *ὡς ἀνυστόν*] Ed. Basil. *ὡς ἀνιστόν*. Ceterum compara I, 14, 10 *ἀλλὰ καὶ αὐτὸς, ὡς ἀνυστὸν, τῇ φάλαγγι προσμίξῃ.* Xenoph. Anab. I, 8, 11 *ἀλλὰ σιγῇ ὡς ἀνυστὸν καὶ ἡσυχῇ — προσῄεσαν*, ubi vide annotationem Kruegeri.

10. *μὴ χαλεπῶς πιστευθῆναι*] Non defuerint qui exspectent scriptum *οὐ χαλεπῶς πιστευθῆναι*, collatis similibus IV, 14, 1 *οὐ χαλεπῶς πιστεῦσαι.* V, 14, 2 *γνώμην πεποίητο — ἢ κρατήσειν αὐτῶν οὐ χαλεπῶς.* V, 14, 6 *καὶ τραπῆναι αὐτοὺς οὐ χαλεπῶς*, et VII, 21, 9 *οὔτ' ἂν διαχεῖσθαι παρέχειν τὸ ὕδωρ —, τήν τε ἀποστροφὴν — μὴ χαλεπῶς γίγνεσθαι.* VII, 25, 7 et 9 *καὶ τὰ ἱερὰ ἐπιθέντα οὐκέτι ἐλινύειν πυρέσσοντα — —· τῇ δὲ ἐπιούσῃ καὶ θῦσαι καὶ μηδὲν μεῖον ἔτι παραγγέλλειν.* Sed ex iis quae Hermannus de usu particularum *οὐ* et *μή* circumspecte disseruit ad Vigerum

XIII. Ἐκ Φιλίππου ἦν ἤδη καθεστηκὸς, τῶν ἐν τέ-
λει Μακεδόνων τοὺς παῖδας ὅσοι ἐς ἡλικίαν ἐμειρακίσαν-
2 το, καταλέγεσθαι ἐς θεραπείαν τοῦ βασιλέως. Τά τε
περὶ τὴν ἄλλην δίαιταν τοῦ σώματος διακονεῖσθαι βασι-
λεῖ καὶ κοιμώμενον φυλάσσειν τούτοις ἐπετέτραπτο· καὶ

---

p. 808 sq. (nam Matthiaeus in Grammatica sua diversissima commiscuisse mihi videtur) satis apparet in plerisque omnibus accuratissime observasse Arrianum discrimen particularum οὐ et μή. Dubitandi locum concessum video de iis quae postrema ex Arriano adscripsimus. Quid enim erat quod in re quae facta *narratur*, non *cogitatur*, diceret μηδὲν μεῖον ἔτι παραγγέλλειν pro οὐδὲν μεῖον ἔτι κ. τ. λ.! Sed vide interim Fritzsch. Qu. Lucc. p. 44. Schaef. ad Demosth. I, p. 529 et ann. ad Arr. V, 8, 1.

τοὺς δὲ ὅτι καὶ ἐπῆρεν αὐτός] Ita omnes codd. Gronovii cum ed. Basil. ὅτι καὶ ἐπῆρεν αὐτούς ed. Vulc. et Blanc. Quod, quamvis ferri possit, tamen altero deterius est. Hunc enim censeo esse loci sensum: *aliis* (sc. fidem habitam fuisse), *qui illum ipsum dicebant ad insidias struendas adhortatum esse*. Accusativum Vulcanius fortasse propterea intulit, quod alibi apud Arrianum similem verborum structuram viderat, ut I, 10, 1 τῶν ἐπαράντων σφᾶς εἰς τὴν βοήθειαν. IV, 14, 1 ὅτι καὶ Καλλισθένην ἐπᾶραι σφᾶς ἔφασαν ἐς τὸ τόλμημα. Hist. Ind. XX, 9 τοὺς πάντη δὴ κατοκνέοντας ἐς ῥώμην — ἐπηρκότα ἦν.

C. XIII. ὅσοι ἐς ἡλικίαν ἐμειρακίσαντο] Schneiderus, qui in Lexico suo s. v. μειρακίζεσθαι haec verba convertit ita: *welche aus den Kinderjahren in die Juenglingsjahre gekommen waren*, locum sic videtur intellexisse, quasi ἐς ἡλικίαν pendeat ab ἐμειρακίσαντο. At dubito an recte hoc fieri possit. Mihi quidem verba quae sunt ἐς ἡλικίαν absolute posita videntur, quomodo dixit II, 7, 11 εἰ δή τῳ ἰδίᾳ τι διαπρεπὲς ἐς κάλλος τετολμημένον et VII, 11, 9 καθ' ἡλικίαν — οὐκ ἀφανής. Quod si verum est, hunc lucramur verborum sensum: *qui aetate iuvenes essent*. Sensum verborum quem Schneiderus in Arriani loco inesse voluit expressit Xenoph. de rep. Laced. III, 2 ὅταν ἐκ παίδων εἰς τὸ μειρακιοῦσθαι ἐκβαίνωσιν.

2. καὶ ὁπότε ἐξελαύνοι] Ed. Bas. ἐξελαύνει. Perperam. — Mox apud Schmiederum vidimus scriptum ἀνέβαλον οὗτοι pro vulgato ἀνέβαλλον, quod solum verum. Cf. Xen. Anab. IV, 4, 4 καὶ ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλεν, ubi vide ann. Schneideri. Ex more Persarum fieri, ut equites

ὁπότε ἐξελαύνοι βασιλεύς, τοὺς ἵππους παρὰ τῶν ἱπποκόμων δεχόμενοι ἐκεῖνοι προσῆγον, καὶ ἀνέβαλλον οὗτοι βασιλέα τὸν Περσικὸν τρόπον, καὶ τῆς ἐπὶ θήρᾳ φιλοτιμίας βασιλεῖ κοινωνοὶ ἦσαν. Τούτων καὶ Ἑρμόλαος 3
ἦν Σωπόλιδος μὲν παῖς, φιλοσοφίᾳ δὲ ἐδόκει προσέχειν

---

ab aliis in equum imponantur, idem Xenophon narrat de re equ. VI, 12 *ἐπίστασθαι τὸν ἱπποκόμον ἀναβάλλειν τὸν Περσικὸν τρόπον.* Hipparch. I, 17 *τὸν Περσικὸν τρόπον ἀναβάλλεσθαι ὑπ' ἄλλων.*

τῆς ἐπὶ θήρᾳ φιλοτιμίας] Interpretantur: *et venationi studentem comitabantur.* Satis apte. Sed id non perspicitur, num *ἐπὶ θήρᾳ* sit *inter venandum*, ita ut tempus praepositio *ἐπί* indicet quo quid fit, ut in similibus v. c. *ἐπὶ τῇδε τῇ ἡμέρᾳ* II, 26, 8: an verba illa pendeant a *φιλοτιμίας.* Quod si ita sit (et mihi quidem ita esse videtur), dativus addita praepositione *ἐπί* idem fere valet quod alias simplex genitivus, quem Arrianus tum ob *κακοφωνίαν* evitasse potest, tum etiam quia minus aperta fuisset sententia. Eadem causa motus scripsit I, 12, 16 *τῆς ἐκ βασιλέως τιμῆς ἕνεκα.* III, 23, 14 *τῆς εἰς Δαρεῖον πίστεως ἕνεκα.* III, 27, 1 *τῆς ἐπιβουλῆς τῆς κατ' Ἀλεξάνδρου.* V, 19, 6 *τῆς νίκης τῆς κατ' Ἰνδῶν.*

3. *Ἑρμόλαος ἦν Σωπόλιδος μὲν παῖς*] Sic edd. vett. et quattuor codd. Gronovii. Verbum substantivum primus exterminavit Schmiederus, iubente cod. F., qui perpetuus fere huius verbi adversarius exstitit. Vide ann. ad. II, 22, 8. IV, 10, 9. VI, 2, 4. Particulae *μέν — δέ*, nisi fallor, minus recte h. l. collocatae sunt, ut IV, 9, 4 *καὶ τὴν Κλείτου μὲν ἀδελφήν, αὐτὸν δὲ ἀναθρεψαμένην.*

4. *Ὑπὲρ τούτου λόγος κατέχει*] Primum quidem in edd. ante Gronovium verba ita distincta fuerunt, ut, puncto post *θεραπεύειν* posito, verba *ἐπὶ τῷδε* ad sequentia essent relata. Satis inepte. Deinde pro *κατέχει*, quod e cod. F. dedimus Schmiederum secuti, tres codd. Grónovii habent *προσφέρει*, quibus obsecutum miramur Borheckium; in uno cod. Flor. verbum plane omissum est. Vulgo legebatur *πρεσβεύει.* At vero huius verbi ea significatio quam poscit rerum contextus, omni destituta est, si Arrianum consulas, auctoritate. Quod nobis probatum est *κατέχει*, nube exemplorum firmatur. Vide III, 7, 9 *ὅτων τὸ ἔργον τοῦτο λόγος εἶναι κατέχει.* IV, 10, 7 *ὑπὲρ δὲ τῆς προσκυνήσεως — καὶ τοιόσδε κατέχει λόγος.* VI, 14, 3 *ὅτι καὶ Ἀλέξανδρον — γενέσθαι λόγος κατέχει.* VII, 13, 9 *ὡς Ἡρακλέα — λόγος κατέχει ὅτι ἐστάλη.* VII, 20, 1 *λόγος δὲ κατέχει ὅτι ἤκουε.* Cf. Thuc. I, 10 *ὅσον οἵ τε ποιηταὶ εἰ-*

4 τὸν νοῦν καὶ Καλλισθένην θεραπεύειν ἐπὶ τῷδε. Ὑπὲρ
τούτου λόγος κατέχει ὅτι ἐς θήραν προσφερομένου Ἀλεξ-
άνδρῳ συὸς ἔφθη βαλὼν τὸν σῦν ὁ Ἑρμόλαος, καὶ ὁ μὲν
5 σῦς πίπτει βληθείς. Ἀλέξανδρος δὲ τοῦ καιροῦ ὑστερί-
σας ἐχαλέπηνε τῷ Ἑρμολάῳ καὶ κελεύει αὐτὸν πρὸς ὀρ-
γὴν πληγὰς λαβεῖν, ὁρώντων τῶν ἄλλων παίδων, καὶ τὸν
6 ἵππον αὐτοῦ ἀφείλετο. Τοῦτον τὸν Ἑρμόλαον ἀλγήσαντα
τῇ ὕβρει φράσαι πρὸς Σώστρατον τὸν Ἀμύντου, ἡλικιώ-
την τε αὐτοῦ καὶ ἐραστὴν ὄντα, ὅτι οὐ βιωτὸν οἷ ἔστι
μὴ τιμωρησαμένῳ Ἀλέξανδρον τῆς ὕβρεως· καὶ τὸν Σώ-
στρατον οὐ χαλεπῶς συμπεῖσαι μετασχεῖν τοῦ ἔργου ἅτε
7 ἐρῶντα. Ὑπὸ τούτων δὲ ἀναπεισθῆναι Ἀντίπατρόν τε

ρήκασι καὶ ὁ λόγος κατέχει, et ann. ad II, 3, 2. De usu et significatione verbi πρεσβεῦσαι vide quae diximus ad VI, 30, 5.

ὅτι ἐς θήραν προσφερομένου Ἀλεξάνδρῳ συός] Vulcanius: *quum Alexandro inter venandum aper occurrisset.* Recte, nisi forte προσφέρεσθαι h. l. passive dictum est, ut sensus loci hic sit: *cum Alexandro aper ad venandum immissus esset* (sc. a ceteris venatoribus); quomodo dixit VI, 25, 9 ἵναπερ προσφέρονταί τε αἱ νεφέλαι ὑπὸ τοῦ πνεύματος. At longe frequentior est medii usus apud Arrianum cum significatione *occurrendi, adoriendi, aggrediendi*, ut I, 28, 9 γυμνοί τε οἱ βάρβαροι ὄντες ὁπλίταις προσεφέροντο· V, 17, 11 οἱ μὲν Μακεδόνες — προσφερόμενοι τοῖς θηρίοις εἶκον. cf. ad I, 29, 4 et Siebel. ad Paus. IX, 13, 4. Et si hanc sequeris verbi interpretationem, ἐς θήραν similiter dictum est, ut ἐς τὴν ὑστεραίαν, de quo dicendi genere vide ann. ad III, 18, 4, coll. Pausan. IX, 5, 1 οἱ μὲν Ὕαντες ἐς τὴν νύκτα — ἐκδιδράσκουσι. cf. Bergl. et Wagn. ad Alciphr. Epp. III, 27. Lennep. ad Phalar. p. 223. Wernsd. ad Himer. p. 747. Cort. ad Sall. Jug. 112. Walch. Emendd. Livv. p. 46. Schleusn. Lex. N. T. s. v. εἰς. Longe alius generis sunt ea quae attulimus ad IV, 22, 3, quamvis vulgo ut similia comparentur. — Pro Ἀλεξάνδρῳ ed. Bas. Ἀλεξάνδρου.

6. ὅτι οὐ βιωτὸν οἷ ἔστι] Haec est lectio edd. vett. et quattuor codicum Gronovii. ὅτι ἀβίωτον οἷ ἔστι C. V. Vulcanii. ὅτι οὐ βιωτὸν οἷ αὐτῷ ἔστι cod. F., quod neque Schmiederus recipere ausus est, nec probavit Koen. ad. Greg. Cor. p. 84. Nec dubito quin Goellerus (ad Thucyd. VIII, 14, p. 375), si Arriani morem scribendi paulo magis cognitum habuisset, Koenii sententiae subscripsisset. Ut enim Arrianus saepissime dixit σφᾶς αὐτούς, ubi

τὸν Ἀσκληπιοδώρου τοῦ Συρίας σατραπεύσαντος, καὶ
Ἐπιμένην τὸν Ἀρσέου καὶ Ἀντικλέα τὸν Θεοκρίτου καὶ
Φιλώταν τὸν Κάρσιδος τοῦ Θρακός. Ὡς οὖν περιῆκεν 8
ἐς Ἀντίπατρον ἡ νυκτερινὴ φυλακή, ταύτῃ τῇ νυκτὶ ξυγ-
κείμενον εἶναι ἀποκτεῖναι Ἀλέξανδρον, κοιμωμένῳ ἐπιπε-
σόντας· ξυμβῆναι δὲ οἱ μὲν αὐτομάτως λέγουσιν ἔστε ἡμέραν
πίνειν Ἀλέξανδρον. Ἀριστόβουλος δὲ ὧδε ἀνέγραψε· Σύραν 9
γυναῖκα ἐφομαρτεῖν Ἀλεξάνδρῳ κάτοχον ἐκ τοῦ θείου γιγνο-
μένην, καὶ ταύτην τὸ μὲν πρῶτον γέλωτα εἶναι Ἀλεξάν-
δρῳ τε καὶ τοῖς ἀμφ' αὐτόν· ὡς δὲ τὰ πάντα ἐν τῇ κατ- 10
οχῇ ἀληθεύουσα ἐφαίνετο, οὐκέτι ἀμελεῖσθαι ὑπ' Ἀλεξάν-
δρου, ἀλλ' εἶναι γὰρ τῇ Σύρᾳ πρόσοδον πρὸς τὸν βασι-

---

simplex *σφᾶς* sufficeret (vid. ad I, 9, 13), ita nunquam eum affirmo usurpasse *σφῶν αὐτῶν* et *σφίσιν αὐτοῖς* (nam IV, 13, 13 ubi legitur *σφῶν τε αὐτῶν κατεῖπον*, quis est qui *αὐτῶν* contendat prorsus vacare?), quae tamen Thucydidi frequenti usu celebrata esse demonstravit Goell. ad Thuc. l. l. et ad VII, 48 p. 282. Dixit enim *σφίσιν* II, 3, 8. III, 17, 12. VI, 26, 9. coll. ann. ad III, 7, 3. III, 15, 5. IV, 1, 6. *σφῶν* I, 13, 10. I, 21, 2. I, 26, 6. II, 13, 11. III, 16, 5. III, 28, 17. IV, 1, 5. V, 25, 1. V, 29, 1. *ἑαυτῶν* I, 17, 1. III, 20, 3. Eodem modo etiam in singulari certis quibusdam formis sese addixit Arrianus. Nunquam enim scripsit *ἕ* pro *ἑαυτόν* s. *αὐτόν*; raro *οὗ* pro *ἑαυτοῦ* (vid. III, 9, 11 *πρὸς οὗ*. VII, 7, 1. VII, 12, 6 *ἀπὸ οὗ*); ubique, quod sciam, *οἷ* pro *ἑαυτῷ*; vid. ann. ad I, 12, 17. I, 15, 10 et III, 6, 11. Cum autem saepe apud eum *οἷ* et *αὐτῷ* in codd. confusa sint (vid. ad III, 6, 11. IV, 21, 11), quid mirum quod *αὐτῷ* glossae loco a scribis margini adscriptum postea cum *οἷ* coniunctum in textum transferebatur? Ad sententiam cf. Soph. Oed. Col. v. 1692 *ὁ μέλλων βίος οὐ βιωτός*. Dion. Halic. Antiqq. VIII, 16 *ἀβίωτον ἡγησάμην τὸν λοιπὸν ἔσεσθαι βίον*.

7. *Ὑπὸ τούτων δέ*] Sic cod. F., ad Sostratum quippe et Hermolaum relato pronominis plurali. *ὑπὸ τούτου* edd. vett. et reliqui codd. Gronovii.

8. *κοιμωμένῳ ἐπιπεσόντας*] In edd. vett. et tribus codd. Gronovii legebatur *ἐπιπεσόντα*. Verum praebuit cod. F. cum uno alio cod. Flor. et V. C. Vulcanii. — Infra posita verba *ἔστε ἡμέραν πίνειν* nescio quamodo factum sit ut adscribere neglexerim ad I, 3, 2.

10. *καὶ νύκτωρ καὶ μεθ' ἡμέραν*] Paulo aliter dixit VI, 26, 9

λέα καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν, καὶ καθεύδοντι πολλάκις
11 ἤδη ἐπιστῆναι. Καὶ δὴ καὶ τότε ἀπαλλασσομένου ἐκ τοῦ
πότου κατεχομένην ἐκ τοῦ θείου ἐντυχεῖν, καὶ δεῖσθαι
ἐπανελθόντα πίνειν ὅλην τὴν νύκτα· καὶ Ἀλέξανδρον θεῖόν
τι εἶναι νομίσαντα ἐπανελθεῖν τε καὶ πίνειν, καὶ οὕτω
12 τοῖς παισὶ διαπεσεῖν τὸ ἔργον. Τῇ δὲ ὑστεραίᾳ Ἐπιμένης
ὁ Ἀρσέου τῶν μετεχόντων τῆς ἐπιβουλῆς φράζει τὴν πρᾶξιν
Χαρικλεῖ τῷ Μενάνδρου, ἐραστῇ ἑαυτοῦ γεγονότι· Χαρικλῆς
δὲ φράζει Εὐρυλόχῳ τῷ ἀδελφῷ τοῦ Ἐπιμένους· καὶ ὁ Εὐρύ-
λοχος ἐλθὼν ἐπὶ τὴν σκηνὴν [τὴν] Ἀλεξάνδρου Πτολεμαίῳ τῷ
13 Λάγου τῷ σωματοφύλακι καταλέγει ἅπαν τὸ πρᾶγμα. Ὁ δὲ
Ἀλεξάνδρῳ ἔφρασε, καὶ Ἀλέξανδρος ξυλλαβεῖν κελεύει ὧν τὰ
ὀνόματα εἶπεν ὁ Εὐρύλοχος· καὶ οὗτοι στρεβλούμενοι σφῶν τε
αὐτῶν κατεῖπον τὴν ἐπιβουλὴν καί τινας καὶ ἄλλους ὠνόμασαν.

XIV. Ἀριστόβουλος μὲν λέγει ὅτι καὶ Καλλισθένην

οὐδὲ πρὸς τὰ ἄστρα ἐν νυκτὶ ἢ μεθ᾽ ἡμέραν — μεμελετῆσθαι. Vide praeter eos quos testes protulit Matth. Gr. Gr. s. v. *μετά*, intpp. ad Alciphr. II, 4 p. 350. Dorv. ad Char. p. 451. Wernsdorf. ad Himer. p. 82.

11. *Καὶ δὴ καὶ τότε*] Non dubitavimus hanc lectionem, quam cod. F. commendavit, recipere pro vulgato *καὶ δὴ τότε*. Vide ann. ad IV, 8, 11. — Mox ed. Basil. *τόπου* pro *πότου*

θεῖόν τι εἶναι] Ed. Bas. inepte *θεῖον πεῖναι*. Unde Vulcanius una litera derasa *θεῖον εἶναι*. Sed omnes codd. Gronovii habent *θεῖόν τι εἶναι*, quod sine dubio voluit quoque editor Basileensis.

12. *ἐπὶ τὴν σκηνὴν [τὴν] Ἀλεξάνδρου*] Articulus, quem uncis inclusum vides, vulgo desideratur. At non video quomodo bene abesse possit. Plane gemina vide haec III, 26, 3 *ἐπὶ τὴν σκηνὴν τὴν Δαρείου*. IV, 15, 13 *τῆς σκηνῆς τῆς αὐτοῦ Ἀλεξάνδρου*. V, 1, 5 *παρελθεῖν τε δὴ ἐς τὴν σκηνὴν τὴν Ἀλεξάνδρου*. Adde ann. ad I, 1, 4 et III, 26, 1. Quam facile propter praegressam syllabam *νην* a scribis articulus potuerit negligi, vel non monitus quisque viderit.

13. *Ἀλεξάνδρῳ ἔφρασε*] Recte ita omnes codices Gronovii. *ἔφησε* Vulcanius et qui eum in omnibus sequitur, Blancardus. Suum autem formavit Vulcanius ex scriptura editionis Basileensis *ἔφασε*; quam tamen ex errore typographi ortam esse hodie nemo negabit.

σφῶν τε αὐτῶν κατεῖπον τὴν ἐπιβουλήν] »Non possum negare

ἐπᾶραι σφᾶς ἔφασαν ἐς τὸ τόλμημα, καὶ Πτολεμαῖος ὡσαύτως λέγει. Οἱ δὲ πολλοὶ οὐ ταύτῃ λέγουσιν, ἀλλὰ 2
διὰ μῖσος γὰρ τὸ ἤδη ὂν πρὸς Καλλισθένην ἐξ Ἀλεξάνδρου, καὶ ὅτι ὁ Ἑρμόλαος ἐς τὰ μάλιστα ἐπιτήδειος ἦν τῷ Καλλισθένει, οὐ χαλεπῶς πιστεῦσαι τὰ χείρω ὑπὲρ Καλλισθένους Ἀλέξανδρον. Ἤδη δέ τινες καὶ τάδε ἀνέγραψαν· 3
τὸν Ἑρμόλαον προαχθέντα ἐς τοὺς Μακεδόνας ὁμολογεῖν τε ἐπιβουλεῦσαι· καὶ γὰρ οὐκ εἶναι ἔτι ἐλευθέρῳ ἀνδρὶ φέρειν τὴν ὕβριν τὴν Ἀλεξάνδρου· πάντα καταλέγοντα, 4
τήν τε Φιλώτα οὐκ ἔνδικον τελευτὴν καὶ τοῦ πατρὸς αὐτοῦ Παρμενίωνος ἔτι ἐκνομωτέραν, καὶ τῶν ἄλλων τῶν τότε ἀποθανόντων, καὶ τὴν Κλείτου ἐν μέθῃ ἀναίρεσιν, καὶ τὴν ἐσθῆτα τὴν Μηδικήν, καὶ τὴν προσκύνησιν τὴν βουλευθεῖσαν καὶ οὔπω πεπαυμένην, καὶ πότους τε καὶ ὕπνους τοῦ Ἀλεξάνδρου· ταῦτα οὐ φέροντα ἔτι ἐλευθε-

---

ista recte se habere, nihilominus etiam tacere non possum, voces postremas duas admodum mihi suspectas esse. Certe nihil huc ad sententiam conferunt, quum satis intelligantur. Et constructio ipsa exstat paulo ante: *μὴ χαλεπῶς πιστευθῆναι τοὺς κατειπόντας Καλλισθένους.* Alioquin bene novi illa VI, 29, 17 *ἐστρέβλωσεν, ὡς κατειπεῖν τοὺς δράσαντας.* VII, 24, 6 *τὸν δὲ οὐδὲν ἄλλο κατειπεῖν, ὅτι μὴ ἐπὶ νοῦν οἱ ἐλθὸν οὕτω πρᾶξαι.«* *Gronov.* Cur voces *τὴν ἐπιβουλήν* Gronovio suspectae visae sint, equidem non perspicio. Quomodo enim fieri potest, ut, quae sine sensus detrimento abesse possint, statim etiam abesse debere statuantur. Ceterum cf. VI, 29, 17 *οἱ δὲ οὐδὲν οὔτε ἄλλου κατεῖπον*, et Locell. ad Xenoph. Ephes. p. 184.

καί τινας καὶ ἄλλους] Sic recte omnes edd. ante Schmiederum, apud quem nescio an typothetae errore expressum legitur *καί τινας ἄλλους.* Cf. ann. ad III, 10, 3 et IV, 2, 11.

C. XIV. 2. *πρὸς Καλλισθένην ἐξ Ἀλεξάνδρου*] Ita iam scripsit Gronovius ex omnium codicum Florr. auctoritate, cum in edd. ante se invenisset *ἐς Ἀλέξανδρον.* »Et opinor, inquit, typorum crimen in Basileensi editione prodi satis ex accentu, quem secundae syllabae vocis *Ἀλεξάνδρου* imponunt, quasi voluissent *Ἀλεξάνδρου.* Inde prolatum est ad sequentes.« cf. IV, 9, 6 *καὶ τῶν μάντεών τινες μῆνιν ἐκ Διονύσου ᾖδον.*

4. *καὶ πότους τε καὶ ὕπνους τοῦ Ἀλεξάνδρου*] Obiter hunc lo-

5 ρῶσαι ἐθελῆσαι ἑαυτὸν καὶ τοὺς ἄλλους Μακεδόνας. Τοῦτον μὲν δὴ αὐτόν τε καὶ τοὺς ξὺν αὐτῷ ξυλληφθέντας καταλευσθῆναι πρὸς τῶν παρόντων. Καλλισθένην δὲ Ἀριστόβουλος μὲν λέγει δεδεμένον ἐν πέδαις ξυμπεριάγεσθαι τῇ στρατιᾷ, ἔπειτα νόσῳ τελευτῆσαι; Πτολεμαῖος δὲ ὁ Λά-
6 γου στρεβλωθέντα καὶ κρεμασθέντα ἀποθανεῖν. Οὕτως οὐδὲ οἱ πάνυ πιστοὶ ἐς τὴν ἀφήγησιν καὶ ξυγγενόμενοι ἐν τῷ τότε Ἀλεξάνδρῳ ὑπὲρ τῶν γνωρίμων τε καὶ οὐ λα-

---

cum inspicienti non sane parva exsistat suspicio, ab Arriani manu potius profectum esse τοὺς Ἀλεξάνδρου. Non modo enim offendit articulus nomini Ἀλεξάνδρου appositus, ut quod rarissime eo ornari solet (vid. ann. ad I, 1, 4), sed accusativi etiam articulo destituti πότους τε καὶ ὕπνους non magnopere placent, praesertim cum quae praecessere nomina omnia articulo gaudeant. Sed tamen noli quidquam mutatum. Delectatur enim, ut videtur, Arrianus tali orationis inconcinnitate. Conferas, quaeso, V, 17, 10 τὰ δὲ ὑπό τε τῶν πότων καὶ ἠρεμίας τῶν ἡγεμόνων. VII, 8, 4 ἥ τε ἐσθὴς ἡ Περσική· — τὰ Μακεδονικὰ ἤθη· κόσμησις καὶ ἀνάμιξις ἀλλοφύλων ἱππέων. VII, 15, 3 οὔτε χειμὼν ἐγένετο ἐμποδὼν οὔτε αἱ δυσχωρίαι. VII, 20, 17 καὶ τοὺς κατοικοῦντας αὐτὴν ἀνθρώπους, ὅρμους τε καὶ ὕδατα καὶ τὰ νόμαια τῶν ἀνδρῶν. Et praeiverant Attici scriptores, ut Plat. Gorg. p. 469, E καί τά γε Ἀθηναίων νεώρια καὶ τριήρεις καὶ τὰ πλοῖα apud Bernh. Wissensch. Synt. p. 318. Cf. Dion. Halicarn. Antiqq. VII, 12 θεράποντας δ' αὐτῶν καὶ τὰ ὑποζύγια καὶ τὰ χρήματα κατέσχε.

5. νόσῳ τελευτῆσαι] Eodem modo dubius est de morte Callisthenis Plutarchus, qui narrat vit. Alex. c. LV ἀποθανεῖν δὲ αὐτὸν οἱ μὲν ὑπ' Ἀλεξάνδρου κρεμασθέντα λέγουσιν, οἱ δ' ἐν πέδαις δεδεμένον, Χάρης δὲ περὶ Ἰνδίαν ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.

6. οἱ πάνυ πιστοὶ ἐς τὴν ἀφήγησιν] Sunt hi scriptores, quibus magna Arriano habetur fides, Ptolemaeus et Aristobulus, de quibus ipse Arrianus prooem. 3 ἀλλ' ἐμοὶ Πτολεμαῖός τε καὶ Ἀριστόβουλος πιστότεροι ἔδοξαν ἐς τὴν ἀφήγησιν. Ceterum de constructione verborum cf. I, 12, 8 οὐδὲ ἄγνωστον ἐς ἀνθρώπους ἐστίν. I, 20, 15 ἀφυλακτότεροι ἐς τὸ τιτρώσκεσθαι. III, 27, 2 καὶ ἐδόκει πιστοτέρα ἡ ἐπιβουλὴ ἐς τὸ πλῆθος. V, 6, 9 ἐς ἀπιστίαν εἶναι ἄξιον. VI, 6, 8 χαλεποῦ ἐς προβολήν.

ὅπως ἐπράχθη] Etsi dubitans tamen recepi quod dedit Schmie-

θόντων σφᾶς ὅπως ἐπράχθη ξύμφωνα ἀνέγραψαν. Πολλὰ 7
δὲ καὶ ἄλλα ὑπὲρ τούτων αὐτῶν ἄλλοι ἄλλως ἀφηγήσαντο·
ἀλλ' ἐμοὶ ταῦτα ἀποχρῶντα ἔστω ἀναγεγραμμένα. Ταῦτα 8
μὲν δὴ οὐ πολλῷ ὕστερον πραχθέντα ἐγὼ ἐν τοῖσδε τοῖς
ἀμφὶ Κλεῖτον ξυνενεχθεῖσιν Ἀλεξάνδρῳ ἀνέγραψα, τούτοις
μᾶλλόν τι οἰκεῖα ὑπολαβὼν ἐς τὴν ἀφήγησιν.

XV. Παρ' Ἀλέξανδρον δὲ ἧκε καὶ αὖθις Σκυθῶν τῶν ἐκ τῆς Εὐρώπης πρεσβεία ξὺν τοῖς πρέσβεσιν οἷς αὐτὸς

---

derus e cod. F. ὅπως διεπράχθη edd. vett. et quattuor codd. Gronovii. Nec sane vulgatam exterminassem, si Arrianum verbi διαπράττειν passivo usum fuisse nossem (vid. ann. ad IV, 22, 1). Codicis F. scripturam similia firmant multa exempla, ut I, 17, 14 τοῖς ἐν Ἐφέσῳ πραχθεῖσιν. IV, 22, 3 ταῦτα δὲ ὡς ἐπράχθη.

7. ταῦτα ἀποχρῶντα ἔστω ἀναγεγραμμένα] Ita mss. Gronovii omnes, ita quoque C. V. Vulcanii. Unde mirum quod habent edd. vett. τὰ ἀποχρῶντα ἔστιν ἀναγεγρ. Recte Gronovius: „Semper, inquit, in his interpositionibus utitur modo imperandi Arrianus. V, 3, 5 ἐμοὶ δ' ἐν μέσῳ κείσθων οἱ ὑπὲρ τούτων λόγοι. V, 19, 10 καὶ ἐμοὶ ἐς τοσόνδε τετιμήσθω ὁ Βουκεφάλας οὗτος.“ Adde V, 4, 4 ταῦτα — καὶ ἐμοὶ ἀναγεγράφθω. V, 5, 2 τοσόνδε μοι ἀναγεγράφθω. V, 6, 12 ταῦτά μοι λελέχθω· τὰ δ' ἄλλα ἀποκείσθω. Hist. Ind. V, 1 ταῦτα ὡς ἀκοὴ ἀναγεγράφθω.

8. μᾶλλόν τι οἰκεῖα] Edd. vett. μᾶλλον ὅτι οἰκεῖα. Quod dedimus cum Schmiedero, omnes firmant codd. Gronovii. Nec, si omnes codices in malam partem abirent, fieri posset quin ita scriberetur. Centena enim istam formam tuentur exempla: Si placet, delectare his I, 1, 10. I, 4, 1. I, 5,4. I, 7, 15. I, 9, 6, 9. I, 15, 6. I, 16, 3. I, 18, 15. I, 19, 1. IV, 1, 2. IV, 9, 7, 13. IV, 17, 6. IV, 19, 9. V, 4, 5. V, 12, 5. VI, 22, 5. VI, 22. 13. VI, 24, 9. VI, 25, 2. VII, 5, 5. VII, 9, 8. VII, 12, 14. VII, 14, 9. VII, 13, 6. Nec tamen haec omnia sunt quae afferre possem. Similiter etiam dixit μεῖόν τι I, 9, 1. οὕτω τι IV, 8, 8. V. 21, 5. οὐδέν τι IV. 10, 8. VII, 3, 7. πολύ τι V, 4, 4. VII, 7, 6. σχεδόν τι III, 15, 14. Cf. Heind. ad Plat. Phaed. p. 137. Schaef. ad Dionys. p. 177. Intpp. ad Thucyd. VII, 33.

C. XV. πρέσβεσιν οἷς αὐτὸς — ἔστειλεν] Ex edd. Bas. et Venet. ac tribus codd. Gronovii. Non minus aptum est quod exhibent duo reliqui codd. Gron. et edd. Vulc. Blanc. Gron. Raphel. οὕς. Similis attractionis exemplum habes IV, 26, 13 καὶ ἄλλῳ ὅτῳ τις

2 ἐς Σκύθας ἔστειλεν. Ὁ μὲν δὴ τότε βασιλεὺς τῶν Σκυθῶν, ὅτε οὗτοι ὑπ᾽ Ἀλεξάνδρου ἐπέμποντο, τετελευτηκὼς
3 ἐτύγχανεν· ἀδελφὸς δὲ ἐκείνου ἐβασίλευεν. Ἦν δὲ ὁ νοῦς τῆς πρεσβείας, ἐθέλειν ποιεῖν πᾶν τὸ ἐξ Ἀλεξάνδρου ἐπαγγελλόμενον Σκύθας· καὶ δῶρα ἔφερον Ἀλεξάνδρῳ παρὰ τοῦ βασιλέως τῶν Σκυθῶν ὅσα μέγιστα νομίζεται ἐν Σκύθαις· καὶ τὴν θυγατέρα ὅτι ἐθέλει Ἀλεξάνδρῳ δοῦναι γυναῖκα, βεβαιότητος οὕνεκα τῆς πρὸς Ἀλέξαν-
4 δρον φιλίας τε καὶ συμμαχίας. Εἰ δὲ ἀπαξιοῖ τὴν Σκυθῶν βασίλισσαν γῆμαι Ἀλέξανδρος, ἀλλὰ τῶν γε σατραπῶν τῶν τῆς Σκυθικῆς χώρας καὶ ὅσοι ἄλλοι δυνάσται κατὰ τὴν γῆν τὴν Σκυθίδα, τούτων τὰς παῖδας ἐθέλειν

μετὰ χεῖρας ἔχων ἐτύγχανεν. Vide quoque ann. ad **II, 14, 8** et **III. 6, 5.** — Infra ed. Basil. *ἐβασίλευε.*

3. *ἐθέλειν ποιεῖν — νομίζεται*] Constans fere apud Arrianum est formula de iis usurpata, *qui in alicuius ditionem veniunt.* Sic promittit rex Scytharum IV, 5, 1 *καὶ αὐτὸς ὅτι ἐθέλει ποιεῖν τὰ ἐπαγγελλόμενα.* cf. IV, 22, 8 *δῶρα τὰ μέγιστα παρ᾽ Ἰνδοῖς νομιζόμενα κομίζοντες.* V, 29, 6 *δῶρα κομίζοντες τὰ μέγιστα παρ᾽ Ἰνδοῖς.* — Quae de usu et significatione vocis *νοῦς* diximus ad II, 8, 18, iis adde quae addere ibi volui Philostr. vit. Apoll. IV, p. 153 *ὁ γὰρ νοῦς τῆς πρεσβείας ἦν,* et Wyttenb. ad Iulian. Orat. p. 173, ed. Lips. Eodem fere significatu dixit Xen. Anab. I, 8, 10 *ἡ δὲ γνώμη ἦν ὡς εἰς τάξεις — ἐλώντων,* ubi consule interpretes.

4. *ὡς παρ᾽ Ἀλεξάνδρου ἀκοῦσαι*] Ita quattuor codd. Florr. Et sic voluerunt sine dubio edd. vett., quamquam inepte exhibentes *ἀκοῦσας.* Schmiederus e solo cod. F. dedit *ἐπακοῦσαι,* quod tantum abest ut vulgato superius sit, ut plane falsum h. l. videatur. Et non dubito quin praepositio male huc translata sit a statim sequente *ἐπαγγέλλοι.* Eiusdem corruptelae rationis plura suppetunt exempla, ut III, 9, 4. VI, 5, 3. VII, 23, 11. De constructione verborum vide quae diximus ad III, 9, 3.

5. *Φαρασμάνης ὁ Χωρασμίων βασιλεύς*] Edd. vett. *Φαραιμάνης ὁ Χωρασμέων.* „Utrumque nomen lividum. Nam non modo codex Optimus, sed et duo alii habent *Φαρασμάνης* et in eo semper sibi constant, itidemque observavit in V. C. Vulcanius. Quod ut admittamus, persuadet auctoritas Taciti, sic idem appellantis nomen: Vide Freinsh. ad Curt. VIII, 4, 16. Etiam Arriano idem

δοῦναι τοῖς πιστοτάτοις τῶν ἀμφ' Ἀλέξανδρον· ἥξειν δὲ καὶ αὐτὸς ἔφασκεν εἰ κελεύοιτο, ὡς παρ' αὐτοῦ Ἀλεξάνδρου ἀκοῦσαι ὅσα ἐπαγγέλλοι. Ἀφίκετο δὲ ἐν τούτῳ 5
παρ' Ἀλέξανδρον καὶ Φαρασμάνης ὁ Χωρασμίων βασιλεὺς ξὺν ἱππεῦσι χιλίοις καὶ πεντακοσίοις. Ἔφασκε δὲ ὁ Φα- 6
ρασμάνης ὅμορος οἰκεῖν τῷ τε Κόλχων γένει καὶ ταῖς γυναιξὶ ταῖς Ἀμαζόσι, καὶ εἰ θέλοι Ἀλέξανδρος ἐπὶ Κόλχους τε καὶ Ἀμαζόνας ἐλάσας καταστρέψασθαι τὰ ἐπὶ τὸν πόντον τὸν Εὔξεινον ταύτῃ καθήκοντα γένη, ὁδῶν τε ἡγεμὼν ἔσεσθαι ἐπηγγέλλετο καὶ τὰ ἐπιτήδεια τῇ στρατιᾷ παρασκευάσειν. Τοῖς τε οὖν παρὰ τῶν Σκυθῶν ἥκου- 7
σι φιλάνθρωπα ἀποκρίνεται Ἀλέξανδρος καὶ ἐς τὸν τότε

---

men VI, 27, 7 Φαρασμάνης dicitur, quum VII, 6, 7 corrumpatur in Φραδασμένης. Nam μενης est formatio interioris Asiae, ut *Ariamenes*, *Spitamenes*, non finitimae Scythis, ubi notus *Pharasmanes*. Tum si Latinis *Chorasmeni* dicerentur, Graecis forent Χωρασμηνοί, ut pene omnia Asiatica gentilia. Sed repudiant hoc concorditer mss. omnes (etsi taceat Vulcanius), in quibus est vel Χωρασμίων, quod est in Optimo et duobus aliis, vel Χωρασμέων, quod in uno est.« *Gronov.*

6. εἰ θέλοι] E cod. F. et duobus aliis codd. Gronovii. εἰ ἐθέλοι C. V. Vulcanii, quod si non praestat, tamen altero non deterius est. Vide ann. ad I, 20, 1. In edd. vett. et duobus codd. Gronovii legitur εἰ ἐθέλει. Eodem modo peccatum est III, 9, 7 ubi edd. vett. praebent εἰ ἐπάγει ἤδη. — Infra pro παρασκευάσειν, quod est in omnibus codd. Gronovii et ed. Bas., Vulcanius primus excudi iussit παρασκευάζειν. Minus apte. Ceterum vide quae diximus ad V, 14, 2.

7. φιλάνθρωπα ἀποκρίνεται] h. e. *benigne respondet Scytharum legatis.* cf. IV, 21, 15 ἐλθόντι δὲ Χοριήνῃ φιλάνθρωπά τε ἀποκρινάμενος καὶ πίστιν ἐς φιλίαν δοὺς — κατέχει. IV, 5, 2 καὶ τούτῳ φιλάνθρωπα ἐπιστέλλει Ἀλέξανδρος. I, 10, 7 ὁ δὲ τὰ μὲν ἄλλα φιλανθρώπως πρὸς τὴν πρεσβείαν ἀπεκρίνατο. Quibus adde I, 7, 17 et II, 25, 5. Sic dixit quoque Diod. Sic. XVI, 67 φιλανθρώπως προσεφέροντο. Xenophon in hac verborum coniunctione non usus est adiectivo φιλάνθρωπος.

καὶ ἐς τὸν τότε καιρὸν ξύμφορα, γάμου δέ] Cod. F. habet ξύμφωνα, γάμου οὐδὲν δεῖσθαι. Pessime. Nam primum quidem quid h. l. sit ξύμφωνα, nemo sane intelliget, cum alias (ut IV, 14,

8 καιρὸν ξύμφορα, γάμου δὲ οὐδὲν δεῖσθαι Σκυθικοῦ· καὶ
Φαρασμάνην ἐπαινέσας τε καὶ φιλίαν καὶ ξυμμαχίαν πρὸς
αὐτὸν ξυνθέμενος, αὐτῷ μὲν τότε οὐκ ἔφη ἐν καιρῷ εἶναι
9 ἐλαύνειν ἐπὶ τὸν Πόντον. Ἀρταβάζῳ δὲ τῷ Πέρσῃ ὅτῳ
τὰ Βακτρίων ἐξ Ἀλεξάνδρου ἐπετέτραπτο καὶ ὅσοι ἄλλοι
πρόσχωροι τούτῳ σατράπαι, ξυστήσας Φαρασμάνην ἀπο-

---

6) recte dicatur *de iis quae inter se non differunt, discrepant,* plane ut verbum *ξυμφωνεῖν*, quod habes II, 22, 2. VII, 14, 15. Contra vero *ξύμφορα*, *apta*, *commoda* recte sic dictum est, ut IV, 22, 10 *παρασκευάζειν ὅσα ἐς τὴν διάβασιν ξύμφορα.* V, 9, 5 *οὐδὲ ἕν τι ἐπιλεξάμενον ἐς φυλακὴν ξύμφορον.* V, 27, 5 *ἀλλ' ἃ νομίζω ξύμφορά τέ σοι ἐς τὰ παρόντα.* Deinde autem particula adversativa si reiiciatur ex auctoritate codicis quem vocant Optimi, totius enunciati series interrumpitur. Referenda enim sunt verba *γάμου δὲ — δεῖσθαι* ad ea quae praecessere *φιλάνθρωπα ἀποκρίνεται*, in quibus si Arrianus *μέν* inseruisset, non esset quod obiicietur. Vide annot. ad II, 4, 1, ubi tamen dele quem testem adscripsi locum l. II, 17, 3. Insere potius III, 6, 8. IV, 29, 14. V, 2, 4. IV, 20, 7. Hist. Ind. X, 7.

9. *Ἀρταβάζῳ δὲ τῷ Πέρσῃ*] Non indigna est quae memoretur constans de hoc homine dicendi formula. Vide III, 28, 3 *Ἀρτάβαζον δὲ τὸν Πέρσην.* III, 29, 3 *ἐπέταξε σατράπην Ἀρτάβαζον τὸν Πέρσην.* Aliis nominibus propriis haud raro adiungitur nomen gentilicium addito subst. *ἀνήρ*, ut I, 11, 3 *Ἀρίστανδρος δὲ ἀνὴρ Τελμισσεύς.* I, 14, 9 *Δημάρατος δὲ ἀνὴρ Κορίνθιος.* I, 25, 5 *Σισίνην ἄνδα Πέρσην.* III, 16, 14 *Ἀβουλίτην ἄνδρα Πέρσην.* III, 21, 1 *Βαγισθάνης Βαβυλώνιος ἀνήρ.* III, 28, 7 *Προέξην ἄνδρα Πέρσην.*

ὅτῳ — ἐπετέτραπτο] Hanc lectionem debemus cod. F. In reliquis codd. et edd. vett. legebatur *ἐπετέτακτο*, repetitum fortasse ex iis quae infra scripsit *ὅστις αὐτοῖς — ἐπετέτακτο.* Ceterum scripturi fuissemus *ἐπετέπραπτο*, etiam si omnes codices alteram scripturam exhibuissent. Sic enim dixit I, 18, 6 *ὅτῳ ἡ φρουρὰ ἡ Μιλησίων ἐκ βασιλέως ἐπετέτραπτο* I, 21, 10 *οἷς ἡ φυλακὴ αὐτῶν ἐπετέραπτο ἡ πόλις.* III, 7, 2 *ὅτῳ ἡ φυλακὴ τοῦ ποταμοῦ ἐκ Δαρείου ἐπετέτραπτο.*

ἐς τὰ ἤθη τὰ αὐτοῦ] Edd. Steph. et Blanc. *ἐς τὰ ἔθνη αὐτοῦ.* Ed. Bas. *ἐς τὰ ἤθη αὐτοῦ.* »Nunc adsevero in omnibus mss. etiam Optimo a me repertum esse *ἤθη*, sic ut in quibusdam prae-

πέμπει ἐς τὰ ἤθη τὰ αὐτοῦ· αὐτῷ δὲ τὰ Ἰνδῶν ἔφη ἐν 10
τῷ τότε μέλειν, τούτους γὰρ καταστρεψάμενος πᾶσαν δὴ ἔχειν τὴν Ἀσίαν· ἐχομένης δὲ τῆς Ἀσίας ἐπανιέναι ἂν ἐς τὴν Ἑλλάδα· ἐκεῖθεν δὲ ἐφ' Ἑλλησπόντου τε καὶ τῆς Προ- 11
ποντίδος ξὺν τῇ δυνάμει πάσῃ τῇ τε ναυτικῇ καὶ τῇ πεζικῇ ἐλάσειν εἴσω τοῦ Πόντου· καὶ ἐς τὸ τότε ἠξίου

---

ter id quod posuimus, etiam esset *ἐς ἤθη τὰ αὐτοῦ*, in aliis *ἐς τὰ ἤθη τὰ αὐτοῦ.*« *Gronov.* Optime! At quot codices repetitum habent articulum, quot non?! Arrianum ipsum si mecum consulueris, non dubitabis verum esse quod in textum retulimus. Vide V, 20, 6 *καὶ Ταξίλην ἀποπέμπει ἐς τὰ ἤθη τὰ αὐτοῦ.* Mutato verborum ordine scripsit V, 21, 2 *Πῶρον δὲ ἐς τὰ αὐτοῦ ἤθη ἀποπέμπει.* Nec tamen male habet quod nonnulli codd. dant *ἐς ἤθη τὰ αὐτοῦ.* Sic dixit Herodot. IV, 80 *ἐξήλαυνε ἐς ἤθη τὰ ἑωυτοῦ.* Vocabulo *ἤθη de sedibus ubi quis habitare consuevit* dicto saepe usus est Arrianus, ut IV, 27, 4 *ἐπενόουν ἐπὶ τὰ σφέτερα ἤθη ἐπαναστῆναι.* IV, 30, 4 *διασκεδάννυσθαι ἐπὶ τὰ σφέτερα ἤθη.* V, 27, 16 *ἐπὶ τὰ σφέτερα ἤθη ἐπανεληλυθότες.* VI, 22, 3 *πέμπειν ἐπὶ τὰ σφέτερα ἤθη.* VII, 8, 1 *ἀποπέμπει δὲ ἐς τὰ σφέτερα ἤθη.* Et debuit fortasse huius nominis hunc usum Arrianus Herodoto. Vide Schweigh. Lex. Herod. p. 313 coll. Koen. ad Greg. Cor. p. 495. Quo modo idem illud aliis verbis dici possit, vide ex his Xenoph. Hist. Gr. II, 4, 38 *ἐπὶ τὰ ἑαυτῶν ἀπιέναι ὡς ἑκάστους*, et Dionys. Halic. VIII, 4 *ἀπαλλαγέντες εἰς τὰς ἑαυτῶν ἕκαστοι πατρίδας.*

10. *τούτους γὰρ*] Edd. Vulc. et Blanc. *καὶ τούτους.* Ed. Bas. *μέλλει πέτους καταστρεψάμενος* (sic). In mss. mirum quantum variatum est. Alii habent *τούτους δή*, alius *σπέτους γάρ*, alius *πέτους γάρ.* Verum praebuit cod. F. et V. C. Vulcanii. — Sic etiam paulo infra vix intelligas, quomodo de verbis *ἐπανιέναι ἂν* tantae talesque ortae sint in codd. et edd. turbae. Nonnulli enim codd. Gronovii dant *ἐπανιέναι ἀλανοὺς ἐς τ. Ε.*, in aliis vidit Gronovius *ἐπανιέναλανος* (sic!) Quod dedimus Schmiederum secuti, solus exhibuit cod. F. Et propius ad hanc scripturam accedunt iam edd. vett. in quibus *καὶ ἐπανιέναι ἐς τὴν Ἑλλάδα.* Similem structuram vide in his V, 15, 11 *κατὰ στόμα τε γὰρ ἂν εἴργεσθαι καὶ καταπατηθήσεσθαι.* Conferas quoque ann. ad II, 2, 5 et ad IV, 4, 1.

7 ἄλλως κατελθεῖν ἐς αὐτήν. Καὶ τὰς μὲν ἡμέρας αὐτὸς Ἀλέξανδρος ἐφειστήκει τῷ ἔργῳ, τὸ ἥμισυ τοῦ στρατοῦ ἔχων ἐργαζόμενον· τὰς δὲ νύκτας ἐν μέρει οἱ σωματοφύλακες αὐτῷ εἰργάζοντο Περδίκκας τε καὶ Λεοννάτος καὶ Πτολεμαῖος ὁ Λάγου τῷ λοιπῷ μέρει τῆς στρατιᾶς τριχῇ διανενεμημένῳ ὅπερ αὐτῷ ἐς τὴν νύκτα ἐπετέτακτο.
8 Ἤνυττον δὲ τῆς ἡμέρας οὐ πλέον ἤπερ εἴκοσι πήχεις, καὶ τῆς νυκτὸς ὀλίγον ἀποδέον, καίτοι ξυμπάσης τῆς στρατιᾶς ἐργαζομένης· οὕτω τό τε χωρίον ἄπορον ἦν καὶ τὸ
9 ἔργον ἐν αὐτῷ χαλεπόν. Κατιόντες δὲ ἐς τὴν φάραγγα πασσάλους κατεπήγνυον ἐς τὸ ὀξύτατον τῆς φάραγγος, διε-

---

omnino sibi inaccessum aut inexpugnabile censens. Verte: *Hoc modo iam nihil censebat sibi inaccessum esse debere aut non expugnandum.* Verbum χρῆναι sive cum solo βατά coniungas, sive referas quoque ad ἐξαιρετέα, idem fere erit. — Supra scripsi ἀλλὰ καὶ ὥς, ut recte habent edd. ante Gronovium. In edd. Gron. Raphel. Schmied. est ἀλλὰ καὶ ὡς.

7. αὐτῷ εἰργάζοντο] Haec verba, quae in edd. vett. et quattuor codicibus Gronovii non conspiciebantur, Schmiederus primus inseruit e cod. F. Neque potui quin id factum probarem. Nam licet ex praegressis cogitando addi possit ἐφειστήκεσαν τῷ ἔργῳ, ut verba ὅπερ — ἐπετέτακτο cum Raphelio ita interpreteris: *quae* (reliqua pars exercitus) *ab ipso in noctem erat constituta*: tamen nescio an aptior nobis accessionem codicis F. probantibus hic eruatur verborum sensus: *Noctu vero corporis custodes — reliquo exercitu in tres partes diviso eam operis partem perfecerunt, quam per noctem iis perficiendam commiserat Alexander.* Quamquam bene scio, alias apud Arrianum verbum quod est ἐπιτετάχθαι semper significare *constitutum* s. *praepositum esse*, ut I, 15, 3. I, 22, 1. I, 28, 5. II, 23, 3. At enim Xenophon dixit Anab. II, 3, 4 ᾧ ἐπετέτακτο ταῦτα πράττειν. Cyrop. VI, 3, 3 ἐπετέτακτο — τοῖς σκευοφόροις — ἰέναι.

τριχῇ διανενεμημένῳ] Ita codd. Gronovii. τριχῶς edd. vett. Quam formam tamen non agnoscit Arrianus. Forma τριχῇ usus est III, 23, 4. V, 8, 8. VI, 5, 13. Ad instar eius formatum est διχῇ V, 8, 8. V, 22, 10. VI, 9, 1 et τετραχῇ V, 6, 2. Semel, ut hoc una complectar, reperi δίχα III, 27, 7, semel τρίχα, de quo vide ann. ad IV, 24, 16.

8. ὀλίγον ἀποδέον] Edd. Vulc. et Blanc. cum quattuor, ut vi-

χοντας ἀλλήλων ὅσον ξύμμετρον πρὸς ἰσχύν τε καὶ ξυν-
οχὴν τῶν ἐπιβαλλομένων. Ἐπέβαλλον δὲ πλέγματα ἐκ 10
λύγων εἰς γεφύρας μάλιστα ἰδέαν· καὶ ταῦτα ξυνδοῦντες
χοῦν ἄνωθεν ἐπεφόρουν, ὡς ἐξ ὁμαλοῦ γίγνεσθαι τῇ
στρατιᾷ τὴν πρόσοδον τὴν πρὸς τὴν πέτραν. Οἱ δὲ βάρ- 11
βαροι τὰ μὲν πρῶτα κατεφρόνουν ὡς ἀπόρου πάντη τοῦ
ἐγχειρήματος· ὡς δὲ τοξεύματα ἤδη εἰς τὴν πέτραν ἐξικ-
νοῦντο καὶ αὐτοὶ ἀδύνατοι ἦσαν ἄνωθεν ἐξείργειν τοὺς
Μακεδόνας (ἐπεποίητο γὰρ αὐτοῖς προκαλύμματα πρὸς
τὰ βέλη, ὥστε ὑπ᾽ αὐτοῖς ἀβλαβῶς ἐργάζεσθαι) ἐκπλα-
γεὶς ὁ Χοριήνης πρὸς τὰ γιγνόμενα κήρυκα πέμπει πρὸς

---

detur, codd. Gronovii *ὀλίγου ἀποδέον.* Verum debemus codici F. et edit. Basil. Neque aliter scripsissemus, si omnes codices adversarii nobis exstitissent. Nunquam enim genitivum apposuit Arrianus verbo composito *ἀποδέον.* Vide I, 14, 6. V, 4, 11. V, 18, 3. V, 24, 7. Et sic dixit quoque *οὐ πολὺ ἀποδέοντες* V, 14, 1. VI, 2, 8. Cf. praeterea ann. ad IV, 21, 16 et VII, 27, 2. — Supra pro *ἥπερ* ed. Basil. *εἴπερ.* Pro vulgato *ἤνυττον* scripsimus *ἤνυτον*, de qua verbi forma consule ann. ad VII, 15, 1.

9. *Κατιόντες δὲ ἐς τὴν φάραγγα*] Praepositionem *ἐς*, quam edd. vett. ignorant, exhibent omnes codd. Gronovii. Quae sequuntur paulo difficiliora, recte Gronovius interpretatus est ita: *palos in maxime praecipiti (et acuta) voraginis parte impegerunt.* Paulo accuratius locum istum describit Curt. VIII, 2, 23: *Ad petram admovit exercitum. Ceterum interveniebat fluvius coeuntibus aquis ex superiore fastigio in vallem, magnique operis videbatur, tam vastam voraginem explere. Caedi tamen arbores et saxa congeri iussit.*

11. *ὡς δὲ τοξεύματα ἤδη — ἐξικνοῦντο*] Nolui reiicere quod dedit Schmiederus ex auctoritate omnium codd. Gronovii *ἐξικνοῦντο* pro vulgato *ἐξικνεῖτο*, cui favet geminus locus IV, 26, 5 *ὡς ἐξικνεῖτο ἤδη τὰ τοξεύματα.* Vide quoque ann. ad III, 6, 4 et quae diximus in praefatione ad t. I, p. XXI sq.

καὶ αὐτοί] Sic ed Bas. et omnes codd. quos consuluit Gronovius. Priorem voculam omissam vides in edd. Vulc. et Blanc. Mox intactum reliqui quod primus dedit Vulcanius quodque receperunt omnes qui eum excepere editores *ἐπεποίητο*, pro eo quod est in ed. Bas. *πεποίητο*, quamquam utramque plusquamperfecti formam veram esse apparet ex iis quae diximus ad III, 12, 1.

Ἀλέξανδρον, δεόμενος Ὀξυάρτην οἱ ἀναπέμψαι· καὶ πέμ-
12 πει Ὀξυάρτην Ἀλέξανδρος. Ὁ δὲ ἀφικόμενος πείθει Χο-
ριήνην ἐπιτρέψαι Ἀλεξάνδρῳ αὐτόν τε καὶ τὸ χωρίον·
βίᾳ μὲν γὰρ οὐδὲν ὅτι οὐχ ἁλωτὸν εἶναι Ἀλεξάνδρῳ καὶ
13 τῇ στρατιᾷ τῇ ἐκείνου· ἐς πίστιν δὲ ἐλθόντος καὶ φιλίαν
τὴν πίστιν τε καὶ δικαιότητα μεγαλωστὶ ἐπῄνει τοῦ βασι-
λέως, τά τ' ἄλλα καὶ τὸ αὑτοῦ ἐν πρώτοις ἐς βεβαίωσιν
14 τοῦ λόγου προφέρων. Τούτοις πεισθεὶς ὁ Χοριήνης αὐ-
τός τε ἧκε παρ' Ἀλέξανδρον καὶ τῶν οἰκείων τινὲς καὶ
15 τῶν ἑταίρων αὐτοῦ. Ἐλθόντι δὲ Χοριήνῃ φιλάνθρωπά

πρὸς τὰ βέλη, ὥστε ὑπ' αὐτοῖς —] Ed. Bas. πρὸς τὰ βέλη ὑπ' αὐτοῖς. Correxit iam Vulcanius e codice suo.

Ὀξυάρτην οἱ ἀναπέμψαι] Edd. Vulc. et Blanc. αὐτῷ ἀναπέμψαι. „Mss. Florr. et V. C. apud Vulcanium οἱ, et sic quoque iam Basileensis editio, ut imprudenter mutaverint." *Gronov.* Vide ann. ad III, 6, 11 et IV, 13, 6.

12. αὐτόν τε] Ed. Bas. αὑτόν τε. — Supra eadem πείθη pro πείθει. Saepe in talibus ab editore Basileensi peccatum esse observavimus ad VII, 16, 12.

13. ἐς πίστιν δὲ ἐλθόντος — προφέρων] Hunc locum ita interpretor: *cum autem in fidem amicitiamque venisset* (sc. Alexander), *fidem regis et iustitiam summam esse affirmabat, cum aliis exemplis, tum maxime suo ipsius exemplo ad confirmandam suam sententiam usus.* Apparet enim verba ἐς πίστιν δὲ ἐλθόντος opposita quasi esse praegresso βίᾳ μέν. Genitivum τοῦ βασιλέως pendere puto a verbo ἐπῄνει. V. ad IV, 19, 9 — Verba τὴν πίστιν — προφέρων accuratissime in lexicon suum transscripsit Suidas s. v. μεγαλωστί, praeterquam quod pro δικαιότητα habet γενναιότητα et τοῦ Ἀλεξάνδρου pro τοῦ βασιλέως. Ceterum γενναιότης et δικαιότης invicem se explicant, ut alterutrum pro glossa habendum sit. Utrumque coniunctum vide apud Xenoph. Anab. VII, 7, 41 οὐδὲ λαμπρότερον ἀρετῆς καὶ δικαιοσύνης καὶ γενναιότητος. — Pro προφέρων, cui formae favent codd. Gronovii et ed. Bas., apud Vulcanium, nescio an ex errore typothetae, legitur προσφέρων.

14. τῶν οἰκείων τινὲς καὶ τῶν] Edd. vett. et quattuor codd. omittunt καί, quod ad sensum bene percipiendum necessarium suppeditavit cod. F.

15. ἐνδοῦναι τὸ χωρίον] Schmiederus e cod. F. ἀποδοῦναι τὸ

τε ἀποκρινάμενος καὶ πίστιν ἐς φιλίαν δοὺς αὐτὸν μὲν κατέχει, πέμψαι δὲ κελεύει τῶν συγκατελθόντων τινὰς αὐτῷ ἐς τὴν πέτραν τοὺς κελεύσοντας ἐνδοῦναι τὸ χωρίον. Καὶ ἐνδίδοται ὑπὸ τῶν ξυμπεφευγότων, ὥστε καὶ 16
αὐτὸς Ἀλέξανδρος ἀναλαβὼν τῶν ὑπασπιστῶν ἐς πεντακοσίους ἀνέβη κατὰ θέαν τῆς πέτρας, καὶ τοσούτου ἐδέησεν ἀνεπιεικές τι ἐς τὸν Χοριήνην ἔργον ἀποδείξασθαι, ὥστε καὶ αὐτὸ τὸ χωρίον ἐκεῖνο ἐπιτρέπει Χοριήνῃ καὶ ὕπαρχον εἶναι ὅσωνπερ καὶ πρόσθεν ἔδωκε. Ξυνέβη δὲ 17
χειμῶνί τε κακοπαθῆσαι αὐτῷ τὴν στρατιάν, πολλῆς

χωρίον. Parum consulte. Similem librariorum errorem iam supra correximus ad III, 16, 4.

16. *καὶ τοσούτου ἐδέησεν*] Ex omnibus codd. Gronovii Schmiederus. *τοσούτῳ ἐδέησεν* edd. vett. At vide I, 7, 11. I, 25, 10. IV, 4, 4. VII, 18, 8. Apud Himer. Eclog. III, p. 84. non cum Wernsdorfio malim scriptum *τοσούτου ἂν δέοι* pro vulg. *τοσοῦτο.* Accusativus enim nihil habet offensionis. cf. Dinarch. adv. Dem. p. 155, Bekk. *τοσοῦτον ἐδέησεν ὁ δημαγωγός.* Vide Buttm. ad Platon. Men. p. 7. Bornem. ad Xenoph. Anab. V, 4, 32. Verba haec et sequentia affert Suidas s. v. *ἀνεπιεικές*, sed ita immutata, ut Arriani manum vix cognoscas: *ὁ δὲ Ἀλέξανδρος τοσούτου ἂν* (sic) *ἐδέησεν ἀνεπιεικές τι ἐν τούτοις ἐργάσασθαι ἢ ἀποδείξασθαι, ὥστε καὶ αὐτὸ τὸ χωρίον ἐ κ ε ί ν ῳ ἐπιτρέψαι.* — Pro *ὅσωνπερ* in ed. Bas. legitur *ὅσονπερ.*

17. *Ξυνέβη δὲ χειμῶνί τε*] Haec videntur hoc modo exhibuisse codd. Gronovii, quamquam ex eius verbis: „etiam mox ante legendum *ξυνέβη δὲ χ. τε,*“. id certo colligi non potest. Quod dedimus Schmiederum secuti, habet quoque ed. Basil. *ξυνέβη τε χειμῶνι* edd. Vulc. et Blanc.

πολλῆς χιόνος ἐπιπεσούσης] Cod. F. et ex eo Schmied. *πεσούσης* edd. vett. et quattuor codd. Gronovii. At cf. IV, 18, 8 *χιὼν πολλὴ ἐπιπεσοῦσα.* Similiter dicitur I, 17, 6 *χειμὼν ἐπιγίγνεται.* II, 6, 3 *χειμὼν ἐπιγίγνεται σκληρός.* — Praeterea animadverte constructionem mutatam. Dicendum enim erat *ξυνέβη δὲ — κακοπαθῆσαι καὶ ἅμα — πιεσθῆναι.* Similem structurae enallagen agnosco in his l. IV, 30, 12 *ἐς ἔλεγχον τῶν τε ἄλλων καὶ μάλιστα δὴ τὰ ἀμφὶ τοὺς ἐλέφαντας ἔμελεν αὐτῷ μαθεῖν.* V, 1, 5 *ξὺν τοῖς ὅπλοις τοῖς τε ἄλλοις καὶ τὸ κράνος αὐτῷ περικείμενον καὶ τὸ δόρυ ἔχοντα.*

χιόνος ἐπιπεσούσης ἐν τῇ πολιορκίᾳ, καὶ ἅμα ἀπορίᾳ
18 τῶν ἐπιτηδείων ἐπιέσθησαν· ἀλλὰ Χοριήνης ἐς δίμηνον σιτία ἔφη δώσειν τῇ στρατιᾷ καὶ ἔδωκε σῖτόν τε καὶ οἶνον τῶν ἐν τῇ πέτρᾳ ἀποθέτων, κρέα τε ταριχηρὰ κατὰ σκη-
19 νήν. Καὶ ταῦτα δοὺς οὐκ ἔφασκεν ἀναλῶσαι τῶν παρεσκευασμένων ἐς τὴν πολιορκίαν οὐδὲ τὴν δεκάτην μοῖραν· ἔνθεν ἐν τιμῇ μᾶλλον τῷ Ἀλεξάνδρῳ ἦν ὡς οὐ πρὸς βίαν μᾶλλον ἢ κατὰ γνώμην ἐνδοὺς τὴν πέτραν.

XXII. Ταῦτα δὲ διαπραξάμενος Ἀλέξανδρος αὐτὸς μὲν ἐς Βάκτρα ᾔει, Κρατερὸν δὲ τῶν ἱππέων ἑταίρων ἔχοντα ἑξακοσίους καὶ τῶν πεζῶν τήν τε αὐτοῦ τάξιν καὶ τὴν Πολυσπέρχοντος καὶ Ἀττάλου καὶ τὴν Ἀλκέτα, ἐπὶ Κατάνην τε καὶ Αὐστάνην ἐκπέμπει, οἳ δὴ μόνοι ἔτι

---

18. *καὶ ἔδωκε — κατὰ σκηνήν*] Citat haec verba Suidas paucis tum mutatis tum omissis s. v. *ταριχεύειν*. De variis vocis *ἀπόθετον* significationibus vide Wernsd. ad Himer. p. 430. Pro *κρέα τε ταριχηρὰ κατὰ σκηνήν* in ed. Bas. vitiose expressum est *κρέα τε ἀριχηρὰ κατασκευήν*.

19. *οὐκ ἔφασκεν*] Sic recte ed. Bas. cum codd. Gronovii. Particulam negativam primus omisit Vulcanius. Secutus est Blancardus.

C. XXII. *Ταῦτα δὲ διαπραξάμενος*] Hanc scripturam praebent edd. vett. *ταῦτα δὲ καταπραξάμενος* codd. quos inspexit Gronovius indeque Schmiederus. Non suo iure, opinor. Ut enim verbo *καταπρᾶξαι* Arrianum semper ita usum videmus, ut activum et passivum, nunquam medium posuerit, ita verbum *διαπράττεσθαι* semper ut medium adhibuit. Ut exemplis res demonstretur vide I, 24, 8 *ταῦτα καταπράξας*. IV, 8, 10 *ὅτι οὐ μεγάλα — κατεπράχθη*. IV, 10, 8 *ὅσα καὶ ἡλίκα καταπέπρακται Ἀλεξάνδρῳ*. VI, 20, 1 *καὶ τούτῳ ξύμπαντα καταπεπραγμένα*. Contra *ταῦτα δὲ διαπραξάμενος* I, 11, 1. I, 20, 3. II, 2, 1. III, 19, 1. IV, 7, 1. VI, 17, 3. *ταῦτα δὲ — διαπραξάμενοι* VI, 7, 5 et pluribus aliis locis. Nonne ex his clarum fit quomodo scripserit Arrianus?

τὴν Ἀλκέτα] Huc spectant fortasse quae habet Suidas s. v. *ἱπποστράτηγος*· *Ἱπποστράτηγος Ἀλεξάνδρου Ἀλκέτας ἦν.* Ubi tamen scribendum videtur *ὑποστράτηγος*, quomodo legitur apud eundem Suidam s. v. *Ἀλκέτας*. Alcetas enim hic semper ut peditum dux memoratur. Arr. IV, 27, 1. IV, 27, 7. V, 11, 5. Mox edd. vett. *ἐν τῇ Παρειτακηνῶν*.

ὑπελείποντο ἐν τῇ Παραιτακηνῶν χώρᾳ ἀφεστηκότες.
Καὶ μάχης γενομένης πρὸς αὐτοὺς καρτερᾶς, νικῶσιν οἱ 2
ἀμφὶ Κρατερὸν τῇ μάχῃ· καὶ Κατάνης μὲν ἀποθνήσκει
αὐτοῦ μαχόμενος, Αὐστάνης δὲ ξυλληφθεὶς ἀνήχθη παρ᾽
Ἀλέξανδρον· τῶν δὲ ξὺν αὐτοῖς βαρβάρων ἱππεῖς μὲν
ἀπέθανον ἐς ἑκατὸν καὶ εἴκοσι, πεζοὶ δὲ ἀμφὶ τοὺς χι-
λίους πεντακοσίους. Ταῦτα δὲ ὡς ἐπράχθη τοῖς ἀμφὶ 3
Κρατερὸν, καὶ οὗτοι ἐς Βάκτρα ἦσαν· καὶ ἐν Βάκτροις
τὸ ἀμφὶ Καλλισθένην τε καὶ τοὺς παῖδας πάθημα Ἀλεξ-
άνδρῳ ξυνηνέχθη. Ἐκ Βάκτρων δὲ ἐξήκοντος ἤδη τοῦ 4
ἦρος ἀναλαβὼν τὴν στρατιὰν προὐχώρει ὡς ἐπὶ Ἰνδούς,
Ἀμύνταν ἀπολιπὼν ἐν τῇ χώρᾳ τῶν Βακτρίων καὶ ξὺν
αὐτῷ ἱππέας μὲν τρισχιλίους καὶ πεντακοσίους, πεζοὺς
δὲ μυρίους. Ὑπερβαλὼν δὲ τὸν Καύκασον ἐν δέκα ἡμέ- 5

---

3. *ἐς Βάκτρα ἦσαν*] Schmiederus ex coniectura Raphelii dedit *ἤεσαν*, quod sane et ego ipse probassem, si vulgata omni destituta fuisset auctoritate. Arrianus quidem geminum plane huius locutionis exemplum non praebet, ut qui dixerit tantum III, 21, 5 *παρῆν εἰς τὸ στρατόπεδον*, ut Xenoph. Anab. I, 2, 2 *καὶ λαβόντες τὰ ὅπλα παρῆσαν εἰς Σάρδεις*. Demosth. Olynth. I, init. *παρῆσαν ἐπὶ τουτὶ τὸ βῆμα*. Diod. Sicul. XVII, 91 *εἰς τὴν χώραν — παρεγένετο*. Lucian. dial. mar. VI, 2 *ἐπειδὴ πάρεσμεν ἐπὶ τὴν Λέρναν*. Et huc trahi etiam possit Arr. IV, 16, 7 *τὸν φρούραρχον ἑλόντες ἐς φυλακὴν εἶχον*; quod loquendi genus viri docti passim illustrarunt. V. Bremi. et Schaef. app. ad Demosth. t. I, p. 194. Baehr. ad Plut. Pyrrh. c. III, init. Bornemann. ad Xenoph. Anab. VII, 4, 6. Krueg. ad Xen. Anab. IV, 2, 3. Siebel. ad Paus. VII, 4, 3. VIII, 10, 4. Popp. ad Thucyd. I, 1, p. 179. Hartung. de casibb. p. 72. Sed et simplex verbum *εἶναι* eandem structuram admisisse colligi potest ex his Herodoti I, 21 *ὁ μὲν δὴ ἀπόστολος ἐς τὴν Μίλητον ἦν*. Pausan. VIII, 10, 4 in epigrammate *ὅτ᾽ ἐς Ἴλιον ἦν Ἀγαπήνωρ*. Et simile quid vide apud eundem ipsum IX, 1, 3 *ἕκαστον — εἶναι πρὸς τὴν ἐκκλησίαν*. cf. Bernh. Wiss. Synt. p. 349. Unde quid impedit quominus statuamus, ut Pausaniam, ita Arrianum rariorem verborum structuram, quam apud Herodotum suspectam reddere frustra conatus est Valckenarius, huic ipsi Herodoto debuisse, quemadmodum illos multa alia ex eo sibi vindicasse constat?

4. *ἐξήκοντος ἤδη τοῦ ἦρος*] Recte Vulcanius: *adulto iam vere.* Quidni tamen ad verba accuratius: *exeunte iam vere*? Similiter

ραις ἀφίκετο ἐς Ἀλεξάνδρειαν πόλιν, τὴν κτισθεῖσαν ἐν Παραπαμισάδαις ὅτε τὸ πρῶτον ἐπὶ Βάκτρων ἐστέλλετο.
6 Καὶ τὸν μὲν ὕπαρχον ὅστις αὐτῷ ἐπὶ τῆς πόλεως τότε ἐτάχθη, παραλύει τῆς ἀρχῆς ὅτι οὐ καλῶς ἐξηγεῖσθαι ἔδοξε· προσκατοικίσας δὲ καὶ ἄλλους τῶν περιοίκων τε καὶ ὅσοι τῶν στρατιωτῶν ἀπόμαχοι ἦσαν ἐς τὴν Ἀλεξάνδρειαν, Νικάνορα μὲν ἕνα τῶν ἑταίρων τὴν πόλιν αὐτὴν κοσμεῖν ἐκέλευσε· σατράπην δὲ Τυριάσπην κατέστησε τῆς τε χώρας τῆς Παραπαμισαδῶν καὶ τῆς ἄλλης ἔστε ἐς
7 τὸν Κωφῆνα ποταμόν. Ἀφικόμενος δ' ἐς Νίκαιαν πόλιν καὶ τῇ Ἀθηνᾷ θύσας προὐχώρει ὡς ἐπὶ τὸν Κωφῆνα, προπέμψας κήρυκα ὡς Ταξίλην τε καὶ τοὺς ἐπὶ τάδε τοῦ Ἰνδοῦ ποταμοῦ, κελεύσας ἀπαντᾶν ὅπως ἂν ἑκάστοις
8 προχωρῇ. Καὶ Ταξίλης τε καὶ οἱ ἄλλοι ὕπαρχοι ἀπήν-

VII, 12, 2 τοῦ ἐξήκοντος ἤδη χρόνου. Xenoph. Anab. VI, 4 (1), 26 ἐπεὶ δὲ οὐκ ἀφίκεσθε, ὁ δὲ χρόνος ἐξῆκεν.

6. προσκατοικίσας] Ed. Bas. προσκατοικήσας.

ἔστε ἐς τὸν Κωφῆνα ποταμόν] Sic cod. F. et ex eo Schmiederus. ἔστε ἐπὶ τὸν Κ. π. edd. vett. et quattuor codd. Gronovii. Eandem in iisdem codicibus scripturae discrepantiam notavimus ad III, 7, 3 et VI, 7, 1.

7. προὐχώρει ὡς ἐπὶ τὸν Κωφῆνα] „Codicum omnium fidelissimus dabat ὡς δὲ ἐπί, quum istam adversativam nemo alius agnosceret. Inde longe aliter statui de hoc loco, quam habebatur vulgo: et quaeso qualis locutio est προπέμψας κήρυκα ὡς κελεύσας! Inspice igitur et confer cum vulgatis.“ *Gronov.* Qui vulgatum verborum ordinem sic mutavit: προὐχώρει· ὡς δὲ ἐπὶ Κωφῆνα. At nimis festinanter ut saepe alibi, ita maxime hoc loco in emendandis Arriani verbis sese gessit Gronovius! Quis est enim qui ὡς cum κελεύσας coniungat, cum aperte construendum sit cum accusativo qui est Ταξίλην? Deinde quomodo cohaereant sequentia cum praegressis, si distinctione, quam Gronovius proposuit, probata legas ὡς δὲ ἐπί τ. κ. Num forte cogitatione addendum verbum ἀφίκετο? At neque hoc modo apte procedit oratio. Unde non dubitabis mecum quin vulgata tum scriptura tum orationis series servanda sit, ut hunc lucremur verborum sensum: *Cum ad Nicaeam urbem pervenisset ibique Minervae sacra fecisset, ad Cophenem fluvium processit, caduceatoremque ad Taxilem et qui cis amnem Indum incolebant, misit, qui eos iuberet obviam venire prout cuique procederet.*

των, δῶρα τὰ μέγιστα παρ' Ἰνδοῖς νομιζόμενα κομίζον-
τες· καὶ τοὺς ἐλέφαντας δώσειν ἔφασκον τοὺς παρὰ
σφίσιν ὄντας, ἀριθμὸν ἐς πέντε καὶ εἴκοσιν. Ἔνθα δὴ 9
διελὼν τὴν στρατιὰν Ἡφαιστίωνα μὲν καὶ Περδίκκαν
ἐκπέμπει ἐς τὴν Πευκελαῶτιν χώραν ὡς ἐπὶ τὸν Ἰνδὸν
ποταμόν, ἔχοντας τήν τε Γοργίου τάξιν [καὶ Κλείτου]
καὶ Μελεάγρου, καὶ τῶν ἑταίρων ἱππέων τοὺς ἡμίσεας
καὶ τοὺς μισθοφόρους ἱππέας ξύμπαντας· προστάξας τά 10
τε κατὰ τὴν ὁδὸν χωρία ἢ βίᾳ ἐξαιρεῖν ἢ ὁμολογίᾳ παρ-
ίστασθαι, καὶ ἐπὶ τὸν Ἰνδὸν ποταμὸν ἀφικομένους πα-
ρασκευάζειν ὅσα ἐς τὴν διάβασιν τοῦ ποταμοῦ ξύμφορα·
ξὺν τούτοις δὲ καὶ Ταξίλης καὶ οἱ ἄλλοι ὕπαρχοι στέλ-
λονται. Καὶ οὗτοι ὡς ἀφίκοντο πρὸς τὸν Ἰνδὸν ποτα-
μόν, ἔπρασσον ὅσα ἐξ Ἀλεξάνδρου ἦν τεταγμένα.

ὅπως ἂν ἑκάστοις προχωρῇ] Gronovius ex auctoritate duorum codicum scribi iussit *προσχωρῇ*. Secutus est Schmiederus, vereor ut recte. Nam *προσχωρεῖν* Arriano semper est *dedere se*, *in potestatem alicuius concedere*. Vide III, 29, 3. IV, 23, 9. V, 20, 4. V, 21, 10. VI, 27, 11. Verbum autem *προχωρεῖν* saepe apud eum translatam habet significationem *procedendi*, *feliciter cedendi*, ut I, 15, 12 *ὅσοις προὐχώρει*. IV, 16, 3 *ὡς ἑκάστοις προὐχώρει, ἐπῄεσαν*. V, 23, 3 *ὡς ἑκάστοις προὐχώρει*. VII, 15, 2 *ἀθρόοι ἢ ὅπως ἂν προχωρῇ, οὕτω διαφεύγουσιν*. Cyneg. c. XXI *ὅπως ἄν τοι προχωρῇ*. Cf. Xenoph. Cyrop. I, 2, 4 *ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ*. Eadem verba confusa vide I, 1, 16.

8. *τοὺς παρὰ σφίσιν*] Ed. Bas. *τοὺς παρὰ φάσιν*. Reliquae edd. *τοὺς παρά σφισιν*.

9. *τήν τε Γοργίου τάξιν* [*καὶ Κλείτου*] *καί*] Voces *καί Κλείτου*, cum neque in ed. Venet. neque in ed. Basil. compareant, uncis includi curavimus. Unde Vulcanius, apud quem primum leguntur, eas acceperit, neque ex eius praefatione neque aliunde elucet. Gronovius, ut solet, ne *γρύ* quidem. Si codices illi additamento faverent, non esset quod obiiceretur. Cliti *τάξις* memoratur Arriano l. V, 12, 3.

10. *προστάξας — παρίστασθαι*] Citat haec verba, nonnullis mutatis, Suidas s. v. *παρίστασθαι*. — Pro *ἐξαιρεῖν* ed. Bas. habet *ἐξαίρειν*.

ἔπρασσον ὅσα ἐξ Ἀλεξάνδρου ἦν τετ.] Ita omnes edd. praeter ed. Basil., in qua legitur *ἔπραξαν ὅσα Ἀλεξάνδρου* (voluit fortasse *Ἀλεξάνδρῳ*) *ἦν τεταγμένα*.

11 Ἄστης δὲ ὁ τῆς Πευκελαώτιδος χώρας ὕπαρχος νεωτερίσας αὐτός τε ἀπόλλυται, καὶ τὴν πόλιν προσαπώλεσεν ἐς ἥν-
12 τινα ξυμπεφεύγει. Ἐξεῖλον γὰρ αὐτὴν ἐν τριάκοντα ἡμέραις προσκαθήμενοι οἱ ξὺν Ἡφαιστίωνι· καὶ αὐτὸς μὲν Ἄστης ἀποθνήσκει, τῆς πόλεως δὲ ἐπιμελεῖσθαι ἐτάχθη Σαγγαῖος, ὃς ἔτι πρόσθεν πεφευγὼς Ἄστην παρὰ Ταξίλην ηὐτομολήκει· καὶ τοῦτο ἦν αὐτῷ τὸ πιστὸν πρὸς Ἀλέξανδρον.

XXIII. Ἀλέξανδρος δὲ ἄγων τοὺς ὑπασπιστὰς καὶ τῶν ἑταίρων ἱππέων ὅσοι μὴ ξὺν Ἡφαιστίωνι ἐτετάχατο, καὶ τῶν πεζεταίρων καλουμένων τὰς τάξεις, καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τοὺς ἱππακοντιστὰς, προὔ-

---

11. Ἄστης δέ] Ed. Bas. Ἄστις δέ, ut mox Ἄστιν.

12. καὶ αὐτὸς μὲν Ἄστης] Edd. ante Gronovium καὶ αὐτὸς δὲ Ἄστης. Minus recte. Vide ann. ad I, 22, 9. — Infra ed. Bas. corrupte παρὰ ξίλην.

τοῦτο ἦν αὐτῷ τὸ πιστόν] Ed. Basil. τοῦτο ἦν αὐτό. Quae scriptura defendi possit, si vera sunt quae diximus in annotat. ad III, 20, 4 τοῦτο αὐτὸ ἐς πίστιν ἦν πρὸς Ἀλέξανδρον.

C. XXIII. τῶν πεζεταίρων] Ed. Basil. τῶν ἀσθεταίρων. Ed. Vulcan. τῶν Ἀσσετέρων. Vide quae de hoc vocabulo, in omnibus fere scriptoribus mire corrupto, diximus ad I, 28, 5 et VI, 6, 1. — Mox omnes edd. Ἀγριάνας.

ἐς τὴν — Ἀσσακηνῶν] Ed Basil. ἐς τὴν Ἀσπίων τε καὶ Θυραίων χώραν καὶ Ἀρασάκων: quod habent quoque edd. Vulcan. et Blanc., nisi quod in iis minus recte expressum legitur ἐς τῶν κ. τ. λ. „Thyraei isti prorsus incogniti ut et Arasacae vel Arsaci, ut colligere est ex miro Ortelii silentio. Nihilominus videtur memorari regio geminorum priorum a Strabone lib. XI, p. 517 (p. 439, ed. ster.) in verbis ὧν τήν τε Ἀσπιώνου καὶ τὴν Τουριούαν ἀφῄρηντο Εὐκρατίδην οἱ Παρθυαῖοι, manifestis mendis pro τήν τε Ἀσπίων καὶ τὴν Τουραίων per transpositionem literarum. Attamen cum de prima litera vocis postremae nihil mihi cavere possim, ut verbo dicam, videtur scribendum Ἀσπίων (vel ut volunt Ἀσπασίων) τε καὶ Γουραίων χώραν καὶ Ἀσσακανῶν. Nam *T* et *Γ* sunt iidem fere characteres. Videbis autem ordine de his ab Arriano deinceps memorari. Freinshemius in notis ad Curt. VIII,

χώρει ἐς τὴν Ἀσπασίων τε καὶ Γουραίων χώραν καὶ Ἀσσακηνῶν· πορευθεὶς δὲ παρὰ τὸν Χόην καλούμενον ποταμὸν 2
ὀρεινήν τε ὁδὸν καὶ τραχεῖαν, καὶ τοῦτον διαβὰς χαλεπῶς τὸ μὲν πεζῶν πλῆθος βάδην ἕπεσθαι οἱ ἐκέλευσεν. Αὐτὸς 3
δὲ ἀναλαβὼν τοὺς ἱππέας ξύμπαντας, καὶ τῶν πεζῶν τῶν Μακεδόνων ἐς ὀκτακοσίους ἐπιβιβάσας τῶν ἵππων ξὺν ταῖς ἀσπίσι ταῖς πεζικαῖς σπουδῇ ἦγεν, ὅτι τοὺς ταύτῃ οἰκοῦντας βαρβάρους ξυμπεφευγέναι ἔς τε τὰ ὄρη τὰ κατὰ τὴν χώραν ἐξηγγέλλετο αὐτῷ καὶ ἐς τὰς πόλεις ὅσαι ὀχυραὶ αὐτῶν ἐς τὸ ἀπομάχεσθαι. Καὶ τούτους τῇ πρώ- 4
τῃ καθ' ὁδὸν πόλει ᾠκισμένῃ προσβαλὼν τοὺς μὲν πρὸ τῆς πόλεως τεταγμένους ὡς εἶχεν ἐξ ἐφόδου ἐτρέψατο

10, 7 ultimos vocabat *Arsacos*, nescio unde. Quem vero fluvium auctor vocat *Χόην*, procul dubio is est qui Ptolemaeo dicitur *Κόας*, de quo idem Freinshemius VIII, 10. 21." *Gronov.* Nomina gentium, qnae exhibentur ab edd. ante Gronovium, corrupta esse nemo non viderit. Unde probavimus Gronovii coniecturam, nisi quod pro *Ἀσσακανῶν* scripsimus *Ἀσσακηνῶν*, quae nominis forma reperitur tum in Exped. IV, 25, 7, 9. V, 20, 11, 12, tum in Hist. Ind. 1, 1 (ubi tamen commemorantur ut diversae gentes *Ἀστακηνοί* et *Ἀσσακηνοί*), tum denique apud Steph. Byz. s. v. Conferas v. d. Chys. comm. geogr. in Arr. p. 93.

2. *τὸ μὲν πεζῶν πλῆθος*] Ed. Bas. *τὸ μὲν πεζὸν πλῆθος.*

4. *Καὶ τούτους*] Edd. vett. cum quattuor codd. Gronovii *καὶ τούτων.* Quae nobis cum Schmiedero probata est scriptura, eam praebuit cod. F. Neque temere id a nobis factum esse concedes perlectis quae diximus ad III, 25, 12. Adde V, 5, 6 *τοὺς οὖν ποταμοὺς — τοὺς μὲν —, καί τούτων τοὺς μὲν — τοὺς δέ· τοὺς δὲ ἐπὶ νότον ἄνεμον.* — Paulo infra ed. Basil. *ᾠκισμένην.*

καὶ κατέκλεισαν εἰς τὴν πόλιν] Hanc lectionem omnes dant codices quos inspexit Gronovius. *ἐν τῇ πόλει* edd. vett. Arrianus ipse litem dirimat. Vide I, 20, 7 *εἰς τὴν πόλιν κατέκλεισαν.* I, 20, 14 *κατεκλείσθησαν εἰς τὰ τείχη.* I, 5, 13 *κατακλείσας αὐτοὺς εἰς τὴν πόλιν.* IV, 26, 7. *εἰς τὰ τείχη κατεκλείσθησαν.* V, 23, 4 *εἰς τὴν πόλιν κατεκλείσθησαν.* VI, 6, 5 *ἐς τὴν πόλιν κατακλεισθέντων.* coll. Xenoph. Anab. V, 2, 18 *κατακλείουσι τοὺς πολεμίους πάλιν εἰς τὴν ἄκραν.*

5 καὶ κατέκλεισεν ἐς τὴν πόλιν· αὐτὸς δὲ τιτρώσκεται βέ-
λει διὰ τοῦ θώρακος ἐς τὸν ὦμον· τὸ δὲ τραῦμα οὐ χα-
λεπὸν αὐτῷ ἐγένετο· ὁ γὰρ θώραξ ἔσχε τὸ μὴ οὐ διαμ-
πὰξ διὰ τοῦ ὤμου ἐλθεῖν τὸ βέλος· καὶ Πτολεμαῖος ὁ
6 Λάγου ἐτρώθη καὶ Λεοννάτος. Τότε μὲν δὴ ἵνα ἐπιμα-
χώτατον τοῦ τείχους ἐφαίνετο, ἐστρατοπεδεύσατο πρὸς
τῇ πόλει· τῇ δὲ ὑστεραίᾳ ὑπὸ τὴν ἕω (διπλοῦν γὰρ τεῖ-
χος περιβέβλητο τῇ πόλει) ἐς μὲν τὸ πρῶτον ἅτε οὐκ
ἀκριβῶς τετειχισμένον οὐ χαλεπῶς ἐβιάσαντο οἱ Μακε-
7 δόνες· πρὸς δὲ τῷ δευτέρῳ ὀλίγον ἀντισχόντες οἱ βάρ-
βαροι, ὡς αἵ τε κλίμακες προσέκειντο ἤδη καὶ ὑπὸ τῶν
βελῶν πάντοθεν ἐτιτρώσκοντο οἱ προμαχόμενοι, οὐκ ἔμει-

5. *ἔσχε τὸ μὴ οὐ — ἐλθεῖν*] Suspicetur quis legendum esse *ἔσχε τοῦ μὴ οὐ* —, quomodo dixit II, 27, 3 *καὶ τούτους ἔσχε τοῦ μὴ οὐκ αἰσχρᾷ φυγῇ ὠσθῆναι*: ut verbo *σχεῖν* eadem sit potestas, quam alias habet apud Arrianum verbum *εἶρξαι*, ut I, 13, 9 *εἴρξει τοῦ μὴ οὐ διαβῆναι*, ubi additum vellem quod scripsit Dionys. Halicarn, VII, 48 *οὐδείς με ἀφέλξει φόβος μὴ οὐχ ἃ φρονῶ λέγειν*. — Supra ed. Basil. *εἰς τὴν πόλιν* et *εἰς τὸν ὦμον*.

6. *ἵνα ἐπιμαχώτατον τοῦ τείχους ἐφαίνετο*] Haec verba cum eo quod statim sequitur *ἐστρατοπεδεύσατο* affert Suidas s. v. *ἵνα*. Ad verborum constructionem quod attinet, duplicem fere video eam explicandi rationem. Aut enim genitivus qui est *τοῦ τείχους* pendet a particula *ἵνα* locum indicante, aut pro partitivo qui dicitur habendus est, quem vulgo explicant omisso pronomine *τὶ* (vid. ann. ad IV, 26, 9). Nam si quis dicat pendere eum posse a superlativo *ἐπιμαχώτατον*, id, si Arriani usum loquendi respicis, alia ratione fieri non posse videtur, nisi addito articulo scribatur *τὸ ἐπιμαχώτατον*. V. Herod. IX, 21 *Μεγαρέες ἐτύγχανον ταχθέντες ᾗ τὸ ἐπιμαχώτατον ἦν τοῦ χωρίου παντός*. Arr. I, 19, 4 *ᾗπερ τὸ στενώτατον ἦν*. II, 18, 5 *ἵνα τὸ βαθύτατον τοῦ διάπλου*. IV, 29, 1 *ἐς τῆς πέτρας τὸ ἐπιμαχώτατον*. V, 20, 16 *ἵναπερ τὸ πλατύτατον ἦν τοῦ πόρου*. Hist. Ind. III, 7 *ἵναπερ τὸ βραχύτατον αὐτοῦ*. At cave mutes vulgatam, quam tuentur haec I, 1, 9 *ᾗ ἀποτομώτατον τοῦ ὄρους*. II, 22, 10 *ᾗ ἐρήριπτο τοῦ τείχους*. IV, 25, 3 *ᾗπερ ἐπιμαχώτατον τοῦ λόφου ἐφαίνετο*. Xenoph. Hist. Gr. IV, 8, 35 *ᾗ ἐρημότατον ἦν τῆς Ἀβυδηνῆς*. Praeterea vide ut dicere potuit, si voluisset, Arrianus ex his l. I, 19, 3 *ᾗ κατερήριπτο ἤ*

ναν, ἀλλὰ κατὰ τὰς πύλας ὡς ἐπὶ τὰ ὄρη ἐκπίπτουσιν ἐκ τῆς πόλεως. Καὶ τούτων οἱ μὲν ἐν τῇ φυγῇ ἀπο- 8
θνήσκουσιν· ὅσους δὲ ζῶντας ἔλαβον αὐτῶν, ξύμπαντας ἀποκτείνουσιν οἱ Μακεδόνες, ὅτι ἐτρώθη ὑπ' αὐτῶν Ἀλέξανδρος ὀργιζόμενοι· οἱ πολλοὶ δὲ ἐς τὰ ὄρη, ὅτι οὐ μακρὰν τῆς πόλεως τὰ ὄρη ἦν, ἀπέφυγον. Τὴν πόλιν δὲ κατασκάψας ἐς Ἄνδακα ἄλλην πόλιν ἦγε. Ταύ- 9
την δὲ ὁμολογίᾳ ἐνδοθεῖσαν κατασχὼν Κρατερὸν μὲν ξὺν τοῖς ἄλλοις ἡγεμόσι τῶν πεζῶν καταλείπει αὐτοῦ ἐξαιρεῖν ὅσαι ἂν ἄλλαι πόλεις μὴ ἑκοῦσαι προσχωρῶσι, καὶ τὰ κατὰ τὴν χώραν ὅπως ξυμφορώτατόν ἐστι πάντα διακοσμεῖν.

σεσάλευτο τὸ τεῖχος. II, 26, 3 *κατεστρατοπέδευσεν ᾗ μάλιστα ἐπίμαχον αὐτῷ ἐφαίνετο τὸ τεῖχος.*

7. *ὡς αἵ τε κλίμακες*] Ed. Bas. *αἵ τε κλίμακος.*

ἐκπίπτουσιν ἐκ τῆς πόλεως] Ita Vulcanius primus: secuti sunt recentiores editores omnes, ne annotato quidem quod habet ed. Bas. *ἐκπίπτουσι τῆς πόλεως.* Ex alto Gronovii silentio colligas, praepositionem omnes firmare codd. Florr., quamquam non ita esse posse quis est qui infitias eat? Sed bene perspexit Vulcanius Arriani indolem. Hic enim, nisi egregie fallor, semper construxit verbum *ἐκπεσεῖν* cum genitivo addita praepositione *ἐκ*, vel si significari voluit quod Latini dicunt *erumpere ex aliquo loco*, ut V, 23, 7 *ἐκπίπτοντες ἐκ τοῦ τείχους.* V, 23, 10, *ἐκπίπτειν ἐκ τῆς πόλεως*, vel *vi excidere*, ut Hist. Ind. XXX, 3 *ἐκ τῶν χειρῶν τὰ ἐρετμὰ ἐκπεσεῖν.* Simplicem genitivum eidem verbo adiunxit si est *expelli*, ut I, 17, 11 *τούς τε φυγάδας ὅσοι δι' αὐτὸν ἐξέπεσον τῆς πόλεως, κατήγαγε.* Xenophon quidem hoc discrimen non observasse videtur, si fides habenda est codicibus (vid. vv. ll. ad Hist. Gr. V, 2, 13), quamquam nescio an recte id contendi possit, eum, ubi *ἐκπεσεῖν* est *vi erumpere*, nunquam omisisse praepositionem. Cf. Anab. V, 2, 1. Hist. Gr. III, 2, 27. IV, 4, 11.

8. *ἐς Ἄνδακα ἄλλην πόλιν*] Ed. Bas. *ἐς Ἄνδρα ἄλλην πόλιν* Unde in praefatione coniecit Vulcanius scribendum esse *Ἄνδρακα.* Sed sive ipse Vulcanius, sive Stephanus in ipsa editione exprimi iussit *ἐς Ἄνδακα*, quam nominis formam in quattuor codd. invenit Gronovius. Unus cod. habuit *Ἄνδηλα.* Vide Freinsh. ad Curt. VIII, 10, 9. — Infra ed. Bas. *ἐξαίρειν.*

9. *καὶ τὰ κατὰ τὴν χώραν*] In ed. Bas. primae duae voculae

XXIV. *Αὐτὸς δὲ ἄγων τοὺς ὑπασπιστὰς καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὴν Κοίνου τε καὶ Ἀττάλου τάξιν καὶ τῶν ἱππέων τὸ ἄγημα καὶ τῶν ἄλλων ἑταίρων ἐς τέσσαρας μάλιστα ἱππαρχίας καὶ τῶν ἱπποτοξοτῶν τοὺς ἡμίσεας, ὡς ἐπὶ τὸν ποταμὸν τὸν Εὐάσπλα προὐχώρει ἵνα ὁ τῶν Ἀσπασίων ὕπαρχος ἦν· καὶ διελθὼν πολλὴν ὁδὸν δευτεραῖος ἀφίκετο πρὸς τὴν πόλιν.*
2 *Οἱ δε βάρβαροι προσάγοντα αἰσθόμενοι Ἀλέξανδρον ἐμ-*
3 *πρήσαντες τὴν πόλιν ἔφευγον πρὸς τὰ ὄρη. Οἱ δ' ἀμφ'*

---

male omissae sunt. Vide ad IV, 26, 13. VI, 28, 1 intpp. ad Polyb. III, 19 et ad Diod. Sic. XXVII, 58. — Paulo ante eadem ed. *προσχωρῶσιν.*

ὅπως ξυμφορώτατόν ἐστι πάντα διακοσμεῖν] Mire turbatus hic locus est ut in codd. ita in edd. vett. Cum in ed. Basil. corrupte scriptum esset *ὅπως ξυμφορώτατον ἔτασσον παρόντα κοσμεῖν.* Vulcanius sive e codice suo, sive ex coniectura dedit *ὅπως ξυμφορώτατον ἐς τὰ παρόντα κοσμεῖν.* Atque si nescivissemus, quo nos verteremus, sane probassemus hanc coniecturam. Similiter enim dixit Arrianus II, 16, 10 *ὡς τοῦτο ἐς τὰ παρόντα τῷ λόγῳ εὐπρεπέστατον,* et, quos locos indicat Gronovius, V, 22, 7 *ὡς μάλιστα πρὸς τὰ παρόντα ἐν καιρῷ οἱ ἐφαίνετο.* V, 27, 4 *ἃ νομίζω ξυμφορά τε σοι ἐς τὰ παρόντα.* Neque multum distat hoc l. IV, 15, 7 *φιλάνθρωπα ἀποκρίνεται καὶ ἐς τὸν τότε καιρὸν ξύμφορα.* In codd Florr. aut reperit Gronovius quod praebet ed. Bas., aut *ὅπερ ξυμφορώτατον* (s. *ξυμφερότατον*) *ἔς τε τὰ παρόντα κοσμεῖν.* Solus cod. F. servasse videtur Arriani manum, nisi forte pro *διακοσμεῖν* e reliquis codd. et edd. vett. retinendum est simplex verbum *κοσμεῖν,* quia ut hoc verbo saepissime usum videmus Arrianum de eo *qui in ordinandis rebus publicis versatur* (vid. III, 5, 3 *τὰ κατὰ τὴν Αἴγυπτον — ἐκόσμησε.* V, 20, 12 *τὰ περὶ τὴν Ἀσσακηνῶν χώραν καταστησομένους καὶ κοσμήσοντας.* V, 29, 8 *τὰ ἄλλα τὰ κατὰ τὴν χώραν ἐκόσμει.* VI, 22, 5 *τὰ κατὰ τοὺς Ὠρείτας κοσμεῖν.* VII, 5, 8 *καλῶς ἔδοξε τὰ ἐν Ὥροις κοσμῆσαι.* Hist. Ind. XVIII, 11 *ὡς δὲ ταῦτα ἐκεκόσμητο*): ita *διακοσμεῖν* frustra apud eum quaesivimus. Sed vide an huius verbi patrocinium suscipiant, qui saepe Arriano ob oculos versati videntur, Herodot. I, 100 *ἐπεί τε δὲ ταῦτα διεκόσμησε* et Xenophon Cyrop. III, 3, 11 *ἀλλὰ δωδεκαδάρχοις — πάντα τὰ καταλειπόμενα διεκοσμεῖτο.*

C. XXIV. *τοὺς ὑπασπιστάς*] Ed. Bas. *τοὺς ἱππασπιστάς.* Mox omnes edd. *τοὺς Ἀγριάνας.*

Ἀλέξανδρον εἴχοντο τῶν φευγόντων ἔστ᾽ ἐπὶ τὰ ὄρη, καὶ φόνος πολὺς γίγνεται τῶν βαρβάρων, πρὶν ἐς τὰς δυσ-
χωρίας φθάσαι ἀπελθόντας. Τὸν δὲ ἡγεμόνα αὐτὸν τῶν 4
ταύτῃ Ἰνδῶν Πτολεμαῖος ὁ Λάγου πρός τινι ἤδη γηλόφῳ ὄντα κατιδὼν καὶ τῶν ὑπασπιστῶν ἔστιν οὓς ἀμφ᾽ αὐτὸν, ξὺν πολὺ ἐλάττοσιν αὐτὸς ὢν ὅμως ἐδίωκεν ἔτι ἐκ τοῦ ἵπ-
που· ὡς δὲ χαλεπὸς ὁ γήλοφος τῷ ἵππῳ ἀναδραμεῖν ἦν, 5
τοῦτον μὲν αὐτοῦ καταλείπει παραδούς τινι τῶν ὑπασπιστῶν ἄγειν· αὐτὸς δ᾽ ὡς εἶχε πεζὸς τῷ Ἰνδῷ εἵπετο.

τὸν ποταμὸν [τὸν Εὐάσπλα] Sic primus scripsit Vulcanius e codice Stephani. Secuti sunt recentiores editores. Idem fluvii nomen exhibet unus codicum Gronovii. In edd. Bas. et quattuor codd. Gronovii legitur *τὸν ποταμὸν τὸν Εὔας πόλεως*. „Blancardus iam vidit et ex sequentibus bene coniecit, excidisse nomen urbis cuiusdam; sed minus recte scribendum censet *Εὐάσπλα πόλιν*. Nam desideratur etiam nomen fluvii. Unde Gronovius voluit: *ἐπὶ τὸν ποταμὸν τὸν Συαστὸν* (vel *Σοαστὸν*) *τέως προὐχώρει*. „„Nempe post superata montana primo venit Alexander ad Choen, post hunc versus orientem, quo pergebat Alexander, sequitur Soastus vel Suastus, quem istic ponit novitque omnis vetustas.““ Haberemus quidem nomen fluvii, sed deest nomen urbis ad quod alludunt verba *ἀφίκετο πρὸς τὴν πόλιν* et *ἐμπρήσαντες την πόλιν*, deest quod respondere possit voculae *τέως*, nempe *ὡς δέ*. Censeo igitur locum esse lacunosum, et nihil mutavi. Si vero coniectura opus est, scribere mallem: *ἐπὶ τὸν ποταμὸν τὸν Συαστὸν πλησίον πόλεως, προὐχώρει*. A Curtio VIII, 10, 19 nominari videtur ea regio *Daedala*“. *Schmied.* Locum corruptum esse nemo est quin videat. Sed quae medicina ei sit adhibenda, ego quidem nescio.

ὁ τῶν Ἀσπασίων ὕπαρχος] Sic quattuor, ut videtur, codd. Gronovii, sic quoque ed. Bas. *ὁ τῶν Ἀσπίων ὕπαρχος* unus codd. Gron. cum edd. Vulc. Blanc. Gron. Raphel. Vide quae diximus ad IV, 23, 1.

3. *ἔστε ἐπὶ τὰ ὄρη*] Restituimus pleniorem formam ex ed. Bas. Vulcanius et qui eum exceperunt omnes nescio an non recte dederunt *ἔστ᾽ ἐπὶ τὰ ὄρη*.

4. *ἐδίωκεν ἔτι*] Ed. Bas. *ἐδίωκε ἔτι*.

5. *αὐτὸς δ᾽ ὡς εἶχε*] Ed. Bas. *αὐτὸς δὲ ὡς εἶχε*. Praeterea animadverte formulam *ὡς εἶχε* a Vulcanio in interpretatione neglectam, cum dederit: *pedes Indum insequitur.* Tu verte; *ipse autem sicut fuit pedes Indum insequitur.* Gemina sunt haec I, 13, 9 *δια-*

6 Ὁ δὲ ὡς πελάζοντα ἤδη κατεῖδε τὸν Πτολεμαῖον, αὐτός
τε μεταβάλλει ἐς τοὔμπαλιν καὶ οἱ ὑπασπισταὶ ξὺν αὐτῷ.
7 Καὶ ὁ μὲν Ἰνδὸς τοῦ Πτολεμαίου διὰ τοῦ θώρακος παίει
ἐκ χειρὸς ἐς τὸ στῆθος ξυστῷ μακρῷ, καὶ ὁ θώραξ
ἔσχε τὴν πληγήν· Πτολεμαῖος δὲ τὸν μηρὸν διαμπὰξ βα-
8 λὼν τοῦ Ἰνδοῦ καταβάλλει τε καὶ σκυλεύει αὐτόν. Ὡς

βῆναι ὡς ἔχομεν. II, 6, 3 οἱ δὲ αὐτόθεν ὡς εἶχον ἄγειν ἐκέλευον. II, 11, 6 εὐθὺς ὡς εἶχεν ἐπὶ τοῦ ἅρματος ἔφευγεν. III, 18, 10 ἀλλ' αὐτόθεν ὡς εἶχον — πεφοβημένοι. IV, 2, 4 ὡς εἶχεν ἐξ ἐφόδου σημαίνει προσβάλλειν. IV, 23, 4 ὡς εἶχεν ἐξ ἐφόδου ἐτρέψατο. V, 22, 8 εὐθὺς ὡς εἶχεν ἐκπέμπει. VI, 7, 3 καὶ αὐτὸς ὡς εἶχε συνδιαβάς. VI, 8, 7 ὡς εἶχεν ἐκ τῆς ὁδοῦ ἐμβάλλει ἐς τὸν πόρον. Neque aliter explicanda videntur quae leguntur I, 27, 10 στρατοπεδεύεσθαι αὐτοῦ ὅπως εἶχον: quamquam Gronovius ad I, 13, 4 contendit ultima haec verba significare *prout poterant*. Quemadmodum enim sine ullo discrimine dicitur ὅπως ποδῶν εἶχον (Aesch. Suppl. 849) et ὡς ποδῶν εἶχον Herodot. VI, 116, ὡς τάχιστα et ὅπως τάχιστα; coll. Arr. VII, 12, 5 ὅπως ἔχει φιλίας et VII, 14, 3 ὡς εὐνοίας — εἶχε: sic etiam nescio quo iure discrimen statuas inter formulas ὅπως ἔχω et ὡς ἔχω. Vide Locell. ad Xenoph. Ephes. p. 194. Herm. ad Soph. Philoct. 808 δέξαι θανάσιμόν μ' ὅπως ἔχω, et Fritzsch. Quaestt. Lucc. p. 180.

6. Ὁ δὲ ὡς πελάζοντα ἤδη κατεῖδε τὸν Πτολ.] Haec est scriptura edd. vett. et quattuor codd. Gronovii. Αὐτὸς δὲ ὡς πελάζοντα εἶδε (sic) ἤδη τ. Πτ. cod. F. Unde Schmiederus quod in initio periodi positum est αὐτὸς δὲ probare veritus reliqua tamen sic dedit ut voluit hic codex. Sed tantum abest ut recte id instituisse mihi videatur, ut vulgatam scripturam unice veram existimem. Primum enim particula ἤδη ut post participium posita optime habet (cf. ann. ad I, 20, 5 coll. II, 19, 5 ὡς δὲ ἐπέλαζον ἤδη) ut huc referenda, ita post εἶδε collocata inepta est. Deinde etiam verbum compositum κατιδεῖν quamvis non multum differat a simplici ἰδεῖν (vid. Dion. Hal. de comp. verb. p. 42, 10 κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτήν· τῇ προθέσει ηὔξηκε τοὔνομα· τὸ γὰρ ἰδὼν ἀπέχρη cf. Herm. ad Luc. Quom. hist. sit conscr. p. 321), tamen nescio an maiorem habeat vim, ita ut respondeat vernaculo *erkennen*, *bemerken*. Cf. I, 8, 9 τοὺς μὲν αὐτοῦ φεύγοντας κατιδών. I, 19, 4 οἱ ἀμφὶ Νικάνορα τὴν ὁρμὴν κατιδόντες. I, 19, 15 ὡς προσπλεούσας τὰς πέντε — κατεῖδε. II, 10, 7 ᾗ μάλιστα διεσπασμένην — κατεῖδον. II, 11, 6 καὶ ταύτῃ ἀποῤῥηγνύμενον κατεῖδε. IV, 24, 4.

δὲ τὸν ἡγεμόνα σφῶν κείμενον οἱ ἀμφ᾽ αὐτὸν εἶδον, οὗτοι
μὲν οὐκέτι ἔμενον· οἱ δ᾽ ἐκ τῶν ὀρῶν αἰρόμενον τὸν νε-
κρὸν τοῦ ὑπάρχου ἰδόντες πρὸς τῶν πολεμίων, ἤλγησάν
τε καὶ καταδραμόντες ξυνάπτουσιν ἐπ᾽ αὐτῷ μάχην καρ-
τερὰν πρὸς τῷ γηλόφῳ. Ἤδη γὰρ καὶ Ἀλέξανδρος ἔχων 9
τοὺς ἀπὸ τῶν ἵππων καταβεβηκότας πεζοὺς πρὸς τῷ γη-

πρός τινι ἤδη γηλόφῳ ὄντα κατιδών. V, 13, 2 καὶ οἱ σκοποὶ κατιδόντες τὴν ὁρμήν. V, 15, 2 ὡς κατεῖδον — ἐμβεβληκός. V, 16, 3 ὡς δὲ τὴν τάξιν κατεῖδε. Sic etiam Hist. Ind. XXVI, 9 recte hodie legitur κατιδόντες. In edd. vett. erat ἰδόντες. Adde vv. ll. ad Xenoph. Cyrop. I, 5, 8. Alias quidem non plane condemnem simplicem verbi formam, quam vides in his II, 24, 3 ὡς ἐχομένην εἶδον. IV, 26, 1 ὡς στρατοπεδευομένους εἶδον. V, 9, 1 ἢ κατεστρατοπεδευκότα εἶδεν et passim alibi. — Mox ed. Basil. ἐς τὸ ἔμπαλιν, quam formulam habes II, 11, 8 ἐς τὸ ἔμπαλιν ἐτράπετο. III, 12, 2 ἐπιστρέψαντες ἐς τὸ ἔμπαλιν. Compara quae diximus ad VI, 5, 14. — Infra eadem editio οἱ ἱππασπισταί.

7. *Καὶ ὁ μὲν Ἰνδὸς — ξυστῷ μακρῷ*] Perversa si qua alia haec verborum constructio, quamquam non ita comparata ut quae sint coniungenda non statim possit intelligi. Ni fallor, verba τοῦ Πτολεμαίου non pendent a statim sequentibus quae sunt διὰ τοῦ θώρακος, sed trahenda sunt ad ἐς τὸ στῆθος. Sed solet ita Arrianus nomina propria, quae sibi quasi sunt opposita, arctissime coniungere, ut II, 25, 1 δοῦναι ἐθέλειν Ἀλεξάνδρῳ Δαρεῖον. III, 21, 8 παραδοῦναι Δαρεῖον Ἀλεξάνδρῳ III, 30, 6 ἐς ὄψιν ἄγειν Ἀλεξάνδρου Βῆσσον. IV, 15, 3 Πτολεμαῖος Ἀλεξάνδρῳ ἔφρασεν. IV, 21, 11 καὶ πέμπει Ὀξυάρτην Ἀλέξανδρος. Ac sic etiam Xenophon Hist. Gr. IV, 1, 4 χάριν δὲ τούτων εἰδὼς Ἀγησίλαος τῷ Σπιθριδάτῃ. Ad totam verborum compositionem confer I, 15, 11 καὶ παίει Ἀλεξάνδρου τὴν κεφαλὴν τῇ κοπίδι. II, 27, 3 αὐτὸς δὲ βάλλεται καταπέλτῃ διὰ τῆς ἀσπίδος διαμπὰξ καὶ τοῦ θώρακος ἐς τὸν ὦμον (coll. IV, 23, 5). VI, 10, 2 Ἀλέξανδρος δὲ βάλλεται καὶ αὐτὸς διὰ τοῦ θώρακος ἐς τὸ στῆθος τοξεύματι, ubi nota remotum dativi instrumentalis locum.

8. *οἱ ἀμφ᾽ αὐτόν*] Ed. Bas. οἱ ἀμφ᾽ αὐτόν.

9. *καὶ τοῦ νεκροῦ — τὰ ὄρη*] Haec verba omnia in edd. ante Gronovium et quattuor codicibus desiderabantur. In uno cod. vidit Gronovius Ἀλέξανδρος δέ. „Sed ne hoc quidem satis: neque enim utrum retro ad hanc urbem descenderit, neque an dorso montis integro traiecto, quidquam memoratur. Itaque nec Vulca-

λόφῳ ἦν. Καὶ οὗτοι ἐπιγενόμενοι μόγις ἐξέωσαν τοὺς
10 *Ἰνδοὺς ἐς τὰ ὄρη, καὶ τοῦ νεκροῦ ἐκράτησαν. Ὑπερβαλὼν δὲ τὰ ὄρη Ἀλέξανδρος ἐς πόλιν κατῆλθεν ᾗ ὄνομα ἦν Ἀριγαῖον, καὶ ταύτην καταλαμβάνει ἐμπεπρησμένην ὑπὸ τῶν ἐνοικούντων, καὶ τοὺς ἀνθρώπους πεφευγότας.*
11 *Ἐνταῦθα δὲ ἀφίκοντο αὐτῷ καὶ οἱ ἀμφὶ Κρατερὸν ξὺν τῇ στρατιᾷ, πεπραγμένων σφίσι ξυμπάντων ὅσα ὑπὸ τοῦ*
12 *βασιλέως ἐτέτακτο. Ταύτην μὲν δὴ τὴν πόλιν, ὅτι ἐν ἐπικαίρῳ χωρίῳ ἐδόκει ᾠκίσθαι, ἐκτειχίσαι τε προστάσσει Κρατερῷ καὶ ξυνοικίσαι ἐς αὐτὴν τούς τε προσχώρους ὅσοι ἐθελονταὶ καὶ εἰ δή τινες ἀπόμαχοι τῆς στρα-*
13 *τιᾶς. Αὐτὸς δὲ προὐχώρει ἵνα ξυμπεφευγέναι ἐπυνθάνετο τοὺς πολλοὺς τῶν ταύτῃ βαρβάρων· ἐλθὼν δὲ πρός τι ὄρος κατεστρατοπέδευσεν ὑπὸ ταῖς ὑπωρείαις τοῦ*
14 *ὄρους. Καὶ ἐν τούτῳ Πτολεμαῖος ὁ Λάγου ἐκπεμφθεὶς*

---

nius *κατέρχεσθαι* interpretatus est, sed simplex *ἔρχεσθαι*, *quum venisset.* Agnosce igitur lacunam quam eximie ope pulcherrimi libri procurabo sic eam explendo *ἐς τὰ ὄρη καὶ τοῦ νεκροῦ ἐκράτησεν. Ὑπερβαλὼν δὲ τὰ ὄρη Ἀλέξανδρος*; hoc est: *in montes repulerunt et cadavere potiti sunt. Transito inde monte Alexander ad urbem descendit.* Agnoscis et originem lacunae ortam ex repetitione vocis *ὄρη*." *Gronov.* Vide ann. ad II, 22, 4. III, 15, 13. IV, 16, 2.

11. *πεπραγμένων σφίσι ξυμπάντων*] Ed. Bas. *σφίσιν.*

12. *ἐδόκει ᾠκίσθαι*] Edd. vett. *ᾠκεῖσθαι.* Verum suppeditarunt omnes codd., quos consuluit Gronovius. Conferas, si tanti est, ann. ad II, 13, 11. — Mox apud Schmiederum vitiose notatum legimus *ἐθέλονται.*

13. *κατεστρατοπέδευσεν — ὄρους*] Affert haec verba Grammaticus apud Bekk. Anecd. I, p. 178, 15 ubi tamen minus recte scriptum *κατεστρατοπέδευεν.* Et erravit idem ille Grammaticus in eo, quod haec verba e libro quinto se desumsisse dicit. Eundem errorem notavimus ad IV, 15, 12. — In ed. Bas. inepte expressum est *κατεστρατοπαίδευσε.*

14. *πλείονα*] Sic codd. Gronovii et ed. Basil. *πλείω* edd. ante Schmiederum reliquae. Formam *πλείονα* habes I, 1, 4. V, 1, 8. *πλείω* V, 17, 11. Similiter dixit *τὰ χείρω* IV, 14, 2. Cf. annot. ad IV, 6, 3.

μὲν ὑπὸ Ἀλεξάνδρου ἐς προνομὴν, προελθὼν δὲ προ-
σωτέρω αὐτὸς ξὺν ὀλίγοις ὡς ἐς κατασκοπὴν, ἀπαγγέλ-
λει Ἀλεξάνδρῳ πυρὰ κατιδεῖν τῶν βαρβάρων πλείονα ἢ
ἐν τῷ Ἀλεξάνδρου στρατοπέδῳ. Καὶ Ἀλέξανδρος τῷ 15
μὲν πλήθει τῶν πυρῶν ἠπίστησεν· εἶναι δέ τι ξυνεστη-
κὸς τῶν ταύτῃ βαρβάρων αἰσθόμενος, μέρος μὲν τῆς
στρατιᾶς αὐτοῦ καταλείπει πρὸς τῷ ὄρει ὡς εἶχ᾽ ἐστρα-
τοπεδευμένους· αὐτὸς δὲ ἀναλαβὼν ὅσοι ἀποχρῶντες ἐς 16
τὰ ἀπηγγελμένα ἐφαίνοντο, ὡς πλησίον ἤδη ἀφεώρων
τὰ πυρὰ, τρίχα διανέμει τὴν στρατιάν· καὶ τῷ μὲν ἑνὶ 17
ἐπέταξε Λεοννάτον τὸν σωματοφύλακα, ξυντάξας αὐτῷ
τήν τε Ἀττάλου καὶ τὴν Βαλάκρου τάξιν· τὴν δευτέραν δὲ
μοῖραν Πτολεμαίῳ τῷ Λάγου ἄγειν ἔδωκε, τῶν τε ὑπα-
σπιστῶν τῶν βασιλικῶν τὸ τρίτον μέρος καὶ τὴν Φιλίππου
καὶ Φιλώτα τάξιν καὶ δύο χιλιαρχίας τῶν τοξοτῶν καὶ

---

15. *ὡς εἶχ᾽ ἐστρατοπεδευμένους*] Edd. ante Gronovium *ὡς εἶχε στρατοπεδευμένους*. Codd. Gronovii aut exhibent *ὡς εἶχ᾽ ἐστρατοπεδευμένους*, aut *ὡς εἶχεν ἐστρατοπεδευμένους*. Qui scripserunt *ὡς εἶχεν*, voluerunt fortasse *ὡς εἶχον* ut referendum ad plur. *ἐστρατοπεδευμένους*. At vide de eiusmodi constructionibus ad sensum quae dicta sunt ad I, 21, 7. — Supra ed. Bas. *εἶναι δέ τι ξυνεστηκώς*.

16. *ἐς τὰ ἀπηγγελμένα*] Cod. F. et ex eo Schmiederus. *ἐς τὰ ἐπηγγελμένα* edd. vett. et quattuor codd. Gronovii. Quod minus aptum videtur, ut patet ex ann. ad I, 19, 2. — Infra *τρίχα* an *τριχά*, quod habent omnes edd., rectius scribatur, sane ambiguus haereo. Mallem tamen scriptum *τριχῇ*, de qua forma et similibus diximus ad IV, 21, 7. Ceterum vide Krueg. ad Xenoph. Anab. V, 10, 16.

17. *καὶ τῷ μὲν ἑνί*] Intellige *μέρει*, quia quod praecessit *τρίχα* dictum quasi est pro eo quod est *εἰς τρία μέρη*. Similiter dixit IV, 16, 2 *αὐτὸς δὲ ἐς πέντε μέρη διελὼν τὴν στρατιὰν — τῶν μὲν — τῶν δέ — τοῖς τρίτοις δέ —, τῆς δὲ τετάρτης τάξεως· τὴν δὲ πέμπτην μοῖραν*. VI, 9, 1 *διχῇ διελὼν τὸν στρατὸν τοῦ μὲν ἑτέρου* (sc. *μέρους*) *αὐτὸς ἡγούμενος — τὸ δὲ ἕτερον Περδίκκας προσῆγε*. Cf. Dion. Hal. Antiqq. VII, 3 *νείμαντες δὲ τὴν δύναμιν — τριχῇ, μιᾷ μὲν τὴν πόλιν ἐφρούρουν, τῇ δὲ ἑτέρᾳ τὰς ναῦς εἶχον ἐν φυλακῇ, τῇ δὲ τρίτῃ —*.

τοὺς Ἀγριᾶνας καὶ τῶν ἱππέων τοὺς ἡμίσεας· τὴν δὲ τρίτην μοῖραν αὐτὸς ἦγεν ἵνα οἱ πλεῖστοι τῶν βαρβάρων ἐφαίνοντο.

XXV. Οἱ δὲ ὡς ᾔσθοντο προσάγοντας τοὺς Μακεδόνας (κατεῖχον γὰρ χωρία ὑπερδέξια), τῷ τε πλήθει σφῶν θαρσήσαντες καὶ τῶν Μακεδόνων ὅτι ὀλίγοι ἐφαίνοντο καταφρονήσαντες ἐς τὸ πεδίον ὑποκατέβησαν· καὶ μάχη γίγνεται καρτερά. Ἀλλὰ τούτους μὲν οὐ ξὺν πόνῳ
2 ἐνίκα Ἀλέξανδρος. Οἱ δὲ ἀμφὶ Πτολεμαῖον οὐκ ἐν τῷ ὁμαλῷ παρετάξαντο, ἀλλὰ γήλοφον γὰρ κατεῖχον οἱ βάρ-
3 βαροι ὀρθίους ποιήσαντες τοὺς λόχους. Πτολεμαῖος προσῆγεν ᾗπερ ἐπιμαχώτατον τοῦ λόφου ἐφαίνετο, οὐ πάντη

ἄγειν ἔδωκε] Verbum ἄγειν, quia in cod. F. non comparebat, statim eliminandum duxit Schmiederus. At vereor ut Arriano bene consuluerit. Primum enim parum probabile mihi videtur δοῦναί τινι στρατιώτας sic usurpatum, ut sit *copias alicui ducendas tradere*. Deinde, etiam si alios scriptores sic dicere potuisse non abnegaverim, Arrianum sic dixisse nego. Lectionis vulgaris testimonia haec sunto: I, 24, 4 δοὺς αὐτῷ ἄγειν τῶν τε ἑταίρων ἱππαρχίαν καὶ τοὺς Θετταλοὺς ἱππέας. II, 5, 10 Φιλώτᾳ δοὺς ἄγειν. IV, 30, 11 καὶ Νεάρχῳ τοὺς Ἀγριᾶνας — ἄγειν ἔδωκε. VI, 17, 6 τούτῳ ἄγειν ἔδωκε. Cf. ann. ad III, 5, 5. — Paulo ante pro Πτολεμαίῳ τοῦ Λάγου, quae scriptura omnium editionum est, dedi τῷ Λάγου. Neque debilitatur haec mea correctio iis quae diximus ad II, 15, 3. cf. II, 11, 11 Πτολεμαῖος ὁ Λάγου. III, 6, 8 Πτολεμαῖος ὁ Λάγου, et sic centies. III, 27, 11 Πτολεμαῖον τὸν Λάγου. III, 29, 13. IV, 29, 2. Πτολ. τὸν Λάγου. IV, 13, 12 Πτολεμαίῳ τῷ Λάγου. IV, 55, 13 Πτολεμαίῳ τῷ Λάγου. VI, 28, 6 Πτολεμαῖον τὸν Λάγου, quem locum prae ceteris memorabilem duco, quia praecedunt haec Λυσίμαχον Ἀγαθοκλέους, Ἀριστόνουν Πεισαίου, Περδίκκαν δὲ Ὀρόντου, et statim sequitur Πύθωνα Κρατεύα. VII, 15, 3 Πτολεμαίῳ τῷ Λάγου.

τὴν Φιλίππου καὶ Φιλώτα τάξιν] Edd. vett. τοῦ Φιλίππου καὶ Φιλώτου τάξιν. Quattuor codd. Florr. habent τὴν τοῦ Φ. καὶ Φιλώτου s. Φιλώτα τάξιν. Solus cod. F. praebuit quod nobis receptum est. Et postulat hanc scripturam ipse Arrianus. Vide modo, ut ex ingenti exemplorum numero tria hic adscribam. I, 6, 20 τὴν Περδίκκου καὶ Κοίνου τάξιν. IV, 25, 9 τὴν Κοίνου καὶ Πολυ-

τὸν λόφον κυκλωσάμενος, ἀλλ᾽ ἀπολιπὼν εἰ φεύγειν ἐθέ-
λοιεν οἱ βάρβαροι χώραν αὐτοῖς ἐς τὴν φυγήν. Καὶ 4
γίγνεται καὶ τούτοις μάχη καρτερὰ τοῦ χωρίου τῇ χαλε-
πότητι καὶ ὅτι οὐ κατὰ τοὺς ἄλλους τοὺς ταύτῃ βαρβά-
ρους οἱ Ἰνδοὶ, ἀλλὰ πολὺ δή τι ἀλκιμώτατοι τῶν προσ-
χώρων εἰσίν. Ἐξώσθησαν δὲ καὶ οὗτοι ἀπὸ τοῦ ὄρους 5
ὑπὸ τῶν Μακεδόνων, καὶ οἱ ἀμφὶ Λεοννάτον τῇ τρίτῃ
μοίρᾳ τῆς στρατιᾶς ὡσαύτως ἔπραξαν· ἐνίκων γὰρ καὶ
οὗτοι τοὺς κατὰ σφᾶς. Καὶ λέγει Πτολεμαῖος ἀνθρώπους 6
μὲν ληφθῆναι τοὺς πάντας ὑπὲρ τετρακισμυρίους, βοῶν
δὲ ὑπὲρ τὰς τρεῖς καὶ εἴκοσι μυριάδας· καὶ τούτων τὰς
καλλίστας ἐπιλεξάμενον Ἀλέξανδρον, ὅτι διαφέρουσαι

σπέρχοντος τάξιν. V, 12, 3 *τὴν Κλείτου τε καὶ Κοίνου τάξιν.* De genitivo in ᾱ exeunte consule ann. ad I, 17, 8 et II, 13, 9.

C. XXV. Verba *κατεῖχον γὰρ — καταφρονήσαντες* cum in ed. Basil. parenthesis signis circumscripta essent, quasi iure haereditario ita in recentiores editiones transiere. Sed, si quid video, verba sola *κατεῖχον γὰρ χωρία ὑπερδέξια* in parenthesi sunt ponenda, reliqua vero arctissime cum sequentibus *ἐς τὸ πεδίον ὑποκατέβησαν* coniungenda. Nam propterea tantum in planitiem descenderunt barbari, quod multitudine suorum confidebant et Macedones quia pauci videbantur esse contemnebant. Similem orationis seriem video in his l. IV, 23, 6 *τῇ δὲ ὑστεραίᾳ ὑπὸ τὴν ἕω (διπλοῦν γὰρ τεῖχος περιβέβλητο τῇ πόλει) ἐς μὲν τὸ πρῶτον.* VI, 26, 13 *ἔνθεν δὲ (ἤδη γάρ τι γιγνώσκειν τὴν ὁδὸν τοὺς ἡγεμόνας) ἐπὶ τῆς μεσογαίας ποιεῖσθαι τὸν στόλον.* VI, 29, 13 *Ἀλέξανδρος δὲ (ἐπιμελὲς γὰρ ἦν αὐτῷ — παριέναι) τὰ μὲν ἄλλα καταλαμβάνει.* De parenthesi non suo loco constituta iam diximus ad II, 2, 7.

3. *ἧπερ ἐπιμαχώτατον*] Edd. vett. et quattuor codd. Gronovii *ἐπιμαχιμώτατον.* Formam *ἐπιμαχώτατον* nisi cod. F. servasset, iam ex ipsius Arriani anctoritate restituissemus, ut qui dixerit II, 26, 5 *ἐπιμαχώτερα.* IV, 23, 6 *ἐπιμαχώτατον.* IV, 29, 1 *τῆς πέτρας τὸ ἐπιμαχώτατον.* Adde Herodot. IX, 21. Xen. Anab. V, 4, 14. Hist. Graec. VII, 1, 15.

4. *πολὺ δή τι ἀλκιμώτατοι*] h. e. *longe fortissimi omnium finitimorum populorum.* cf. V, 4, 11 *καὶ τὰ πολέμια πολύ τι γενναιοτάτους τῶν γε δὴ τότε ἐποίκων τῆς Ἀσίας.* Mutato orationis colore etiam comparativus locum haberet, quem vide III, 29, 6 *πολὺ δή τι βαθύτερος.* VII, 7, 6 *πολύ τι ταπεινότερος.* Sic dixit I, 27,

αὐτῷ κάλλει τε καὶ μεγέθει ἐφαίνοντο, πέμψαι ἐθέλειν
7 ἐς Μακεδονίαν ἐργάζεσθαι τὴν χώραν. Ἐντεῦθεν ἐπὶ τὴν
τῶν Ἀσσακηνῶν χώραν ἦγεν· τούτους γὰρ ἐξηγγέλλετο
παρεσκευάσθαι ὡς μαχουμένους, ἱππέας μὲν ἐς δισχιλί-
ους ἔχοντας, πεζοὺς δὲ ὑπὲρ τοὺς τρισμυρίους, τριά-
8 κοντα δὲ ἐλέφαντας. Κρατερὸς μὲν δὴ ἐκτετειχικὼς ἤδη
τὴν πόλιν ἐφ᾽ ἧς τῷ οἰκισμῷ κατελέλειπτο, τούς τε βα-
ρύτερον ὡπλισμένους τῆς στρατιᾶς Ἀλεξάνδρῳ ἦγεν καὶ
9 τὰς μηχανὰς εἴπου πολιορκίας δεήσειεν. Αὐτὸς δὲ Ἀλέξ-
ανδρος τούς τε ἑταίρους ἱππέας ἄγων καὶ τοὺς ἱππακον-

---

11 *καὶ τῶν ὁπλιτῶν ὅσοι κουφότεροι.* Sed II, 4, 8 *καὶ τῶν ψιλῶν ὅσοι κουφότατοι.*

7. *ἐπὶ τὴν τῶν Ἀσσακηνῶν χώραν*] Ed. Bas *Ἀσσακνῶν.* Vide ann. ad IV, 23, 1. Pro *ἐπὶ τήν* edd. ante Gron. *περὶ τήν.* „Necessario corrigendum *ἐπί*, ut habent mssti et *plurimi* et *optimi.*“ *Gronov.* Vide Villois. ad Longi Pastor. p. 34. Bast. comment. palaeogr. p. 783 sq.

ὡς μαχουμένους] Edd. ante Gron. *ὡς μαχομένους.* Et sic quoque quattuor codd. Gronovii. Quod dedimus, unus firmat codd. Gronovii. Vide ann. ad I, 19, 2.

ἱππέας μὲν ἐς δισχιλίους] Ita quattuor codd. Gronovii et edd. vett. „Sane cod. Opt. *δισμυρίους.* Nec potest videri nimium in campestri regione, ut videtur indicare Strabo lib. XV, p. 498, dum post enumeratas gentes, in quibus etiam Assacenos, subnectit in montibus fuisse Abisari regnum.“ *Gronov.* Mihi maior visus est hic numerus equitum, quam ut ex sola codicis F. auctoritate eum verum existimem. Quamquam satis constat Indorum terram *εὔιππον* fuisse. Similem numeralium confusionem notavimus ad III, 18, 3.

8. *ἐφ᾽ ἧς τῷ οἰκισμῷ*] Recte e codice F. ita dedit Schmied. pro vulgato *τοῦ οἰκισμοῦ.* cf. II, 18, 9 *ἐπ᾽ ἐργασίᾳ ἐσταλμένοι.* I, 25, 4 *ἐπὶ σατραπείᾳ ἐξεπέμφθη.* I, 26, 6 *ἐπὶ οἰκισμῷ ἐξέβησαν.*

9. *Πολυσπέρχοντος*] Ed. Bas., quam Schmiederus secutus est, *Πολυπέρχοντος.* — Paulo supra participium *ἄγων*, quo carent edd. ante Gronovium, ex omnium codd. Florr. auctoritate et V. C. Vulcanii iam reposuit Gronovius.

ᾔει ὡς ἐπὶ τοὺς Ἀσσακηνούς] Affert haec verba Stephanus Byzantius s. v. *Ἀσσακηνοί.*

10. *διά βαθύτητά τε καὶ ὅτι —*] Amat hanc orationis varietatem

τιστὰς καὶ τὴν Κοίνου καὶ Πολυσπέρχοντος τάξιν καὶ τοὺς Ἀγριᾶνας τοὺς χιλίους καὶ τοὺς τοξότας, ᾔει ὡς ἐπὶ τοὺς Ἀσσακηνούς. Ἦγε δὲ διὰ τῆς Γουραίων χώρας, 10
καὶ τὸν ποταμὸν τὸν ἐπώνυμον τῆς χώρας τὸν Γουραῖον χαλεπῶς διέβη, διὰ βαθύτητά τε καὶ ὅτι ὀξὺς ὁ ῥοῦς ἦν αὐτῷ καὶ οἱ λίθοι στρογγύλοι ἐν τῷ ποταμῷ ὄντες σφαλεροὶ τοῖς ἐπιβαίνουσιν ἐγίγνοντο. Οἱ δὲ βάρβαροι ὡς 11
προσάγοντα ᾔσθοντο Ἀλέξανδρον, ἀθρόοι μὲν ἐς μάχην καταστῆναι οὐκ ἐτόλμησαν· διαλυθέντες δὲ ὡς ἕκαστοι κατὰ πόλεις, ταύτας ἐπενόουν ἀπομαχόμενοι διασώζειν.

Arrianus. Conferas, ut simillima tantum tangam, III, 24, 3 *διά τε δυσχωρίαν — καὶ ὅτι πένητες ἦσαν.* IV, 14, 1 *ἀλλὰ διὰ μῖσος γὰρ καὶ ὅτι ἐπιτήδειος ἦν.* IV, 25, 4 *τοῦ χωρίου τῇ χαλεπότητι καὶ ὅτι — εἰσίν.* VI, 25, 3 *ἀπορίᾳ τε τῶν ὑποζυγίων καὶ ὅτι.* Sic etiam Xenoph. Conviv. VIII, 11 *τῇ τοῦ ἐρωμένου καλοκἀγαθίᾳ καὶ ὅτι σε ὁρῶ:* quem locum debeo Goellero qui ad Thucyd. I, p. 48 de similibus structurae variationibus egit. Vide quoque ann. ad VI, 24, 8 et VII, 6, 5.

11. *ὡς προσάγοντα ᾔσθοντο*] Cod. F. *ἄγοντα*, quod vel Schmiederus recipere non ausus est. Vulgatam, nisi se ipsa defenderet, tuerentur haec IV, 5, 4 *προσάγοντες ἐξηγγέλλοντο.* IV, 6, 7 *ἐξηγγέλθη προσάγων.* IV, 24, 2 *προσάγοντα αἰσθόμενοι*, coll. ann. ad III, 9, 4.

ἐς μάχην καταστῆναι] Paulo aliter dixit Hist. Ind. VII, 9 *ὥστε ἐς τὰς μάχας Ἰνδοὺς καθίστασθαι*, ut Thucyd. I, 44 *ἵνα ἐς πόλεμον καθιστῶνται.* Vide Wessel. ad Diod. Sic. XV, 14. Siebel. ad Pausan. I, 9, 9.

διαλυθέντες δ' ὡς ἕκαστοι] Ante ultimam vocem in edd. Vulc. et Blanc. insertum est verbum *εἶχον.* „At nec in Basileensi editione legitur, nec in ullo codice, quantum comperio, sine ratione a Vulcanio aut Stephano adiectum, cui libenter id reddimus, quum id Arrianus non admittat. Sic infra huius libri c. 30, 4 *γνώμην δὲ πεποίηντο νυκτὸς ὡς ἕκαστοι διασκεδάννυσθαι.* II, 12, 2 *καὶ χρημάτων ἐπιδόσει ὡς ἑκάστους σὺν τῇ ἀξίᾳ ἐτίμησε.* III, 16, 5 *δῶρά τε ὡς ἕκαστοι φέροντες.* VII, 26, 2 *δεξιοῦσθαι δὲ ὡς ἑκάστους.*" Gronov. cf. Wyttenb. ad Ecl. hist. p. 266, ed. Lips.

κατὰ πόλεις] Codd. omnes Gronovii et ed. Bas. *κατὰ πόλιν.* Minus recte. Probavimus quod primus dedit Vulcanius quodque intactum reliquerunt recentiores editores. Sic dixit Arr. III, 16, 17

XXVI. *Καὶ Ἀλέξανδρος πρῶτα μὲν ἐπὶ Μάσσαγα*
2 *ἦγε τὴν μεγίστην τῶν ταύτῃ πόλεων. Ὡς δὲ προσῆγεν*
ἤδη τοῖς τείχεσι, θαῤῥήσαντες οἱ βάρβαροι τοῖς μισθο-
φόροις τοῖς ἐκ τῶν πρόσω Ἰνδῶν (ἦσαν γὰρ αὐτοὶ ἐς ἑπ-
τακισχιλίους) ὡς στρατοπεδευομένους εἶδον τοὺς Μακεδό-
3 *νας, δρόμῳ ἐπ᾽ αὐτοὺς ᾔεσαν. Καὶ Ἀλέξανδρος ἰδὼν*
πλησίον τῆς πόλεως ἐσομένην τὴν μάχην, προσωτέρω ἐκ-
καλέσασθαι αὐτοὺς βουληθεὶς τῶν τειχῶν, ὡς εἰ τροπὴ
γίγνοιτο (ἐγίνωσκε γὰρ ἐσομένην) μὴ δι᾽ ὀλίγου ἐς πό-
λιν καταφυγόντες εὐμαρῶς διασώζοιντο, ὡς ἐκθέοντας
εἶδε τοὺς βαρβάρους, μεταβαλλομένους κελεύει τοὺς Μα-
κεδόνας ὀπίσω ἀποχωρεῖν ὡς πρὸς γήλοφόν τινα, ἀπέ-
χοντα ἀπὸ τοῦ χωρίου ἵναπερ στρατοπεδεύειν ἐγνώκει,
4 *ἑπτά που μάλιστα σταδίους. Καὶ οἱ πολέμιοι ἀναθαρ-*

ἴσον ἔρχονται· ὃς μέγας τε εὐθὺς ἀπὸ τῶν πηγῶν ἀνίσχει, καὶ πεντεκαίδεκα ποταμοὺς πάντας τῶν Ἀσιανῶν μείζονας παραλαβὼν καὶ τῇ ἐπωνυμίᾳ κρατήσας οὕτως
12 ἐκδιδοῖ ἐς θάλασσαν. Ταῦτά μοι ἐν τῷ παρόντι περὶ Ἰνδῶν τῆς χώρας λελέχθω· τὰ δὲ ἄλλα ἀποκείσθω ἐς τὴν Ἰνδικὴν ξυγγραφήν.

VII. Τὸ δὲ ζεῦγμα τὸ ἐπὶ τοῦ Ἰνδοῦ ποταμοῦ ὅπως μὲν ἐποιήθη Ἀλεξάνδρῳ, οὔτε Ἀριστόβουλος οὔτε Πτολεμαῖος, οἷς μάλιστα ἐγὼ ἕπομαι, λέγουσιν· οὐδὲ αὐτὸς ἔχω ἀτρεκῶς εἰκάσαι, πότερα πλοίοις ἐξεύχθη ὁ πόρος, καθαπεροῦν ὁ Ἑλλήσποντός τε πρὸς Ξέρξου καὶ ὁ Βόσπορός τε καὶ Ἴστρος πρὸς Δαρείου, ἢ γέφυρα κα-
2 τὰ τοῦ ποταμοῦ διηνεκὴς ἐποιήθη αὐτῷ. Δοκεῖ δὲ ἔμοιγε

ἔρχεται. Pro eo scribit II, 4, 5 ἐς ἴσον δὲ κατέστη αὐτῷ ἡ τόλμα." *Gronov.* Adde Hist. Ind. X, 8 τοῦτο μὲν Λακεδαιμονίοισι ἐς ταὐτὸ συμβαίνει καὶ Ἰνδοῖσι. Dissert. Epict. I, 12 ἐς ταὐτὸν οὐκ ἔρχεται. De constructione mutata vide ann. ad IV, 8, 5.

C. VII. καθαπεροῦν] Hanc formam tuentur codd. Gronovii et edd. Venet. ac Basil. καθάπερ edd. Vulc. et Blanc. Unde nescio an non recte scripserit Schmiederus Hist. Ind. V, 10 κατάπερ καὶ τὸν Παραπάμισον Καύκασον ἐκάλεον Μακεδόνες e codicis F. auctoritate pro vulgato καταπερῶν.

2. ἐν τοσῷδε χρόνῳ] Recte Vulcanius: *neque adeo brevi temporis spatio tam ingens opus perfici potuisset.* Cf. Xenoph. Anab. II, 4, 4 καὶ ἡμεῖς τοσοίδε (h. e. *tam pauci*) ὄντες ἐνικῶμεν. Cyrop. VI, 3, 22 καὶ δοκοῦμέν σοι — ἱκανῶς ἕξειν εἰς τοσούτους τεταγμένοι πρὸς οὕτω βαθεῖαν φάλαγγα. — Supra pro ἔμοιγε, quod recte exhibent edd. Basil. Vulc. Blanc., in edd. Gron. Raphel. Schmied. legitur ἐμοί γε.

3. κατὰ στοῖχον] Memor est huius loci Locella ad Xenoph. Ephes. I, 2, p. 134 παρῄεσαν δὲ κατὰ στίχον οἱ πομπεύοντες, collato Thucyd. II, 102 αἵ τε νῆες παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι. Apud Xenophontem Ephes. non dubito quin scribendum sit κατὰ στοῖχον. cf. Pausan. II, I, 7 πιτύων δένδρα ἐστὶ πεφυτευμένα ἐπὶ στοίχου, ubi codd plures ἐπὶ στίχου, superscripto οι. V, 26, 6 ἔστιν ἄλλα ἀναθήματα ἐπὶ στοίχου. De formis στιχηδόν et στοιχηδόν fuse disputavit Iacobs. ad Achill. Tat. p. 396. Voces στίχος et στοῖχος confusas notavit Well. ad Aeschyl. Perss. v. 364. Vide quoque Sturz. Lex. Xenoph. s. v. στίχος. — Paulo ante ed. Bas. ξυντεθεῖσαι.

πλοίοις μᾶλλον ζευχθῆναι· οὐ γὰρ ἂν δέξασθαι γέφυραν τὸ βάθος τοῦ ὕδατος, οὐδ' ἂν ἐν τοσῷδε χρόνῳ ἔργον οὕτως ἄτοπον ξυντελεσθῆναι. Εἰ δὲ δὴ πλοίοις ἐζεύχθη 3
ὁ πόρος, πότερα ξυνδεθεῖσαι αἱ νῆες σχοίνοις καὶ κατὰ στοῖχον ὁρμισθεῖσαι ἐς τὸ ζεῦγμα ἀπήρκεσαν, (ὡς λέγει Ἡρόδοτος ζευχθῆναι τὸν Ἑλλήσποντον) ἢ ὅτῳ τρόπῳ Ῥωμαίοις ἐπὶ τῷ Ἴστρῳ ποταμῷ ζεῦγμα ποιεῖσθαι καὶ ἐπὶ τῷ Ῥήνῳ τῷ Κελτικῷ, καὶ τὸν Εὐφράτην καὶ τὸν Τίγρητα ὁσάκις κατέλαβεν αὐτοὺς ἀνάγκη ἐγεφύρωσαν, οὐδὲ τοῦτο ἔχω ξυμβαλεῖν· καίτοιγε ταχυτάτη, ὡς ἐγὼ οἶδα, 4
Ῥωμαίοις ἡ γεφύρωσις ἡ διὰ τῶν νεῶν γίγνεται· καὶ ταύτην ἐγὼ ἀφηγήσομαι ἐν τῷ παρόντι, ὅτι λόγου ἀξία. Αἱ 5
νῆες αὐτοῖς κατὰ πόρον ἀφίενται ἀπὸ ξυνθήματος, οὐκ

---

4. ἢ ὅτῳ τρόπῳ — ποιεῖσθαι] Perversa, si qua alia, haec verborum constructio. Infinitivus enim ποιεῖσθαι unde pendeat, non sane in aperto positum est. Nunc temporis nulla alia ratione eum positum esse posse puto, nisi subintellecto sive verbo λέγεται sive λέγουσιν: id quod iam monuit Schmiederus. — Ad ἐγεφύρωσαν repete ex dativo Ῥωμαίοις nominativum Ῥωμαῖοι. Similis constructio obtinet VI, 9, 6 ἣν — εἶχεν Ἀλέξανδρος καὶ πρὸ αὐτοῦ ἐφέρετο. cf. Fritzsch. Quaestt. Lucc. p. 173. Accuratius dixit I, 23, 4 Ἀλεξάνδρῳ δὲ ὡς ἐξηγγέλθη καὶ καθεώρα αὐτὸς — ὁ δέ. — Pro αὐτούς in ed. Bas. legitur αὐτός.

ὅτι λόγου ἀξία] Ed. Bas. cum quattuor, ut videtur, codd. Gronovii ὅτι λέγουσιν ἀξία. Vulcanius e cod. Stephani dedit ὅτι λόγου ἐστὶν ἀξία. Schmiederus codicem F. secutus scripsit ὅτι λόγου ἀξία. „Quod ipsum non modo non praetermittendum, sed unice approbandum. Ita quippe semper Arrianus elliptice. Sic modo dixit c. 5, 6 τοὺς οὖν ποταμοὺς ὅσοι κατὰ τὴν Ἀσίαν λόγου ἄξιοι. II, 15, 7 καὶ αὐτὸν οὐδὲν ἰδίᾳ εὑρισκόμενον ἐς ξυγγνώμην ὅ τι γε καὶ λόγου ἄξιον. II, 22, 8 οὐδὲν ἤνυον ὅ τι καὶ λόγου ἄξιον. VI, 9, 11 μηδὲν ὅ τι καὶ λόγου ἄξιον ἀποδεικνύμενος." Gronov. Ex his quos attulit Gronovius locis primum tantum talem esse qui omnino cum nostro possit conferri, quisque videt. Id tamen vere observavit Gronovius, saepe ab Arriano omissum esse verbum substantivum. Argumento sunt quae diximus in ann. ad VI, 2, 4 et V, 22, 4. Tu confer III, 28, 12 ὅτι πολλοῦ ἄξιον Κυρηναίοις τὸ σίλφιον.

6. ἔστ' ἂν καταστήσῃ] Vulcanius ἔστ' ἂν καταντήσῃ. Vulgatam

6 ἐπ' εὐθύ, ἀλλὰ καθάπερ αἱ πρύμναν κρουόμεναι. Ταύ-
τας ὑποφέρει μὲν οἷα εἰκὸς ὁ ῥοῦς· ἀνέχει δὲ κελήτιον
7 ἐπῆρες, ἔστ' ἂν καταστήσῃ ἐς τὸ τεταγμένον χωρίον· καὶ
ἐνταῦθα ἤδη καθίεται πλέγματα ἐκ λύγου πυραμοειδῆ,
πλήρη λίθων λογάδων ἀπὸ πρώρας ἑκάστης νεώς, τοῦ
8 ἀνέχειν τὴν ναῦν πρὸς τὸν ῥοῦν. Ὅτε δὲ μία τις τῶν
νεῶν ἅμα δὴ ἐσχέθη καὶ ἄλλη ἀπὸ ταύτης διέχουσα ὅσον
ξύμμετρον πρὸς ἰσχὺν τῶν ἐπιβαλλομένων, ἀντίπρωρος
9 πρὸς τὸ ῥεῦμα ὁρμίζεται· καὶ ἐπ' ἀμφοῖν ξύλα τε ἐς
εὐθὺ ὀξέως ἐπιβάλλεται καὶ σανίδες ἐγκάρσιαι ἐς τὸ ξυν-
δεῖν, καὶ διὰ πασῶν οὕτω τῶν νεῶν ὅσαι ἱκαναὶ γεφυ-
10 ρῶσαι τὸν πόρον χωρεῖ τὸ ἔργον. Ἑκατέρωθεν δὲ τοῦ
ζεύγματος κλίμακες προβάλλονται καταπηγνύμεναι, τοῦ
ἀσφαλεστέραν τοῖς τε ἵπποις καὶ τοῖς ζεύγεσι τὴν ἔφοδον
γίγνεσθαι καὶ ἅμα ὡς σύνδεσμος εἶναι τοῦ ζεύγματος·

---

firmant ed. Basil. et omnes codd. Gronovii. „Nec potest negari hoc esse verbum Arriani huius. Sic enim I, 12, 7 *φανερὰ καταστήσειν ἐς ἀνθρώπους τὰ Ἀλεξάνδρου ἔργα.* IV, 8, 13 *ἐς ταὐτὰ ἔφη καθεστηκέναι Δαρείῳ.* VI, 17, 8 *καὶ ταῦτα ἐς κόσμον καταστήσαντα.* Et mox c. 10 *ἐς ἔθος αὐτὸν καθίστη.*" *Gronov.* Cf. IV, 5, 11. IV, 11, 6. Hoc enim dicere voluit Arrianus: *Atque has quidem naves subducit, ut par est, fluminis cursus; navigium autem remigibus instructum eas paululum retinet, donec ad locum constitutum pervenerint.* Nimirum verisimile est, non unum tantum *κελήτιον* omnium navium cursum sustulisse, sed singulis navibus singula annexa fuisse *κελήτια*, quae naves paulo lentius secundo flumine deferri facerent, donec ad locum statum (h. e. ubi pons esset exstruendus) pervenissent.

7. *τοῦ ἀνέχειν — τὸν ῥοῦν*] Recte haec interpretatus est Gronovius ita: *ad sistendam navem contra fluminis cursum.* Crates enim vimineae saxis oppletae ancorarum loco in fluvium demittebantur.

8. *καὶ ἄλλη — ἐπιβαλλομένων*] Iisdem fere verbis in simili descriptione utitur IV, 21, 9 *διέχοντες ἀλλήλων ὅσον ξύμμετρον πρὸς ἰσχύν τε καὶ ξυνοχὴν τῶν ἐπιβαλλομένων.* — Supra ed. Bas. *ὅτε δὲ δή*, quod non contemnendum esset, nisi statim sequeretur *ἅμα δή.* Sic dixit *ἡ δὲ δή* I, 9, 8. *πρὸς δὲ δή* II, 3, 11. *εἰ δὲ δή* IV, 20, 5. V, 7, 8. *πόθος δὲ δή* V, 27, 11. *πολλοῖς δὲ δή* V,

δι' ὀλίγου τε ξυντελεῖται ἅπαν καὶ ξὺν πολλῷ θορύβῳ, 11
καὶ τὸ τεταγμένον ἐν τῷ δρωμένῳ ὅμως οὐκ ἄπεστιν· οἵ τε παρακελευσμοὶ ὡς τύχοιεν κατὰ ναῦν ἑκάστην καὶ αἱ ἐπιτιμήσεις τοῦ ἐκλιποῦς οὔτε τὴν κατάκουσιν τῶν παραγγελμάτων οὔτε τὴν ὀξύτητα τοῦ ἔργου ἀφαιροῦνται.

VIII. Ῥωμαίοις μὲν δὴ οὕτω ταῦτα ἐκ παλαιοῦ ἐπήσκηται. Ἀλεξάνδρῳ δὲ ὅπως ἐζεύχθη ὁ Ἰνδὸς ποταμὸς, οὐκ ἔχω εἰπεῖν, ὅτι μηδὲ οἱ ξυστρατεύσαντες αὐτῷ εἶπον· ἀλλά μοι δοκεῖ ὡς ἐγγυτάτω τούτων ἐζεῦχθαι· ἢ εἰ δή τινι ἄλλῃ μηχανῇ, ἐκείνῃ ἐχέτω. Ὡς δὲ διέβη πέραν τοῦ 2
Ἰνδοῦ παταμοῦ, καὶ ἐνταῦθα αὖ θύει κατὰ νόμον Ἀλέξανδρος· ἄρας δὲ ἀπὸ τοῦ Ἰνδοῦ ἐς Τάξιλα ἀφίκετο πόλιν μεγάλην καὶ εὐδαίμονα, τὴν μεγίστην τῶν μεταξὺ Ἰνδοῦ τε ποταμοῦ καὶ Ὑδάσπου. Καὶ ἐδέχετο αὐτὸν Ταξίλης 3
ὁ ὕπαρχος τῆς πόλεως καὶ αὐτοὶ οἱ ταύτῃ Ἰνδοὶ φι-

28, 1. τὸ δὲ δή VI, 11, 14. εἶναι δὲ δή VII, 14, 13. cf. ann. ad II, 4, 11. V, 28, 1. VII, 16, 6.

9. καὶ ἀπ' ἀμφοῖν] Schmiederus de suo dedit ἐπ' ἀμφοῖν. Sed quid erat quod hac mutatione opus censeret? Verbum ἐπιβαλεῖν semper cum simplici dativo construi constat ex ann. ad IV, 26, 11. Neque impedimur quominus locum sic convertamus: *et ab utraque navi tigna statim in utramque iniiciuntur.* Cf. ann. ad II, 23, 6. — Pro ἐς εὐθύ in edd. ante Gronovium male legebatur εὐθύ, omissa praepositione. Plura dicta sunt ad VI, 5, 2.

10. προβάλλονται] Sic recte cod. F. προσβάλλονται edd. vett. cum rell. codd. Gronovii. Praepositiones πρό et πρός centies confusas esse observavimus in ann. ad III, 26, 1.

11. ὡς τύχοιεν] Hanc lectionem debemus codici F. In edd. ante Gronovium et quattuor codd. erat ὡς ἐντύχοιεν. Male. cf. Hist. Ind. XI, 10 οἱ μὲν πολεμοῦσι καὶ κατακαίνουσι ἀλλήλους ὅπως τύχοιεν. Exp. VI, 4, 3 προσορμιζόμενος ὅπῃ τύχοι. Xenoph. Anab. V, 4, 34 ὠρχοῦντο ἐφιστάμενοι ὅπου τύχοιεν. — Pro οὐκ ἄπεστιν ed. Bas. οὐ κάτεστιν.

C. VIII. ὅτι μηδὲ — εἶπον] Eiusdem generis sunt quae scripsit VI, 6, 5 ὅτι μήπω ἡ φάλαγξ ἠκολουθήκει. VI, 21, 6 ὅτι μηδὲν φίλιον ἐπέπρακτο. Cyneg. c. XXXVI ὅτι μὴ ἐπελθόντο. Non nesciebat tamen quomodo esset dicendum Vide III, 24, 8 ὅτι οὔτε μετεῖχον. V, 17, 3 ὥστε οὐδὲ — ἐδέξαντο. VI, 15, 10 ὅτι

λίως· καὶ Ἀλέξανδρος προστίθησιν αὐτοῖς χώραν τῆς
4 ὁμόρου ὅσης ἐδέοντο. Ἧκον δ' ἐνταῦθα παρ' αὐτὸν καὶ
παρὰ Ἀβισάρου πρέσβεις τοῦ τῶν ὀρείων Ἰνδῶν βασιλέως
ὅ τε ἀδελφὸς τοῦ Ἀβισάρου καὶ ἄλλοι ξὺν αὐτῷ οἱ δοκι-
μώτατοι, καὶ παρὰ Δοξάρεως νομάρχου ἄλλοι, δῶρα φέ-
5 ροντες. Καὶ ἐνταῦθα αὖ Ἀλέξανδρος ἐν Ταξίλοις θύει
ὅσα οἱ νόμος καὶ ἀγῶνα ποιεῖ γυμνικόν τε καὶ ἱππικόν·
καὶ ἀποδείξας σατράπην τῶν ταύτῃ Ἰνδῶν Φίλιππον
τὸν Μαχάτα φρουράν τε ἀπολείπει ἐν Ταξίλοις καὶ τοὺς
ἀπομάχους τῶν στρατιωτῶν διὰ νόσον· αὐτὸς δὲ ἦγεν
6 ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν. Ἐπέκεινα γὰρ τοῦ Ὑδά-
σπου Πῶρος αὐτῷ εἶναι ἐξηγγέλλετο ξὺν τῇ στρατιᾷ πάσῃ,

οὔπω ἀπηντήκει. Plura diximus de hoc abusu particulae *μή* in praef. p. XXIV. — Supra dedimus *Ῥωμαίοις μὲν δή* ex edd. vett. et quattuor codd. Gronovii, dissentientes a Schmiedero qui ex auctoritate codicis F. particulam *δή* resecuit. Nam illa particula cum per se iam nihil habeat offensionis, tum ab Arriano ipso optime confirmatur. cf. I, 16, 12 *τῶν μὲν δὴ ἵππων.* I, 25, 2 *ἦν μὲν δή.* I, 20, 12 *οὕτω μὲν δή.* III, 3, 5 *μέχρι μὲν δή.* Adde II, 3, 14. III, 19, 4. III, 30, 10. IV, 3, 8. IV, 15, 2. V, 20, 14. V, 26, 9 cet.

ἢ εἰ δή τινι ἄλλῃ — ἐχέτω] Ad illustrandam hanc loquendi rationem faciunt Arr. V, 6, 7 *ἢ εἰ δή του ἄλλου ἢ Ἑκαταίου ἐστὶ τὰ ποιήματα.* VII, 19, 3 *ὅσους — ἢ ὅσα — ἢ εἰ δή τι ἄλλο ἀνάθημα ἀνεκόμισεν*, et, quem in medium protulit Raphelius, Xenoph. Anab. III, 2, 37 *εἰ μὲν οὖν ἄλλος τις βέλτιον ὁρᾷ, ἄλλως ἐχέτω.*

4. *Ἧκον δ' ἐνταῦθα*] Ed. Bas. *δὲ ἐνταῦθα.*

ὅ τε ἀδελφὸς τοῦ Ἀβισάρου] Edd. ante Schmiederum ut hic ita supra *Ἀμβισάρου.* Deinde in omnibus edd. scriptum vidi *αὐτοῦ Ἀβισάρου* s. *Ἀμβισάρου*, quamquam Gronovius ad s. l.: „Mss. omnes, inquit, *ἀδελφὸς τοῦ Ἀβισάρου*, sed et Optimus manifeste *Ἀβισάρου* absque *μ̄*.“ cf. V, 29, 6 *ἐν τούτῳ δ' ἀφίκοντο πρὸς αὐτὸν Ἀρσάκης τε ὁ — ὕπαρχος καὶ ὁ ἀδελφὸς Ἀβισάρου καὶ οἱ ἄλλοι οἰκεῖοι δῶρα κομίζοντες.* De varia nominis proprii scriptura a multis disputata sunt multa. Apud Arrianum quidem hoc nomen nunc per duplex *σ̄* scriptum reperitur *Ἀβισσάρης*, ut IV, 27, 10. V, 20, 7. V, 22, 3; nunc *Ἀμβισάρης*, ut hoc loco, nunc *Ἀβισάρης*, ut V, 29, 6, 7; nunc denique, quod omnium corruptissi-

ἐγνωκὼς εἴργειν τοῦ πόρου αὐτὸν ἢ περῶντι ἐπιτίθεσθαι. Ταῦτα ὡς ἔγνω Ἀλέξανδρος, Κοῖνον μὲν τὸν Πολεμοκράτους πέμψας ὀπίσω ἐπὶ τὸν Ἰνδὸν ποταμόν, τὰ πλοῖα 7
ὅσα παρεσκεύαστο αὐτῷ ἐπὶ τοῦ πόρου τοῦ Ἰνδοῦ ξυντεμόντα κελεύει φέρειν ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν. Καὶ 8
ξυνετμήθη τε τὰ πλοῖα καὶ ἐκομίσθη αὐτῷ, ὅσα μὲν βραχύτερα διχῇ διατμηθέντα, αἱ τριακόντοροι δὲ τριχῇ ἐτμήθησαν, καὶ τὰ τμήματα ἐπὶ ζευγῶν διεκομίσθη ἔστε ἐπὶ τὴν ὄχθην τοῦ Ὑδάσπου· κἀκεῖ ξυμπηχθὲν τὸ ναυτικὸν αὖθις δὴ ὁμοῦ ὤφθη ἐν τῷ Ὑδάσπῃ. Αὐτὸς δὲ 9
ἀναλαβὼν ἥν τε δύναμιν ἔχων ἧκεν ἐς Τάξιλα καὶ πεντακισχιλίους τῶν Ἰνδῶν οὓς Ταξίλης τε καὶ οἱ ταύτῃ ὑπ-

---

mum est, *Βαρισάδης* IV, 30, 14. Cum autem hoc loco cod. F. formam *Ἀβισάρης* teneat et V, 29, 6 sq. eandem formam septies praebeant omnes editiones, monente et praeeunte Schmied. ad Arr. IV, 27, 10 et Freinsh. ad Curt. VIII, 13, 1, ubique nomen illud ita scribi curavimus. Non minor est scripturae discrepantia apud Diodorum, ubi quae huc spectant, XVII, 87 ita scripta servantur: *ἐπεποίητο δὲ καὶ ἕτερον τῶν πλησιοχώρων βασιλέα σύμμαχον, ὃς ὠνομάζετο Ἐμβίσαρος.* At vero mire variatum legitur hoc nomen XVII, 90, ubi marg. Steph. habet *Σαβισάρνην* s. *Σαβαρσάνην*, quorum posterius dat cod. Reg. 1, prius ed. Basil. et Cosp. *Σασαβισάρην* praebet Vat.; *Σασαβισάρνην* cod. Reg. 2. Apud Strabon. XV, p. 269, ed. ster. hodie recte legitur *Ἀβισάρης*. Ael. hist. animall. XVI, 39 *Ἀποσισάρης* audit. Ceterum conferas quae diximus de formis *Σισίνης* et *Ἀσισίνης* ad I, 25, 7, de voce *Τίγρης*, *Τίγρις* et *Πίγρης* ad III, 17, 1 et VII, 7, 6.

παρὰ Δοξάρεως] Ed. Bas. *Δοξόρεως*.

6. *ἢ περῶντι ἐπιθέσθαι*] Ed. Basil. *εἰ περῶν τι.*

8. *τριχῇ ἐτμήθησαν*] Edd. vett. *τριχῶς*. Vide ann. ad IV, 21, 7 et IV, 24, 16. De ι formis *τριχῇ*, *τετραχῇ* simill. subscribi solito vide post Buttm. Gr. Gr. uber. t. II, p. 284 Schneid. ad Plat. Civ. I, p. 348, A et in praef. p. LXI. — Pro *ἐπὶ ζευγῶν* ed. Bas. habet *ἐπιζευγῶν*. E vet. cod. Vulcanius enotavit *ἐπὶ ζυγῶν*.

9. *ἀναλαβὼν ἥν τε δύναμιν — ἧκεν*] Ita codd. Gronovii omnes. *τήν τε δύναμιν* ed. Bas. Unde apud Vulcanium, qui hunc locum non videtur intellexisse, expressum legimus *τὴν δύναμιν*, omissa qua maxime opus est particula *τὲ*. Similis attractionis exempla congessimus ad III, 6, 5.

αρχοι ἦγον, ᾖει ὡς ἐπὶ τὸν Ὑδάσπην ποταμόν· καὶ Ἀλέξανδρος κατεστρατοπέδευσεν ἐπὶ τῇ ὄχθῃ τοῦ Ὑδάσπου.

IX. Καὶ Πῶρος κατὰ τὴν ἀντιπέραν ὄχθην ὤφθη ξὺν πάσῃ τῇ στρατιᾷ καὶ τῶν ἐλεφάντων τῷ στίφει. Ταύτῃ μὲν δὴ ᾗ κατεστρατοπεδευκότα εἶδεν Ἀλέξανδρον, αὐτὸς μένων ἐφύλαττε τὸν πόρον· ὅσα δ' ἄλλα τοῦ ποταμοῦ εὐπορώτερα, ἐπὶ ταῦτα φρουρὰς διαπέμψας καὶ ἡγεμόνας ἐπιστήσας ἑκάστοις εἴργειν ἐπενόει τοῦ πόρου
2 τοὺς Μακεδόνας. Ταῦτα δὲ ὁρῶντι Ἀλεξάνδρῳ κινητέα καὶ αὐτῷ ἐδόκει ἡ στρατιὰ πολλαχῇ, ὡς τὸν Πῶρον ἀμφίβολον γίγνεσθαι. Διελὼν δ' ἐς πολλὰ τὸν στρατὸν,

---

C. IX. *ξὺν πάσῃ τῇ στρατιᾷ*] Hoc modo iam correxit Vulcanius quod legebatur in ed. Bas. *ξυμπάσῃ τῇ στρατιᾷ*. Quibuscum noli conferre quae dicta sunt in ann. ad I, 13, 1. — Infra eadem ed. Bas. *τὸν πῶρον* et *ὅσα δὲ ἄλλα*.

εἴργειν ἐπενόει τοῦ πόρου] Edd. ante Schmiederum *εἴργειν ἐπενόει διὰ τοῦ πόρου*: qui primus praepositionem ut omnino vacantem delevit, monente Gronovio ad h. l. haec: „Ut possint haec verba denotare sensum, quem iis dat interpres, *qui Macedones transitu fluminis prohiberent*, delenda est vocula *διά*, sicut paulo ante *ἐγνωκὼς εἴργειν τοῦ πόρου αὐτόν* et VI, 8, 5 *εἴρξοντες τοῦ πόρου Ἀλέξανδρον*. Et sic alibi. Quodsi retinueris voculam *διά*, sensus erit: *qui Macedones interveniente flumine continerent*, etsi id violentum sit et praeferendum prius.“ Sane non violenta solum haec altera est loci interpretatio, sed nulla ratione potest ferri. Praepositio *διά* a librario videtur addita qui constructionem verbi *εἴργειν* non habuit compertam. Apud Arrianum quidem duplex obtinet huius verbi constructio; una cum accusativo personae et genitivo rei, altera cum accusativo rei. Vide I, 19, 11 *εἴργειν τῆς ἀποβάσεως τούς —* . III, 18, 8 *ὡς εἴργειν τῆς παρόδου Ἀλέξανδρον*. III, 28, 13 *ὡς ἀπείρξων Ἀλέξανδρον τοῦ μή —* . V, 14, 5 *εἶρξαι Ἀλέξανδρον τῆς διαβάσεως*. cf. II, 1, 6. IV, 27, 3. Contra I, 15, 2 *τῶν δὲ εἴργειν τὴν ἔκβασιν*. III, 21, 7 *εἴργειν τὰ γιγνόμενα*. Et sic quoque intelligo II, 21, 5 *ἐξεῖργον αὐτῶν τὴν ἐγγὺς προσβολήν* et I, 15, 6 *οἱ δὲ εἶρξαί τε αὐτῶν τὴν ἔκβασιν*.

2. *Ταῦτα δὲ ὁρῶντι*] Edd. Vulc. et Blanc. *ταῦτα ὁρῶντι*. „Mss. interponunt *δή* vel *δέ*, ex quibus ultimum habetur in Optimo, sed et in editione Basileensi; unde reposui. *Gronov.* De particulis

τοὺς μὲν αὐτὸς ἄλλῃ καὶ ἄλλῃ ἦγε τῆς χώρας, τὰ μὲν
πορθῶν ὅσα πολέμια, τὰ δὲ σκοπῶν ὅπῃ εὐπορώτερος
αὐτῷ ὁ ποταμὸς φανεῖται, τοὺς δὲ τῶν ἡγεμόνων ἄλλοις
καὶ ἄλλοις ἐπιτάξας καὶ αὐτοὺς πολλαχῇ διέπεμπε. Σῖ- 4
τος δὲ αὐτῷ πάντοθεν ἐκ τῆς ἐπὶ τάδε τοῦ Ὑδάσπου
χώρας ἐς τὸ στρατόπεδον ξυνεκομίζετο, ὡς δῆλον εἶναι
τῷ Πώρῳ ὅτι ἐγνωκὼς εἴη προσλιπαρεῖν τῇ ὄχθῃ, ἔστε
τὸ ὕδωρ τοῦ ποταμοῦ μεῖον γενόμενον τοῦ χειμῶνος πολ-
λαχῇ παραδοῦναί οἱ τὸν πόρον· τά τε πλοῖα αὐτῷ ἄλλῃ 5
καὶ ἄλλῃ παραπλέοντα καὶ αἱ διφθέραι τῆς κάρφης ἐμ-
πιπλάμεναι καὶ ἡ ὄχθη πλήρης πᾶσα φαινομένη τῇ μὲν
ἱππέων, τῇ δὲ πεζῶν, οὐκ εἴα ἠρεμεῖν τὸν Πῶρον, οὐ-

δέ et δή confusis vid. ann. ad I, 15, 8. III, 2, 4. Ceterum si ab omnibus codd. et edd. particula δέ abesset, non magis desideraretur, quam in his II, 4, 8 ταῦτα ἀκούσας δρόμῳ ἦγε. III, 19, 5 ταῦτα ἀκούων. Adde II, 12, 7. III, 21, 3. IV, 28, 7 cet.

3. διελὼν δ' ἐς] Ed. Bas. δὲ ἐς. Et mox, ut semel id moneam, eadem ὅπῃ, cum ι subscripto.

4. ἐπὶ τάδε] Ed. Basil. ἐπιτάδε. — Infra eadem minus recte γινόμενον. cf. ann. ad II, 11, 7.

5. παραπλέοντα] Sic recte edd. Vulc. Blanc. Gronov. Raphel. et Schmied. cum duobus codd. Gronovii. παραπλέοντες ed. Basil. cum duobus aliis codd. Gron. παρεπλέοντο cod. F.; quae scriptura sola vera visa est Gronovio!

καὶ αἱ διφθέραι — Πῶρον] Affert haec verba Suidas s. v. κάρφη. Et accuratissime ea descripsit lexicographus, nisi quod omisit verba τῇ μὲν — πεζῶν et ordine inverso habet πᾶσα πλήρης.

οὐδὲ ἕν τι — παρασκευάζεσθαι] Locum hunc paulo difficiliorem Grnonovius recte interpretatus est ita: *neque si quid unum ad ripae custodiam utile probavisset, ad id omnibus remediis comparare se sinebant.* Nimirum ex praegressis cogitando addendum sive εἴα sive εἴων (sc. οἱ Μακεδόνες). Et ut hoc loco dixit οὐδὲ ἕν τι (cf. V, 7, 9 μία τις τῶν νεῶν. Xenoph. Hist. Graec. VI, 3, 16 ἐὰν ἕν τι ἐπιτύχωσι), ita alibi reperimus οὐδέν τι, ut III, 15, 12. IV, 7, 8. IV, 30, 2. VII, 3, 7. Hist. Ind. XXIX, 7. Cf. Iacobs. ad Achill. Tat. p. 728; ad Anthol. Palat. p. 290. Popp. ad Xenoph. Cyrop. II, 1, 21.

6. πάντες οἱ Ἰνδικοί] Ita cod. F. cum duobus aliis codd. Gronovii. πάντες οἱ Ἰνδοί edd. ante Gronovium cum duobus codd.

δὲ ἕν τι ἐπιλεξάμενον ἐς φυλακὴν ξύμφορον ἐς τοῦτο ἐκ
6 πάντων παρασκευάζεσθαι· ἄλλως τε ἐν μὲν τῷ τότε οἱ πο-
ταμοὶ πάντες οἱ Ἰνδικοὶ πολλοῦ τε ὕδατος καὶ θολεροῦ
ἔῤῥεον καὶ ὀξέος τοῦ ῥεύματος· ἦν γὰρ ὥρα ἔτους ᾗ με-
7 τὰ τροπὰς μάλιστα ἐν θέρει τρέπεται ὁ ἥλιος· ταύτῃ
δὲ τῇ ὥρᾳ ὕδατά τε ἐξ οὐρανοῦ ἀθρόα τε καταφέρεται
ἐς τὴν γῆν τὴν Ἰνδικὴν καὶ αἱ χιόνες αἱ τοῦ Καυκάσου
(ἔνθενπερ τῶν πολλῶν ποταμῶν αἱ πηγαί εἰσι) κατατη-
8 κόμεναι αὔξουσιν αὐτοῖς τὸ ὕδωρ ἐπὶ μέγα· χειμῶνος δὲ
ἔμπαλιν ἴσχουσιν ὀλίγοι τε γίγνονται καὶ καθαροὶ ἰδεῖν
καὶ εἰσὶν ὅπου περάσιμοι, πλήν γε δὴ τοῦ Ἰνδοῦ καὶ
Γάγγου καὶ τυχὸν καὶ ἄλλου του· ἀλλ' ὅ γ' Ὑδάσπης
περατὸς γίνεται.

Florr. Utraque lectio vera esse potest. cf. V, 26, 3 τὴν δὲ Ὑρκανίαν τῷ Ἰνδικῷ sc. κόλπῳ. Strab. XI, p. 427, ed. ster. πλὴν τῶν Ἰνδικῶν sc. ποταμῶν. Contra Arr. III, 29, 4 οἱ δὲ Ἰνδοὶ πάντων ποταμῶν μέγιστοι. VII, 16, 6 τῶν Ἀσιανῶν ποταμῶν, πλήν γε δὴ τῶν Ἰνδῶν. — De constructione πολλοῦ ὕδατος ῥεῖν diximus ad IV, 7, 10. Apud Luc. vv. hh. I, 7 ποταμῷ οἶνον ῥέοντι, nisi aliunde constaret etiam sic scribi posse, pronum esset corrigere οἴνου ῥέοντι.

7. αὐτοῖς] Ed. Bas. αὐτῆς. Perperam.

8. ἴσχουσιν] „In nonnullis vidi ἔχουσιν, subiectum opinor ab eo qui vellet Arrianum magis plebeie loqui. Istud reiectum est.“ *Gronov.* Verbum ἴσχουσι significat fere Latinorum *decrescunt* sc. fluvii, ut recte iam monuit Raphelius. Proprie tamen esse *cohibentur*, nemo est quin videat.

καὶ ἄλλου του] Edd. vett. καὶ ἄλλου. Quattuor codd. Gronovii καὶ ἄλλου του. Cod. F. καὶ ἀλλούττου. Quam scripturam, facem praeferente Gronovio, probavit Schmiederus. Eiusdem scripturae idem auctor exstitit V, 20, 9. — Mox pro ἀλλ' ὅ γ' Ὑδάσπης ed. Bas. ἀλλ' ὅ γε Ὑδ. Et eadem exhibet γίγνεται. pro vulg. γίνεται.

C. X. εἴπῃ λάθοι ὑφαρπάσας] E Gronovii ann. ad I, 19, 3 didicimus, plures codd. dare formam εἴπῃ cum ed. Bas. pro vulgato εἴποι. Et recte videtur habere, si conferas II, 21, 3 καὶ εἴπῃ ἄλλῃ αἱ μηχαναὶ προσήγοντο. IV, 17, 5 καὶ εἴπῃ ἄρα ξυλλαβεῖν. Adde ann. ad I, 26, 5.

2. Ἧι μὲν δή] Ed. Bas. ᾗ μὲν δή, de qua confusione vide ann. ad VII, 24, 6. — Pro περᾶσαι ed. Bas. minus recte περάσαι.

X. Ταύτην οὖν τὴν ὥραν τοῦ ἔτους προσμένειν ἐς τὸ φανερὸν ἔφασκεν εἰ ἐν τῷ τότε εἴργοιτο· ὁ δὲ οὐδὲν μεῖον ἐφεδρεύων ἔμενεν, εἴπῃ λάθοι ὑφαρπάσας ὀξέως τὸν πόρον. Ἧι μὲν δὴ αὐτὸς Πῶρος κατεστρατο- 2
πεδεύκει πρὸς τῇ ὄχθῃ τοῦ Ὑδάσπου, ἔγνω ἀδύνατος ὢν περᾶσαι ὑπὸ τοῦ πλήθους τῶν ἐλεφάντων καὶ ὅτι πολλὴ στρατιὰ καὶ αὐτὴ τεταγμένη τε καὶ ἀκριβῶς ὡπλισμένη ἐκβαίνουσιν αὐτοῖς ἐπιθήσεσθαι ἔμελλον, οἵ τε ἵπποι οὐκ ἂν ἐδόκουν αὐτῷ ἐθελῆσαι οὐδὲ ἐπιβῆναι τῆς ὄχθης τῆς πέραν, προσκειμένων σφίσιν εὐθὺς τῶν ἐλεφάντων καὶ τῇ τε ὄψει ἅμα καὶ τῇ φωνῇ φοβούντων, οὐδ' ἂν ἔτι πρόσθεν μεῖναι ἐπὶ τῶν διφθερῶν κατὰ τὸν πόρον, ἀλλ' ἐκπηδᾶν γὰρ ἐς τὸ ὕδωρ, ἀφορῶντες πέραν

Cf. si tanti est, Buttm. Gr. Gr. t. II, p. 210. Spitzn. prosod. p. 59, not. 1.

στρατιὰ — ἐπιθήσεσθαι ἔμελλον] Probavimus cum Schmiedero quod paulo exquisitius dedit cod. F. In edd. ante Schmiederum et quattuor codd. legitur *ἔμελλεν*. At vide I, 19, 3 *τὴν στρατιὰν — ὡς μαχουμένους*. I, 19, 3 *τὴν στρατιὰν — ὡς ἐπιβησομένους*. III, 19, 6 *τὴν στρατιὰν ἦγεν — ἐσταλμένους*. V, 14, 1 *πεζὸν στρατὸν — οὐ πολὺ ἀποδέοντας*. V, 21, 1 *τῆς στρατιᾶς, — οἵ — ἔμελλον*. cf. ann. ad I, 21, 7. Nec tamen dubito quin Arrianus scripturus fuisset *ἔμελλεν*, ut V, 13, 2 *ὡς δὲ παρήλλαξεν ἡ στρατιά*, si praedicatum in minus remoto loco positum fuisset.

ἐπιβῆναι τῆς ὄχθης τῆς πέραν] Edd. ante Gronovium *τὰς ὄχθας τῆς πέραν*. Codd. Gronovii omnes *τῆς ὄχθης τῆς πέραν*. Nec aliter scribendum esse quivis videt. „Quippe et initio cap. 13 mss. omnes *ἐπιβὰς τριακοντόρου*, non *τριακοντόρῳ*, et fine cap. 12 plane *στρατιὰ ἱππικὴ τῶν διφθερῶν ἐπιβᾶσα*, sicut etiam manifeste VI, 3, 1 *ὁ μὲν στρατὸς ἐπέβαινε τῶν νεῶν*." *Gronov.* Recte. Uno enim loco excepto VII, 3, 7, ubi *ἐπιβῆναι* est *conscendere*, semper cum genitivo constructum reperi apud Arrianum. Sic dixit *ἵππου* s. *ἵππων ἐπιβῆναι* II, 11, 7. III, 21, 12. IV, 16, 10. VI, 13, 1. VII, 3, 5 cet. *τῶν νεῶν ἐπιβῆναι* I, 3, 7. I, 18, 11. VI, 3, 1. VII, 25, 4 *τοῦ τείχους ἐπιβῆναι* II, 23, 3. 8. VI, 7, 10. *τῶν ἁμαξῶν ἐπιβῆναι* V, 23, 1. *τῶν ἐλεφάντων ἐπιβῆναι* Hist. Ind. XIII, 9. Et sic quoque Thomae Magistri verba de constructione et usu verbi *ἐπιβῆναι* intelligenda esse bene docuit Sallierius l. l. p. 45. Contra dixit Arrianus *ἐς χιόνα ἐπιβαίνειν* VI, 24, 7. *τῇ*

3 τοὺς ἐλέφαντας καὶ ἔκφρονες γιγνόμενοι. Κλέψαι οὖν ἐπενόει τὴν διάβασιν, ὧδε πράττων. Νύκτωρ παραγαγὼν ἄλλῃ καὶ ἄλλῃ τῆς ὄχθης τοὺς πολλοὺς τῶν ἱππέων, βοήν τε ἐποίει καὶ ἠλαλάζετο τῷ Ἐνυαλίῳ· καὶ τἆλλα ὅσα ἐπὶ διαβάσει συσκευαζομένων θόρυβος παντοδαπὸς
4 ἐγίγνετο· καὶ ὁ Πῶρός τε ἀντιπαρῄει πρὸς τὴν βοὴν ἐπάγων τοὺς ἐλέφαντας, καὶ Ἀλέξανδρος ἐς ἔθος αὐτὸν
5 τῆς ἀντιπαραγωγῆς καθίστη. Ὡς δὲ ἐπὶ πολὺ τοῦτο ἐγίγνετο καὶ ἡ βοὴ μόνον καὶ ὁ ἀλαλαγμὸς ἦν, οὐκέτι ὁ Πῶρος μετεκινεῖτο πρὸς τὰς ἐκδρομὰς τῶν ἱππέων, ἀλλ᾽ ἐκείνων γὰρ γνοὺς τὸν φόβον κατὰ χώραν ἐπὶ στρατοπέ-

---

Νύσῃ ἐπέβη V, 1, 4. *ἐπιβαίνουσι κειμένοισι* Hist. Ind. XIII, 11; in quibus omnibus non plane eadem quam quae supra indicata est verbi significatio obtinet. Vide Dorv. ad Charit. p. 304 et 470.

ἀλλ᾽ ἐκπηδᾶν γάρ] Similem orationis colorem vide in his l. IV, 8, 2 *καὶ Ἀλέξανδρον οὐκέτι φέρειν τοῦ Κλείτου τὴν παροινίαν, ἀλλ᾽ ἀναπηδᾶν γὰρ ξὺν ὀργῇ.*

3. *κλέψαι — ἐπενόει*] Vulcanius recte: *furtivo itaque transitu utendum sibi ratus ita rem instituit.* Cf. III, 10, 3 *ἀποκρίνεται αἰσχρὸν εἶναι κλέψαι τὴν νίκην.* Infra edd. *τ᾽ ἄλλα.*

συσκευαζομένων] Hanc scripturam tenent omnes codd. Gronovii cum cod. Aug. Vulcanii et ed. Bas. *συσκευαζόμενα* edd. Vulc. et Blanc. Qui cum accusativum temere intruderent, genitivi rationem non intellexisse videntur. Pendet enim ille a subst. quod est *θόρυβος.* Parum apte conferri iussit Gronovius Arr. I, 5, 12.

4. *ἐς ἔθος αὐτὸν — καθίστη*] Edd. Vulc. et Blanc. *αὑτόν.* „Vulcanius intelligit de Alexandro et hunc se suo more hostili aciei opposuisse: unde in eius editione exstat *αὑτόν*, sic mutato spiritu per ipsum, quum Basilea ediderit *αὐτόν.* At ubi talis transitus fluvii fuit, aut ab Alexandro idem factum, ut nunc id suo more faciat? Enimvero nuspiam hostili aciei se opposuit Macedo, sed partes hic illic obequitaturas per ripam dispersit, ut strepitu dissipato confunderet Porum. Immo *ἀντιπαραγωγή* non est Alexandri, sed Pori: hunc dicit auctor *ἀντιπαράγειν* et hunc Alexander in consuetudinem opponendi sese hostibus et obducendi copias suas ad motum et clamorem Macedonicum paulatim confert. Alexandri fuit *παραγωγή*; hic enim antea dicitur *νύκτωρ ἄλλῃ καὶ ἄλλῃ παραγαγών.*“ *Gronov.* Recte, quamquam pluribus quam opus fuerit verbis demonstratio instituta est. Cf. III, 13, 2 *ἦγε δὲ ὡς*

δου ἔμενε· σκοποὶ δὲ αὐτῷ πολλαχοῦ τῆς ὄχθης καθει-
στήκεσαν. Ἀλέξανδρος δὲ, ὡς ἐξείργαστο αὐτῷ ἄφοβον 6
τὸ τοῦ Πώρου εἰς τὰς νυκτερινὰς ἐπιχειρήσεις, μηχανᾶ-
ταί τι τοιόνδε.

XI. Ἄκρα ἦν ἀνέχουσα τῆς ὄχθης τοῦ Ὑδάσπου, ἵνα ἐπέκαμπτεν ὁ ποταμὸς λόγου ἀξίως· αὐτή τε δασεῖα παντοίων δένδρων εἴδει καὶ κατ' αὐτὴν νῆσος ἐν τῷ πο-
ταμῷ ὑλώδης τε καὶ ἀστιβὴς ὑπ' ἐρημίας. Ταύτην κα- 2
ταμαθὼν τὴν νῆσον καταντικρὺ τῆς ἄκρας, ἀμφότερα ὑλώδη τὰ χωρία καὶ οἷα κρύψαι τῆς διαβάσεως τὴν ἐπι-
χείρησιν, ταύτῃ ἔγνω διαβιβάζειν τὸν στρατόν. Ἀπέχει

ἐπὶ τὸ δεξιὸν τὸ αὐτοῦ Ἀλέξανδρος μᾶλλον καὶ οἱ Πέρσαι ἀντιπαρῆγον. VI, 18, 6 ἐκπέμπει ἀντιπαράγειν τῷ στόλῳ. De similibus verbis compositis diximus in annot. ad IV, 5, 3.

5. καθειστήκεσαν] Ed. Basil. καθεστήκεσαν. At, quantum sciam, nusquam apud Arr. huic verbo detractum est in plusquamperfecto augmentum. cf. I, 15, 5 ξυνειστήκει. III, 5, 5 καθειστήκει. IV, 4, 6. IV, 29, 14 ἐφειστήκει. IV, 18, 6 ἀφειστήκει. V, 21, 4 ξυνειστήκειν. IV, 29, 10. VI, 10, 7 ξυνειστήκει. Unde scripserim IV, 8, 11 ξυνειστήκει pro vulg. ξυνεστήκει. — Supra ed. Bas. ἀλλ' ἐκεῖνον γάρ.

6. μηχανᾶταί τι τοιόνδε] Haec est omnium codd. Gronovii lectio. μηχανᾶται τοιόνδε edd. ante Gronovium. Non inepte. Utrumque enim stare posse evincunt haec Arriani II, 18, 12 οἱ δὲ Τύριοι ἀντιμηχανῶνται τοιόνδε. VI, 26, 7 ξυνηνέχθη δέ τι καὶ τοιόνδε: coll. Xenoph. Hist. Gr. V, 4, 20 τοιόνδε τι εὑρίσκουσι μηχάνημα. Thucyd. IV, 46 μηχανῶνται τοιόνδε τι. Consule praeterea ann. ad VII, 13, 9.

C. XI. παντοίων δένδρων εἴδει] Ed. Bas. εἴδη παντοίων δένδρων. Quod correxit Vulcanius. Fuit autem cum scriptum mallem παντοίῳ δένδρων εἴδει, ut vertit Vulcanius: *arboribus varii generis perfrequens*. Id quidem apparet, παντοίων δένδρων εἴδει nil fere esse nisi quod alibi dixit παντοίοις δένδροις. Cf. V, 2, 7 καὶ ἄλση παντοῖα. VI, 29, 6 ἄλσος πεφυτεῦσθαι δένδρων παντοίων. VII, 20, 6 καὶ δασεῖα (sc. ἡ νῆσος) ὕλῃ παντοίᾳ.

2. καταντικρύ] Ed. Bas. κατὰ ἀντικρύ. cf. III, 16, 13.

ἀμφότερα ὑλώδη τὰ χωρία] Edd. ante Gronovium ἀμφότερον. „Vix videas quomodo hinc effecerit Vulcanius: *et utrinque sylvestria loca quaeque — occulere possent*. An melius utrinque talia erant quam utraque? Tum ἀμφότερον non notat *utrinque*. Uti-

δὲ ἥ τε ἄκρα καὶ ἡ νῆσος τοῦ μεγάλου στρατοπέδου ἐς
3 πεντήκοντα καὶ ἑκατὸν σταδίους. Παρὰ πᾶσαν δὲ τὴν
ὄχθην φυλακαί τε αὐτῷ καθεστηκυῖαι ἦσαν, διαλείπου-
σαι ὅσον ξύμμετρον ἐς τὸ ξυνορᾶν τε ἀλλήλους καὶ κα-
τακούειν εὐπετῶς ὁπόθεν τι παραγγέλλοιτο· καὶ πανταχ-
όθεν βοαί τε νύκτωρ ἐπὶ πολλὰς νύκτας ἐγίγνοντο καὶ
4 πυρὰ ἐκαίετο. Ἐπειδὴ δὲ ἔγνω ἐπιχειρεῖν τῷ πόρῳ, κα-
τὰ μὲν τὸ στρατόπεδον φανερῶς αὐτῷ τὰ τῆς διαβάσεως
5 παρεσκευάζετο· καὶ Κρατερὸς ὑπελέλειπτο ἐπὶ στρατο-
πέδου, τήν τε αὐτοῦ ἔχων ἱππαρχίαν καὶ τοὺς ἐξ Ἀρα-
χώτων καὶ Παραπαμισαδῶν ἱππέας, καὶ τῆς φάλαγγος
τῶν Μακεδόνων τήν τε Ἀλκέτου καὶ τὴν Πολυσπέρχοντος

---

que in Mstis plane omnibus reperi *ἀμφότερα*, quod nullam habet ambiguitatem, unde repetivi.“ *Gronov.* Recte. Ceterum nota accusativorum hic positorum rationem paulo rariorem. De simili appositionis genere diximus in ann. ad V, 15, 10.

ταύτῃ ἔγνω διαβιβάζειν] Ed. Basil. minus apte *ταύτῃ· ἔγνω δὲ διαβιβάζειν.*

3. *διαλείπουσαι — εὐπετῶς*] Affert haec verba Suidas s. v. *διαλείπουσαι.* Et, praeterquam quod *συνορᾶν* apud eum legitur pro vulg. *ξυνορᾶν*, accuratissime omnia descripsit. — Infra ed. Basil. *κατ' ἀκούειν* et *ὁπόθεν τοι.*

καὶ πυρὰ ἐκαίετο] Ed. Basil. *ἐκάλετο.* Notavit iam hunc errorem Vulcanius in praefatione. Vide Bast. post Gregor. Corinth. p. 722. Blomfield. ad Aesch. Agam. v. 48.

5. *Παραπαμισαδῶν*] Edd. ante Schmiederum omnes *Παραπαμισάδων.* — Paulo ante *Ἀραχώτων* an *Ἀραχωτῶν* scribi praestet, ambiguum est. cf. ann. ad III, 28, 1. Arriano tamen hoc nomen secundae videtur declinationis esse. Vid. III, 8, 6 *Ἀραχώτους.* III, 11, 4 *Ἀραχῶτοι.* III, 28, 1. VII, 10, 11 *Ἀραχώτους* (ed. Bas. *Ἀραχώτας*). Apud Strabon. XV, p. 309, ed. ster. notatum legitur illud nomen in ultima *Ἀραχωτοί.* De duplici nominis forma monuerunt Steph. Byzant. s. v. et Eustath. ad Dionys. Perieg. v. 1096. — Infra rescripsimus formam *Πολυσπέρχοντος* ex edd. Vulc. Blanc. Gron. Raphel. *Πολισπέρχοντος* ed. Bas. *Πολυπέρχοντος* Schmied. Vide ann. ad II, 12, 3.

6. *ἀπαλλαγῆναι ὡς ἐπὶ σφᾶς*] Ita Schmied. e cod. F. *ἐπὶ σφᾶς* edd. vett. et quattuor codd. Gronovii. Utrumque probari posse quisque videt. Cf. ann. ad II, 17, 2. VI, 7, 6. Adde III, 17,

τάξιν, καὶ τοὺς νομάρχας τῶν ἐπὶ τάδε Ἰνδῶν καὶ τοὺς
ἅμα τούτοις τοὺς πεντακισχιλίους· παρηγγέλλετο δὲ Κρα- 6
τερῷ μὴ πρὶν διαβαίνειν τὸν πόρον, πρὶν ἀπαλλαγῆναι
Πῶρον ὡς ἐπὶ σφᾶς ξὺν τῇ δυνάμει ἢ φεύγοντα μαθεῖν,
αὐτοὺς δὲ νικῶντας· ἢν δὲ μέρος μέν τι τῆς στρατιᾶς 7
ἀναλαβὼν Πῶρος ἐπ' ἐμὲ ἄγῃ, μέρος δέ τι ὑπολειφθῇ
αὐτῷ ἐπὶ στρατοπέδου καὶ ἐλέφαντες, σὺ δὲ δὴ καὶ ὣς μέ-
νειν κατὰ χώραν· εἰ δὲ τοὺς ἐλέφαντας ξύμπαντας ἅμα οἷ 8
ἄγοι Πῶρος ἐπ' ἐμέ, τῆς δὲ ἄλλης στρατιᾶς ὑπολείποιτό
τι ἐπὶ στρατοπέδου, σὺ δὲ διαβαίνειν σπουδῇ (οἱ γὰρ
ἐλέφαντες μόνοι, ἔφη, ἄποροί εἰσι πρὸς τοὺς ἐκβαίνον-
τας ἵππους), ἡ δὲ ἄλλη στρατιὰ [μενέτω].

---

8 *ἐπῆγεν ὡς ἐπὶ τοὺς βαρβάρους.* IV, 4, 11 *ἐπῆγεν ἐπὶ τοὺς Σκύθας.* Sensum verborum recte expressit Vulcanius ita: *ne prius transiret amnem, quam Porus inde discessisset ad sese.* Eandem verbum *ἀπαλλαγῆναι* significationem habet in his I, 6, 23 *ἀπηλλάγη παρὰ Γλαυκίαν ἐς Ταυλαντίους.* IV, 4, 1 *ὡς οὐκ ἀπαλλαττομένους ἑώρα τοὺς Σκύθας ἀπὸ τῆς ὄχθης.*

7. *ἢν δὲ μέρος μέν τι*] Sic scripsi pro vulg. *μέν τοι.* Cf. ann. ad II, 1, 3, ubi additum vellem Thucyd. II, 78 *μέρος μέν τι καταλιπόντες τοῦ στρατοπέδου.*

— *σὺ δὲ δὴ καὶ ὣς μένειν*] Edd. Vulc. Blanc. *μένε.* „Mssti constanter omnes legunt *μένειν*, etiam Optimus, etiam Basileensis: neque dubito quin sic quoque habuerit codex Augustanus, etsi non annotaverit Vulcanius, negligens, opinor, quod non intelligebat, certe pessimis modis in ed. Basil. optime expressum immutavit.“ *Gronov.* Infinitivum Arrianeo stylo convenientissimum esse facile intelligitur ex his I. IV, 20, 5 *σὺ νῦν μάλιστα φύλαξον τὴν ἀρχήν· εἰ δὲ δή —, σὺ δὲ — παραδοῦναι.* V, 23, 12 *σὺ δὲ ἐπειδὰν αἴσθῃ, ἔφη, βιαζομένους, αὐτὸς μὲν — εἴργειν· τὸν δὲ σαλπιγκτὴν κέλευε σημαίνειν —· ὑμεῖς δὲ — ἰέναι.* V, 27, 12 *σὺ δὲ — μὴ ἄγειν.* VII, 16, 9 *σὺ δὲ — ἔφασαν — μὴ παρελθεῖν.* Ceterum pro vulgato *σὺ δὲ δικαίως μένειν* Coraius ad Plut. vitt. t. V, p. 452 coniecit *σὺ δὲ καὶ ὣς μένειν.* Leniorem medicinam, at similem adhibuit Iacobs. ad Anthol. Palat. t. III, p. 582 scribendo *σὺ δὲ δὴ καὶ ὣς μένειν.* Quod non dubito quin verissimum sit. Unde recepi. Similiter per veriorem literarum distinctionem correcta est vulgata scriptura V, 23, 13.

XII. Ταῦτα μὲν Κρατερῷ ἐνετέλλετο. Ἐν μέσῳ δὲ
τῆς νήσου τε καὶ τοῦ μεγάλου στρατοπέδου, ἵνα αὐτῷ
Κρατερὸς ὑπολέλειπτο, Μελέαγρός τε καὶ Ἄτταλος καὶ
Γοργίας ξὺν τοῖς μισθοφόροις ἱππεῦσί τε καὶ πεζοῖς ἐτε-
2 τάχατο· καὶ τούτοις διαβαίνειν παρηγγέλλετο κατὰ μέρος,
διελόντας τὸν στρατὸν ὁπότε ξυνεχομένους ἤδη ἐν τῇ μά-
3 χῃ τοὺς Ἰνδοὺς ἴδοιεν. Αὐτὸς δ' ἐπιλεξάμενος τῶν τε

Particulas δὲ δὴ saepe iunctas reperiri apud Arrianum iam monuimus ad V, 7, 8.

8. εἰ δὲ — ἄγοι] Edd. Vulc. et Blanc. ἐπάγῃ. Quattuor codd. Gronovii ἄγῃ. Cod. F. cum ed. Basil. ἄγει. Cod. Vulcanii Augustanus ἄγοι, optime. Simillimum librariorum errorem notavit Pass. ad Parthen. Erott. XVII, 3, p. 66. cf. ann. ad III, 9, 7. Praeterea vide III, 19, 1 sq. εἰ μὲν — μένοι, αὐτοῦ προσμένειν· εἰ δὲ ἐλαύνοι, ἄνω ἰέναι. Nec nisi de industria hic Arrianus a coniunctivo ad optativum transiise videtur. Ut enim in priori enunciati membro coniunctivo indicatur, Alexandro prope persuasum fuisse, Porum cum exercitus parte aliqua, relictis elephantis, flumen transiturum esse: ita optativo h. l. notatur, haud ita verisimile fuisse, Porum cum omnibus elephantis impetum esse facturum, Alexandrum tamen de tali Pori conatu c o g i t a s s e.

ἐπὶ στρατοπέδου] Hanc scripturam suppeditarunt codd. Gronovii omnes. ἐπὶ στρατοπέδῳ edd. vett. Cf., si tanti est, III, 19, 2 εἰ μὲν ἐπὶ Σούσων μένοι. V, 10, 6 ἐπὶ στρατοπέδου ἔμενε. — Mox pro διαβαίνειν, cui formae favent rursus omnes codd. et ed. Basil., in edd. Vulc. et Blanc. legitur διάβαινε.

ἡ δὲ ἄλλη στρατιὰ [μενέτω].] In ed. Vulcanii, quam secuti sunt omnes editores praeter Schmiederum, post vocem στρατιά additum vidimus verbum μενέτω e cod. vet. Stephani. In quattuor codd. Florr. et ed. Bas. omnino nihil sequitur. Unde Schmiederus lacunae signa poni iussit. In uno cod. Flor. et C. V. Vulcanii pro μενέτω comparebat adiect. εὐπετής, quod, nisi maiorem h. l. statuas ellipsin, non habet quo defendatur. Gronovius quidem: „Debet haec vox, inquit, abesse auctoritate Msstorum, et potest abesse sine sensus damno; nam ex superioribus satis lucide apparet hic subintelligi μένειν κατὰ χώραν, non μενέτω.“ At haec ellipsis vereor ut ferri queat. Quod denique Schmiederus coniecit σὺν τῇ ἄλλῃ στρατιᾷ, vix puto cuiquam probatum iri. Igitur donec melius edocti fuerimus, imperativum μενέτω quamquam uncis inclusum recepimus. Si coniectando aliquid profici

ἑταίρων τὸ ἄγημα καὶ τὴν Ἡφαιστίωνος ἱππαρχίαν καὶ τὴν Περδίκκου τε καὶ Δημητρίου καὶ τοὺς ἐκ Βάκτρων καὶ Σογδιανῶν καὶ τοὺς Σκύθας ἱππέας, καὶ Δάας τοὺς ἱπποτοξότας, καὶ τῆς φάλαγγος τούς τε ὑπασπιστὰς καὶ τὴν Κλείτου τε καὶ Κοίνου τάξιν καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας, ἦγεν ἀφανῶς πολύ τι ἀπέχων τῆς ὄχθης, τοῦ μὴ καταφανὴς εἶναι ἄγων ἐπὶ τὴν νῆσον καὶ τὴν

---

potest, malim scriptum ἡ δὲ ἄλλη στρατιὰ ταύτῃ μενέτω. Fieri enim poterat, ut, cum statim sequeretur ταῦτα, a scribis quod simile praecessit male omitteretur. Ex eodem certe fonte haud paucos errores manasse nostro similes demonstravimus in ann. ad IV, 16, 2.

C. XII. ἵνα — ὑπολέλειπτο] Edd. ante Gronov. ἐπιλέλειπτο. Quam dedimus verbi formam Schmiederum secuti, tuentur omnes codd. Gronovii et Arrianus ipse. Cf. I, 21, 12 αὐτοὶ ὑπολελειμμένοι. III, 16, 7 τῶν ὑπολειπομένων στρατιωτῶν. V, 21, 7 φυλακὰς ὑπέλιπεν. VII, 5, 8 ξὺν τῇ ὑπολειφθείσῃ δυνάμει; et quem locum Gronovius citavit, V, 11, 5 ὑπελέλειπτο ἐπὶ στρατοπέδου. De augmento omisso vide ann. ad III, 12, 1. Verbum ἐπιλιπεῖν ut apud optimos quosque scriptores, ita apud Arrianum est *deficere.* cf. VI, 25, 1 ὁπότε ἐπιλείποι σφᾶς τὰ σιτία. Hist. Ind. XXVII, 9 σφᾶς δὲ ἐπιλελοιπέναι τὰ σιτία. XXIX, 2 σῖτος ἐπιλελοίπει τὴν στρατιήν. Unde non dubito quin Hist. Ind. XXVI, 9 pro vulg. ὑπολελοίπει τὴν στρατιὴν ὁ πολλὸς (sc. σῖτος) scribendum sit ἐπιλελοίπει.

2. κατὰ μέρος] Ita codd. Gronovii omnes, ita quoque ed. Basil. κατὰ μέρη ed. Vulc. et Blanc. Quod a Gonovio non erat tanto clamore reiiciendum. Utrumque enim probum esse noverit, qui Graeci sermonis paulo peritior est. Cf. Lucian. Anachars. c. 15 κατὰ μέρη ἐπιὼν εἴσῃ ἕκαστα et quae adscripsit similia Fritzsch. Quaestt. Lucc. praef. p. XXVII. Contra κατὰ μέρος vide apud Xenoph. Hist. Gr. VII, 1, 24 μὴ κατὰ μέρος ἀξιῶτε ἡγεῖσθαι. Hipparch. IV, 2 κατὰ μέρος χρὴ ἀναπαύειν. Adde Appian. Punicc. c. 6 καὶ αὐτὴν κατὰ μέρος ὑπήγοντο.

3. Αὐτὸς δ' ἐπιλεξάμενος] Ed. Bas. αὐτὸς δέ. — Infra τοὺς Ἀγριάνας edd. omnes. Ibidem ἐπέχων ed. Bas. cf. I, 4, 5.

ἔνθεν διαβαίνειν — ἦν ἐγνωσμένον] Edd. vett. cum quattuor codd. Florr. ἔνθεν. Cod. F., quem secutus est Schmiederus, ἔνθα. Ac sane perambiguum est, utra scriptura sit praeferenda. Ut enim Latine aeque recte dicatur *unde transgredi constitutum ei*

4 ἄκραν ἔνθεν διαβαίνειν αὐτῷ ἦν ἐγνωσμένον. Καὶ ἐνταῦ-
θα ἐπληροῦντο τῆς νυκτὸς αἱ διφθέραι τῆς κάρφης
ἐκ πολλοῦ ἤδη παρενηνεγμέναι, καὶ κατεῤῥάπτοντο
5 ἐς ἀκρίβειαν· ὕδωρ τε ἐξ οὐρανοῦ τῆς νυκτὸς λάβρον
ἐπιγίνεται ταύτῃ, καὶ μᾶλλόν τι ἡ παρασκευή τε αὐ-
τῷ καὶ ἡ ἐπιχείρησις ἡ ἐς τὴν διάβασιν οὐ φανε-
ρὰ κατέστη, τῷ κτύπῳ τῷ ἀπὸ τῶν ὅπλων καὶ τῷ
θορύβῳ τῷ ἀπὸ τῶν παραγγελμάτων τῶν τε βρον-
6 τῶν καὶ τοῦ ὄμβρου ἀντιπαταγούντων· καὶ τῶν πλοί-

---

fuit atque *ubi transgredi statuerat*, ita etiam *ἔνθεν* atque *ἔνθα* discrimine non sane magno h. l. poni potuit. Cf. VII, 21, 8 *ἔνθεν μὲν δὴ ἐς τὸν Παλλακόπαν ἐτρέπετο ὁ ῥοῦς, ταύτῃ ἔγνω.* Ubi, si legeretur *ἔνθα*, quis esset qui falsum censeret? Easdem et similes particulas confusas vide III, 21, 5 et III, 24, 6.

4. *τῆς κάρφης*] Ed. Bas. *κάρφου.*

5. *ὕδωρ — λάβρον ἐπιγίνεται*] Sic codd. Gronovii omnes. *γίνεται* edd. vett. Conferri iussit Gronovius II, 6, 3 *καὶ τῆς νυκτὸς χειμὼν ἐπιγίγνεται.* VI, 18, 9 *χειμών τε ἐπιγίγνεται ἐς τὴν ὑστεραίαν.* Adde his I, 17, 6 *ὥρα ἔτους — χειμὼν ἐπιγίγνεται καὶ ὕδωρ ἐξ οὐρανοῦ πίπτει.* Eandem lectionem firmant quoque similes locutiones quales sunt *νὺξ ἐπιγενομένη* (vid. ann. an II, 11, 7); *κηλὶς τοῖς ἔργοισιν ἐπιγενομένη* Hist. Ind. XX, 2; denique Xenophon, qui dixit Hist. Gr. II, 4, 3 *χιὼν ἐπιγίγνεται.* III, 2, 24 *σεισμὸς ἐπιγίγνεται.* Vulgatam tamen scripturam qui defendere velit, adhibeat tum Arr. III, 3, 6 *ὕδωρ δὲ ἐξ οὐρανοῦ Ἀλεξάνδρῳ πολὺ ἐγένετο.* VI, 25, 10 *ἀφανῶν — γεγενημένων τῶν ὄμβρων*; tum Xenoph. Anab. IV, 1, 15 *χειμὼν γίγνεται πολὺς* et Thucyd. II, 77 *ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ βροντὰς γενομένας σβέσαι τὴν φλόγα.*

οὐ φανερὰ κατέστη] Edd. vet. *κατεστήκει* (sic). „Mssti et alii et Optimus *κατέστη*, magisque hoc tempus auctori placet. II, 4, 5 *ἐς ἴσον κατέστη αὐτῷ ἡ τόλμα.* VI, 5, 2 *τὰ πλοῖα κατέστη ἐς εὐθύ.* Alii huc quoque alludunt exhibentes *καθίστη.*" *Gronov.* Recte. Et ipsa ed. Basil., unde mala scriptura transiit in edd. Vulcanii et Blancardi, verum praebet, modo resecueris ultimas tres literas. Non enim forte factum puto, ut in prima syllaba *τ* positum sit.

καὶ τοῦ ὄμβρου] Hanc scripturam suppeditarunt codd. Gronovii omnes. *τῶν ὄμβρων* edd. ante Gronovium. Minus recte, opi-

ων τε τὰ πολλὰ ξυντετμημένα παρεκεκόμιστο ἐς τὸν χῶρον τοῦτον, καὶ ἀφανῶς αὖθις ξυμπεπηγμένα ἐν τῇ ὕλῃ ἐκρύπτετο τά τε ἄλλα καὶ αἱ τριακόντοροι. Ὑπὸ 7 δὲ τὴν ἕω ὅ τε ἄνεμος καὶ ὁ ὄμβρος κοκοίμητο, καὶ ἡ μὲν ἄλλη στρατιὰ αὐτῷ ἡ ἱππικὴ τῶν διφθερῶν ἐπιβᾶσα καὶ ὅσους τῶν πεζῶν τὰ πλοῖα ἐδέχετο, ἐπέρα κατὰ τὴν νῆσον, ὡς μὴ πρόσθεν ὀφθεῖεν πρὸς τῶν σκοπῶν τῶν ἐκ Πώρου καθεστηκότων, πρὶν παραλλάξαντας τὴν νῆσον ὀλίγον ἔτι ἀπέχειν τῆς ὄχθης.

---

nor, hoc loco. Differunt enim inter se ὁ ὄμβρος et οἱ ὄμβροι. Nam si universe de *imbre* loquuntur Graeci, tum singularem ponunt, ut paulo infra ὅ τε ἄνεμος καὶ ὁ ὄμβρος. V, 13, 5 ὁ ὄμβρος λάβρος. Herodot. VIII, 12 ὄμβρος λάβρος: sin vero *de singulis imbrium generibus* sive *de imbris aqua* sermo, tum plurali opus est. Inde dixit Arr. V, 29, 8 ὅσα πρὸς τῶν ὄμβρων πεπονηκότα ἦν. VI, 25, 10 ἐμπλησθεὶς ὑπὸ τῶν ὄμβρων. Herodot. II, 25 τῶν ὄμβρων ἐπιλειπόντων. Xenoph. Oecon. V, 18 ὄμβροι ἐξαίσιοι. Diod. Sic. II, 54 καὶ τοῖς ἐκ τῶν θερινῶν ὄμβρων γενομένοις sc. ὕδασι. Cf. ann. ad VI, 15, 1. Qui scripsere τῶν ὄμβρων, non videntur intellexisse quomodo sequi **posset** ἀντιπαταγούντων, nisi pluralis masculini generis praecessisset. At genitivus ille participii est generis neutrius. Quomodo scripsit Arr. I, 4, 6 ἀναλαβόντες τῶν παιδαρίων καὶ γυναικῶν — ὅσα φέρειν οἱ ἵπποι ἠδύναντο. I, 21, 7 καὶ δύο πύργοι καὶ μεσοπύργιον καταπεπτωκότα. Hist. Ind. XX, 9 λαμπρότης καὶ κόσμος — καὶ σπονδαὶ ἐπηρκότα ἦν. — Ceterum cum Arrianeis conferas, si placet, Thucyd. III, 22 ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου.

6. *καὶ **τῶν πλοίων τε** τὰ πολλὰ*] Post ultimam vocem in edd. ante Gronovium et quattuor codd. legitur additum pronomen αὐτῶν, quod Schmiederus e codicis F. auctoritate reiecit. Nec potest negari, genitivum illum constructionem reddere impeditam. Quid vero si legamus αὐτῷ —? Arrianum hunc huius pronominis dativum saepe adiecisse passivis ubi eum non exspectabas, monuimus in ann. ad II, 27, 6. IV, 4, 6. IV, 19, 1.

7. *αὐτῷ*] Ed. Bas. αὐτῶν. cf. VII, 7, 5.

τῶν ἐκ Πώρου καθεστηκότων] Verum sit quod e codice F. in textum recepit Schmiederus τῶν παρὰ τοῦ Πώρου καθεστηκότων. **Sed huius codicis auctoritas me non potuit movere, ut vulgatam**

XIII. *Αὐτὸς δὲ ἐπιβὰς τριακοντόρου ἐπέρα, καὶ ἅμα αὐτῷ Πτολεμαῖός τε καὶ Περδίκκας καὶ Λυσίμαχος οἱ σωματοφύλακες, καὶ Σέλευκος τῶν ἑταίρων, ὁ βασιλεύσας ὕστερον, καὶ τῶν ὑπασπιστῶν οἱ ἡμίσεες· τοὺς*
2 *δὲ ἄλλους ὑπασπιστὰς ἄλλαι τριακόντοροι ἔφερον. Ὡς δὲ τὴν νῆσον παρήλλαξεν ἡ στρατιά, φανερῶς ἤδη ἐπεῖχον τῇ ὄχθῃ· καὶ οἱ σκοποὶ κατιδόντες αὐτῶν τὴν ὁρμήν, ὡς ἑκάστοις τάχους οἱ ἵπποι εἶχον, ἤλαυνον ὡς*
3 *ἐπὶ τὸν Πῶρον. Ἐν τούτῳ δὲ Ἀλέξανδρος πρῶτος αὐτὸς ἐκβὰς καὶ τοὺς ἀπὸ τῶν ἄλλων τριακοντόρων ἀναλαβὼν ξυνέταττε τοὺς ἀεὶ ἐκβαίνοντας τῶν ἱππέων· οἱ γὰρ ἱπ-*

---

scripturam ab omnibus fere partibus munitam exterminarem. Similiter habent quae leguntur II, 1, 1 *Μέμνων ἡγεμὼν ἐκ βασιλέως Δαρείου καθεστηκώς*. III, 1, 3 *ὃς ἦν σατράπης — ἐκ Δαρείου καθεστηκώς*. IV, 13, 1 *ἐκ Φιλίππου ἦν ἤδη καθεστηκός*. Ac vulgata scriptura servata hic est verborum sensus: *ne a speculatoribus conspicerentur qui a Poro in ripa essent constituti*. Omnibus tamen codicibus cum cod. F. consentientibus in praepositione *παρά* non offenderem locum ita interpretans: — *qui a Poro huc transmissi ibi constituti erant*. Eiusdem potestatis praepositio *παρά* est in his I, 19, 1 *ἐκπεμφθεὶς παρὰ Ἀλέξανδρον παρὰ τοῦ δήμου*. Xenoph. Anab. I, 9, 1 *ὡς παρὰ πάντων ὁμολογεῖται*. Cyrop. VI, 1, 42 *τὰ παρὰ σοῦ λεγόμενα*. Ceterum cf. ann. ad II, 2, 6. V, 14, 8.

C. XIII. *ἐπιβὰς τριακοντόρου*] Edd. vett. *τριακοντόρῳ*. Quod dedimus, omnes firmant codd. Gronovii. Vide ann. ad V, 10, 2. — Infra ed. Basil. ex solito errore *ἱππασπιστῶν* et *ἱππασπιστάς* et mox eadem *ἔφαιρον*.

2. *ὡς — τάχους εἶχον*] Consueta hac omnibus Graecis scriptoribus formula etiam Arrianus haud raro usus est. Vide IV, 2, 11 *ὡς τάχους ἕκαστοι εἶχον*. V, 23, 4 *ὡς τάχους εἶχον*. VI, 6, 11 *ὡς τάχους εἶχον ποδῶν*. Cf. ann. ad VII, 12, 5.

4. *ἔλαθε δὲ οὐκ ἐς βέβαιον χωρίον — ἀλλά*] Ed. Basil. *ἔλαβε*. Praeterea notandum, Arrianum ob sequens *ἀλλά* dixisse *οὐκ ἐς βέβαιον*, cum proprie dicendum ei esset *ἐς οὐ βέβαιον* ad exemplar talium qualia sunt II, 16, 9 *τὸ οὐ πιστόν*. III, 13, 4 *ἐς τὰ οὐχ ὁμαλά*. V, 15, 7 *σὺν οὐ πολλῇ στρατιᾷ*. VII, 7, 9 *ἐς οὐ πολύ*. Simile quid video factum in his Xenoph. Ages. XI, 3 *ἐμίσει δ' οὐκ εἴ τις κακῶς πάσχων ἠμύνετο, ἀλλ' εἴ τις —*.

πεῖς πρῶτον ἐτετάχατο αὐτῷ ἐκβαίνειν· καὶ τούτους
ἄγων προήει ἐν τάξει. Ἔλαθε δὲ οὐκ ἐς βέβαιον χωρίον 4
ἐκβὰς ἀγνοίᾳ τῶν τόπων, ἀλλὰ ἐς νῆσον γὰρ καὶ αὐτὴν
μεγάλην, ᾗ δὴ καὶ μᾶλλον νῆσος οὖσα ἔλαθεν, οὐ πολ-
λῷ δὲ ὕδατι πρὸς τοῦ ποταμοῦ ἀποτεμνομένην ἀπὸ τῆς
ἄλλης γῆς. Καὶ ἅμα ηὐξήκει τὸ ὕδωρ ὁ ὄμβρος λάβρος 5
τε καὶ ἐπιπολὺ τῆς νυκτὸς κατασχών, ὥστ᾽ οὐκ ἐξεύρι-
σκον αὐτῷ οἱ ἱππεῖς τὸν πόρον, καὶ δέος ἦν αὖθις ἄλλου
δεῆσαι αὐτῷ ἐπὶ τῇ διαβάσει ἴσου τῷ πρώτῳ πόνου.
Ὡς δὲ ἐξευρέθη ποτὲ ὁ πόρος, ἦγε κατ᾽ αὐτὸν χαλεπῶς· 6
ἦν γὰρ τῶν μὲν πεζῶν ὑπὲρ τοὺς μαστοὺς τὸ ὕδωρ ἵνα-

ᾗ δὴ καὶ μᾶλλον] Ed. Basil. ἤδη, post quam vocem comma positum est. Perperam. Cf. VII, 24, 6 *ᾗ δὴ καὶ μᾶλλον ἐπ᾽ οὐδενὶ ἀγαθῷ ξυμβῆναι — ἐξηγοῦντο*, ubi in edd. ante Raphelium vitiose expressum legebatur ἦ δή. — Supra ed. Bas. τὸν τόπον.

οὐ πολλῷ δὲ ὕδατι ἀποτεμνομένην] Particulam δέ, qua carent edd. Vulc. et Blanc., omnes tuentur codd. Gronovii et ed. Basil. — Deinde de meo dedi ἀποτεμνομένην pro vulgato ἀποτεμνομένη, ita ut verba ᾗ δὴ — ἔλαθεν quasi in parenthesi posita accipiantur. Hoc enim sine dubio voluit dicere Arrianus: *sed in aliam eamque haud parvam insulam (unde eo minus insula esse videbatur), quamquam exigua tantum aqua ex fluvio derivata seiunctam a reliqua terra.* Unde etiam Vulcanius cum nominativus quid sibi vellet nesciret, omissa particula adversativa locum sic interpretatus est: *quae vel ideo minus insula esse videbatur, quod eam aqua exiguo spatio a terra seiunxerat.* Quae tamen interpretatio ferri nequit. De δέ non praegresso μέν vide ann. ad II, 4, 1.

6. *ὑπὲρ τοὺς μαστούς*] Mirum in modum in constructione praepositionis ὑπέρ Arrianus ut a ceterorum Graecorum scriptorum ita a Xenophontis more abhorret. Ubique enim, ubi genitivum isti praepositioni additum volunt (vid. Thom. Mag. p. 868. Krueg. ad Xenoph. Anab. I, 1, 9), posuit accusativum, modo significetur *trans*, modo *supra* s. *super*. Cf. I, 14, 6 *ὑπερδέξια ὑπὲρ τὴν ὄχθην χωρία.* II, 4, 2 *τὴν ἐντὸς Ἅλυος ποταμοῦ προσηγάγετο καὶ ἔτι ὑπὲρ τὸν Ἅλυν πολλήν.* V, 25, 9 *τὰ ὑπὲρ τὰς Κασπίας πύλας.* VII, 10, 2 *ὑπερβαίνει δὲ τὸν Καύκασον ὑπὲρ τὰς Κασπίας πύλας.* Hist. Ind. XXXII, 1 *ὑπὲρ τοὺς Ἰχθυοφάγους οἰκέουσι.* Et quod ad nostrum locum maxime pertinet, VI, 10, 2 *βάλλεται τοξεύματι ὑπὲρ τὸν μαστόν*: coll. Xenoph. Anab. IV, 3, 5 *ὕδωρ ὑπὲρ τῶν*

περ τὸ βαθύτατον αὐτοῦ· τῶν δὲ ἵππων, ὅσον τὰς κε-
7 φαλὰς ὑπερίσχειν τοῦ ποταμοῦ. Ὡς δὲ καὶ τοῦτο ἐπε-
ρᾶτο αὐτῷ τὸ ὕδωρ, ἐπὶ μὲν τὸ δεξιὸν κέρας παρήγαγε
τό τε ἄγημα τῶν ἱππέων καὶ τῶν ἄλλων ἱππαρχιῶν τοὺς
κρατίστους ἐπιλεξάμενος· τοὺς δὲ ἱπποτοξότας τῆς πά-
8 σης ἵππου προέταξε· τῶν δὲ πεζῶν πρώτους μὲν τοὺς
ὑπασπιστὰς τοὺς βασιλικοὺς ὧν ἡγεῖτο Σέλευκος, ἐπέ-
ταξε τῇ ἵππῳ· ἐπὶ δὲ τούτοις τὸ ἄγημα τὸ βασιλικόν·
ἐχομένους δὲ τούτων τοὺς ἄλλους ὑπασπιστάς, ὡς ἑκά-
9 στοις αἱ ἡγεμονίαι ἐν τῷ τότε ξυνέβαινον· κατὰ δὲ τὰ

μαστῶν ἐφαίνετο. Diod. Sic. XVII, 65 τοῦ γὰρ πόρου τὸ βάθος ἦν ὑπὲρ τῶν μαστῶν. Utramque tamen construendi rationem probabilem esse sponte intelligat quisque. Sic etiam Xenophon dixit Anab. I, 1, 9 τοῖς Θραξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι, sed II, 6, 2 τοῖς ὑπὲρ Χεῤῥονήσου καὶ Περίνθου Θραξίν. Vide quoque ann. ad II, 9, 6.

ὅσον τὰς κεφαλὰς ὑπερίσχειν] Similiter scripsit V, 5, 12 ὅσον ἐς τὰ διαλείποντα — ἐμβεβλῆσθαι τοὺς λόγους. VII, 19, 9 λιμένα ἐποίει, ὅσον χιλίαις ναυσὶ μακραῖς ὅρμον εἶναι. Tact. c. 44 ὅσον ἐκδρομὰς παρέχειν τοῖς φιλίοις ἱππεῦσι. Cf. Xenoph. Anab. IV, 1, 5 ὅσον σκοταίους διελθεῖν τὸ πεδίον, ubi vide Kruegeri ann. Paulo plenius locutus est Ael. vv. hh. III, 9 ἀγωνίζονται τοσοῦτον ὅσον ἐνθουσιᾶν αὐτούς. Adde ann. ad II, 22, 10.

7. προέταξε] Ed. **Bas.** **προέταξεν.** Mox eadem τοὺς ἱππασπιστάς.

8. ὡς ἑκάστοις ξυνέβαινον] Edd. omnes ante Schmiederum ὧν ἑκάστοις. Qui primus dedit ὡς ἑκάστοις: suo iure, opinor. Cf. I, 28, 5 ὡς ἑκάστοις τῶν στρατηγῶν ἡγεμονία τῆς τάξεως ἐν τῇ τότε ἡμέρᾳ ἦν. „Videtur in Macedonica militia obtinuisse, ut primus locus inter turmas et omnes militum partes per dies variaret, quasi omnes honore aequatae essent, idque ista varietate ostenderetur; id vocat ἡγεμονίαν Arrianus. Sic V, 13, 8. Idem de ducibus testatur I, 28, 5. Hanc ἡγεμονίαν vocat Polybius πρωτεῖα I, c. 24. Herodotus vero πρυτανείαν, l. III, c. 112 ὡς ἑκάστη αὐτέων ἐγένετο ἡ πρυτανηίη τῆς ἡμέρης." *Gronov.* ad Arr. I, 14, 9. De simili dicendi genere vide ann. ad IV, 22, 7. Et recte iam Vulcanium locum interpretatum video ita: *prout singulis praefecturae contigerant.*

9. οἱ Ἀγριᾶνες] Edd. οἱ Ἀγριάνες.

C. XIV. τοὺς ἱππέας μόνους] Ita codd. Gronovii. μόνον edd.

ἄκρα τῆς φάλαγγος οἱ τοξόται αὐτῷ καὶ οἱ Ἀγριᾶνες καὶ οἱ ἀκοντισταὶ ἑκατέρωθεν ἐπέστησαν.

XIV. Οὕτως ἐκτάξας τὸν μὲν πεζὸν στρατὸν ἐν κόσμῳ βάδην ἕπεσθαι ἐκέλευσεν οὐ πολὺ ἀποδέοντας τῶν ἑξακισχιλίων· αὐτὸς δὲ ὅτι κρατεῖν ἐδόκει τῇ ἵππῳ, τοὺς ἱππέας μόνους ἀναλαβὼν σπουδῇ ἡγεῖτο ὄντας ἐς πεντακισχιλίους. Ταύρωνι δὲ τῷ τοξάρχῃ προσέταξε τοξότας ἐπάγειν τῇ ἵππῳ καὶ αὐτοὺς σπουδῇ. Γνώμην δὲ 2
πεποίητο, εἰ μὲν προσμίξειαν αὐτῷ οἱ ἀμφὶ τὸν Πῶρον ξὺν τῇ δυνάμει ἁπάσῃ, ἢ κρατήσειν αὐτῶν οὐ χαλεπῶς

---

vett. Vide ann. ad II, 9, 1 coll. VI, 8, 9 ὡς δὲ κατεῖδον ἱππέας μόνους.

2. *Γνώμην δὲ πεποίητο*] Edd. vett. *γνώμην δὲ ἐπεποίητο*. Et sic quoque videntur exhibuisse hunc locum quattuor codd. Gronovii. In cod. F., si fides habenda est Gronovio, legitur *γνώμην πεποίητο*, quod recepit Schmiederus. At non solet ita *ἀσυνδέτως* loqui Arrianus. Unde reposui particulam adversativam, augmentum plusquamperfecti reieci comparatis iis quae monenda fuere ad III, 12, 1 et III, 19, 2. Simillima praeterea consule haec I, 1, 10 *γνώμην δὲ πεποίηντο*. III, 21, 8 *γνώμην δὲ πεποιῆσθαι*. IV, 30, 11 *γνώμην δὲ πεποίηντο*.

εἰ μὲν προσμίξειαν] Quattuor codd. Gronovii cum edd. vett. ante has voces insertam exhibent particulam *ὡς*, quae, si non omnino inepta, tamen h. l. minime necessaria videtur indeque nobis cum Schmiedero reiecta est. Si in re tam trita atque satis cognita exemplis opus, ut Arriani morem loquendi cognoscas, vide III, 19, 2 *γνώμην δὲ πεποίητο, εἰ μὲν μένοι, αὐτοῦ προσμένειν*. III, 21, 8 *γνώμην δὲ πεποιῆσθαι, — εἰ μὲν πυνθάνοιντο, παραδοῦναι*. Cf. II, 20, 8 *ναυμαχεῖν ἐγνωσμένον ἦν, εἰ ἐπιπλέοι*. III, 7, 7 *ἐγνωκὼς εἴργειν εἰ — διαβαίνοι*.

ἢ κρατήσειν — ἢ ἀπομάχεσθαι] Vulcanius: *se vel facile — superiorem fore, vel certe — hostilem impetum moraturum*. Minus accurate. Hoc enim dicere voluit Arrianus: *Ita enim secum statuerat, se — vel victorem fore* (id quod verisimile ei videbatur) *vel certe tantisper hostibus sese opponere dum pedites accessissent*. Difficultas in eo posita videtur, quod ad verba quae sunt *γνώμην δὲ πεποίητο* commode referri non potest nisi quod in secunda ennunciati parte positum est praesens verbi *ἀπομάχεσθαι*. Per constructionem vero ad sensum (nam in formula *γνώμην πεποιῆσθαι* inest

τῇ ἵππῳ προσβαλών, ἢ ἀπομάχεσθαί γε ἔστε τοὺς πε-
3 ζοὺς ἐν τῷ ἔργῳ ἐπιγενέσθαι· εἰ δὲ πρὸς τὴν τόλμαν
τῆς διαβάσεως ἄτοπον γενομένην οἱ Ἰνδοὶ ἐκπλαγέντες
φεύγοιεν, οὐ πόῤῥωθεν ἔξεσθαι αὐτῶν κατὰ τὴν φυγήν,
ὡς πλείονα ἐν τῇ ἀποχωρήσει τὸν φόνον γενόμενον ὀλί-
4 γον ἔτι ὑπολείπεσθαι αὐτῷ τὸ ἔργον. Ἀριστόβουλος δὲ
τὸν Πώρου παῖδα λέγει φθάσαι ἀφικόμενον ξὺν ἅρμα-
σιν ὡς ἑξήκοντα, πρὶν τὸ ὕστερον ἐκ τῆς νήσου [τῆς
5 μικρᾶς] περᾶσαι Ἀλέξανδρον. Καὶ τοῦτον δυνηθῆναι ἂν
εἶρξαι Ἀλέξανδρον τῆς διαβάσεως, χαλεπῶς καὶ μηδενὸς
εἴργοντος περαιωθέντα, εἴπερ οὖν καταπηδήσαντες οἱ Ἰν-

---

εἰς τὸν Ἰνδόν] Edd. Venet. Basil. Vulc. Blanc. εἰς τὸν Ἰνδὸν ποταμόν. Postremam vocem ignorant omnes quos consuluit Gronovius codices. Unde eam omisimus Schmiederum secuti. Cf. I, 17, 4 κατεστρατοπέδευσεν ἐπὶ τῷ Ἕρμῳ ποταμῷ. Ἀπέχει δὲ ὁ Ἕρμος. V, 20, 16 τοῦ Ἰνδοῦ ποταμοῦ τὸ μέγεθος. Mox δοκεῖ τοῦ Ἰνδοῦ εἶναι τὸ εὖρος. VII, 7, 2 κατὰ τὸν Εὐλαῖον ποταμόν. VII, 7, 5 κατὰ τὸν Εὐλαῖον. Ceterum vide ann. ad II, 4, 10. III, 29, 3. V, 4, 4. VI, 20, 6.

ἐνθένδε ποθέν] Ed. Bas. ἔνθεν ποθέν. — Mox eadem ἀπολύοντα.

3. ὁπόθεν ἄρχεται — ῥεῖν] Ed. Basil. ὁπόθεν ἔρχεται — ῥεῖ. Perperam. — Infra eadem editio Αἰθιώπων.

καὶ Αἰγυπτίων] Edd. vett. καὶ Αἴγυπτον. „Omnino legendum ex omnibus Mss. καὶ Αἰγυπτίων. Nilus nunquam probari poterit ab Aethiopibus quoque vocatus fuisse Aegyptus. Repetit eadem quae dixerat l. V. c. 6, ex Homero apparere, eum fluvium, qui Aegyptiis ex proxime super Aegyptum habitantibus Aethiopibus suo tempore dicebatur Nilus, antiquitus habuisse nomen Aegypti, non tam apud Aegyptios aut Aethiopas, quam Graecos et ipsum Homerum.“ *Gronov.* Similia confusa vide V, 1, 8.

ὡς Ὅμηρος ἐποίησεν] Respexit Homeri Odyss. IV, v. 581. Apud Hesiodum Theogon. v. 338 nomen Nili iam memoratur. Cf. Laurent. Lyd. de menss. IV, 68.

ἐκδιδόναι] Sic duo codd. Gronovii cum edd. Vulc. Blanc. Gron. Raphel. ἐσδιδόναι tres codd. Gronovii cum ed. Basil. et

Αἰθιόπων τε τῶν ταύτῃ καὶ Αἰγυπτίων καλούμενον
(ὡς Ὅμηρος ἐποίησεν ἐπώνυμον τῆς Αἰγύπτου Αἴ-
γυπτον), οὕτω δὴ ἐκδιδόναι ἐς τὴν ἐντὸς θάλασσαν·
4 καὶ δὴ καὶ πρὸς τὴν Ὀλυμπιάδα γράφοντα ὑπὲρ
τῶν Ἰνδῶν τῆς γῆς ἄλλα τε γράψαι καὶ ὅτι δοκοίη
αὐτῷ ἐξευρηκέναι τοῦ Νείλου τὰς πηγάς, μικροῖς
δή τισι καὶ φαύλοις ὑπὲρ τῶν τηλικούτων τεκμαιρό-
5 μενον· ἐπεὶ μέντοι ἀτρεκέστερον ἐξήλεγξε τὰ ἀμφὶ
τῷ ποταμῷ τῷ Ἰνδῷ, οὕτω δὴ μαθεῖν παρὰ τῶν ἐπι-
χωρίων, τὸν μὲν Ὑδάσπην τῷ Ἀκεσίνῃ, τὸν Ἀκεσίνην

Schmied. Male. Nam *de fluvio in mare decurrente* Arrianus aut dixit *ἐκδοῦναι*, ut I, 3, 2 *ἵνα ἐκδιδοῖ κατὰ πέντε στόματα ἐς τὸν Εὔξεινον πόντον.* I, 12, 10 *ἐκδιδοῖ ἐς θάλασσαν*: quibus locis adde III, 30, 14. IV, 6, 12. V, 3, 11. V, 6, 10. 11. VI, 1, 6. VII, 7, 8. VII, 21, 5; aut *ἐξιέναι*, de quo verbo vide quae diximus in ann. ad III, 30, 15. *De fluviis qui in alium fluvium incidunt*, dicitur Arriano *ἐμβάλλειν*, ut VI, 1, 2 *ὁ Ἀκεσίνης ἐμβάλλει εἰς τὸν Ἰνδόν.* VI, 14, 9 *ὁ Ὑδάσπης ἐς τὸν Ἀκεσίνην ἐμβάλλει.* VII, 16, 7 *πολλοὶ δὲ δὴ καὶ ἄλλοι ἐς τούτους ἐμβάλλοντες.* Hist. Ind. III, 10 *ὁ Ἀκεσίνης ἵναπερ ἐμβάλλει ἐς τὸν Ἰνδὸν ποταμόν.* Verbo *ἐσβάλλειν* de eadem re usus est Hist. Ind. IV, 10 *ὁ Ἀκεσίνης — ἐσβάλλει ἐς τὸν Ἰνδόν.* Verbum *ἐκδοῦναι de fluvio in fluvium sese exonerante* in libro de Expeditione Alexandri non reperi dictum; in hist. Indica ut alibi, ita IV, 9, 10. 11. Ter autem vidi apud Arrianum *ἐσβάλλειν* s. *ἐμβάλλειν* dictum *de fluvio in mare profluente*: V, 5, 7 *ὅσοι ἐν μέσῳ τούτων — ἐς θάλασσαν καὶ οὗτοι ἐσβάλλουσιν.* VII, 7, 7 *ὁ μὲν Τίγρης ἐσβάλλει ἐς τὸν πόντον.* VII, 16, 4 *αἱ ἀρχαὶ τῆς Κασπίας θαλάσσης — καὶ ποταμῶν πλοΐμων ἐμβαλλόντων ἐς αὐτήν*: quamquam substantivum *ἐσβολή* s. *ἐμβολή* hoc significatu nunquam usurpasse demonstravimus Arrianum in ann. ad I, 19, 10. Forsitan igitur rectius scribas *ἐκβάλλειν* ubi *ἐσβάλλειν* repereris. Eadem verba confusa notavit Iacobs. ad Philostr. p. 445. Neque indigna sunt quae legantur scripta ab Oudend. ad Thom. Magistr. p. 279 et Schaef. ad Bast. comm. palaeogr. post Greg. Cor. p. 721. Alius generis iam esse videtur quod Arrianus scripsit Hist. Ind. XLII, 2 *παραπλέουσι λίμνην ἐς ἣν ὁ Τίγρης ἐσβάλλει ποταμός.* Sic enim Plat. Phaed. p. 113, C *καὶ τὴν λίμνην, ἣν ποιεῖ ὁ ποταμὸς ἐμβάλλων, Στύγα.* Aliam verbi *ἐκβαλεῖν* significationem docuerunt Musgr. ad Eurip. Iph. Taur. v. 1042. Heind. ad Plat. Phaed. p. 113, A.

δὲ τῷ Ἰνδῷ τό τε ὕδωρ ξυμβάλλοντας καὶ τῷ ὀνόματι ξυγχωροῦντας· τὸν Ἰνδὸν δὲ ἐκδιδόντα ἤδη ἐς τὴν μεγάλην 6
θάλασσαν, δίστομον τὸν Ἰνδὸν ὄντα, οὐδέν τι αὐτῷ προσῆκον τῆς γῆς τῆς Αἰγυπτίας· τηνικαῦτα δὲ τῆς ἐπιστολῆς 7
τῆς πρὸς τὴν μητέρα τοῦτο ἀμφὶ τῷ Νείλῳ γραφὲν ἀφελεῖν· καὶ τὸν κατάπλουν τὸν κατὰ τοὺς ποταμοὺς ἔστ' ἐπὶ μεγάλην θάλασσαν ἐπινοοῦντα παρασκευασθῆναί οἱ ἐπὶ τῷδε κελεῦσαι τὰς ναῦς. Αἱ δ' ὑπηρεσίαι αὐτῷ ἐς τὰς 8
ναῦς ξυνεπληρώθησαν ἐκ τῶν ξυνεπομένων τῇ στρατιᾷ Φοινίκων καὶ Κυπρίων καὶ Καρῶν καὶ Αἰγυπτίων.

---

4. *μικροῖς δή τισι — τεκμαιρόμενον*] h. e. *nimirum pravis quibusdam atque vanis indiciis in re tanti momenti usus.* Particula *δή* hoc loco ironiae significandae inservire videtur, ut VII, 8, 5 *τὸν Ἄμμωνα δὴ τῷ λόγῳ ἐπικερτομοῦντες.* Cf. ann. ad V, 18, 8.

5. *τὰ ἀμφὶ τῷ ποταμῷ*] Hunc praepositionis *ἀμφί* usum atque constructionem, si non poetis, tamen Herodoto debuisse Arrianum verisimile est. Nam ut Herodotus dixit III, 32 *ἀμφὶ δὲ τῷ θανάτῳ αὐτῆς διξὸς λέγεται λόγος* et V, 1, 9 *ἀμφὶ ἀπόδῳ τῇ ἐμῇ πείσομαί τοι*: ita Arrianus II, 3, 14 *τὰ ἀμφὶ τῷ δεσμῷ.* III, 30, 1 *οὐ βεβαία γνώμη ἀμφὶ τῇ παραδόσει.* V, 6, 7 *τὰ ἀμφὶ τῇ γῇ τῇ Αἰγυπτίᾳ* et VI, 1, 7 *τοῦτο ἀμφὶ τῷ Νείλῳ γραφέν.* E poetis multa exempla adscripsit Matth. Gr. Gr. ub. p. 1158.

6. *οὐδέν τι αὐτῷ προσῆκον*] Ed. Basil. *οὐδέ τι.* Male. Cf. IV, 7, 8. IV, 30, 2. VII, 3, 7. Hist. Ind. V, 10. XXIX, 7 coll. ann. ad IV, 14, 8.

7. *ἔστ' ἐπὶ μεγάλην θάλασσαν*] Ed. Bas. *ἔστε μεγάλην θάλασσαν.* Minus apte. Plura diximus in ann. ad I, 3, 2. — Supra eadem *ἔγραφεν.*

8. *Αἱ δ' ὑπηρεσίαι*] Ed. Bas. *αἱ δέ.* Abstractis pro concretis nonnunquam usum videmus Arrianum. VII, 19, 8 *πληρώματα δὲ καὶ τὰς ἄλλας ὑπηρεσίας.* Hist. Ind. XVIII, 1 *ὑπηρεσίας τε αὐτῇσι καὶ ἐρέτας ἐπιλεγόμενος.* I, 29, 8 *Ἀθηναίων πρεσβεία ἀφίκετο δεόμενοι.* VII, 19, 1 *πρεσβεῖαι ἐνέτυχον.* Cum Arrianeis apte conferas quod habet Thucyd. I, 143 *κυβερνήτας καὶ τὴν ἄλλην ὑπηρεσίαν.* Similiter idem V, 23 *ἢν δὲ ἡ δουλεία ἐπανιστῆται.* De voce *ξυμμαχία* pro *ξύμμαχοι* usurpata monuit Goell. ad Thucyd. VI, 34. De vocabulo *ἀκοντίσματα* pro *ἀκοντισταί* posito vide quae dixit Schaef. ad Plut. vitt. t. V, p. 84.

II. Ἐν δὲ τούτῳ Κοῖνος μὲν ἐν τοῖς πιστοτάτοις Ἀλεξάνδρῳ ὢν τῶν ἑταίρων νόσῳ τελευτᾷ· καὶ τοῦτον
2 θάπτει ἐκ τῶν παρόντων μεγαλοπρεπῶς. Αὐτὸς δὲ ξυναγαγὼν τούς τε ἑταίρους καὶ ὅσοι Ἰνδῶν πρέσβεις παρ' αὐτὸν ἀφιγμένοι ἦσαν, βασιλέα μὲν τῆς ἑαλωκυίας ἤδη Ἰνδῶν γῆς ἀπέδειξε Πῶρον, ἑπτὰ μὲν ἐθνῶν τῶν ξυμπάντων, πόλεων δὲ ἐν τοῖς ἔθνεσιν ὑπὲρ τὰς δισχιλίας.
3 Τὴν στρατιὰν δὲ διένειμεν ὧδε· αὐτὸς μὲν τοὺς ὑπασπιστάς τε ἅμα οἱ ξύμπαντας ἐπὶ τὰς ναῦς ἀνεβίβασε καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τὸ ἄγημα τῶν ἱπ-
4 πέων. Κρατερὸς δὲ αὐτῷ μοῖράν τε τῶν πεζῶν καὶ τῶν ἱππέων παρὰ τὴν ὄχθην τοῦ Ὑδάσπου τὴν ἐν δεξιᾷ ἦγε· κατὰ δὲ τὴν ἑτέραν ὄχθην τὸ πλεῖστόν τε καὶ κράτιστον τῆς στρατιᾶς καὶ τοὺς ἐλέφαντας Ἡφαιστίων προὐχώρει

C. II. ἐν τοῖς πιστοτάτοις] Suspicetur quis ἐν τοῖς πιστότατος. Quomodo dixit I, 23, 11 χωρίον τῆς Καρίας ἐν τοῖς ὀχυρώτατον. Sic apud Lucian. Somn. c. 2, t. I, p. 170 recte scripsit Hemsterhusius ἐν τοῖς μάλιστα εὐδόκιμος pro vulg. δοκίμοις. Sed nihil temere moveo. Vide Plat. Lach. p. 181, B. ἡγοῦ με ἐν τοῖς γ' εὐνουστάτοις. Ael. vv. hh. πύκτης ἐν τοῖς εὐδοκιμωτάτοις γενόμενος. Arr. III, 23, 14 τά τε ἄλλα ἐν τοῖς πρώτοις Περσῶν ὄντας. Consule quoque Goell. ad Thucyd. VII, 19, t. II, p. 252 sq. et Fritzsch. ad Luc. Alexandr. p. 220 sq.

2. τῆς ἑαλωκυίας γῆς] Arriano, ut verbo id hic moneam, ubique haec placuit perfecti forma. cf. II, 15, 1 ἑάλωκε. IV, 2, 11 τὰς οὔπω ἑαλωκυίας πόλεις. V, 24, 10 ἑαλωκότα. VI, 9, 3 ἑαλωκέναι. Neque aliter formatum vides aoristum. I, 1, 17. III, 9, 1. VI, 21, 10 ἑάλωσαν. III, 11, 4. III, 15, 4. VI, 6, 9. VI, 16, 2 ἑάλω. Diodorus et Plutarchus formas ἥλων et ἥλωκα praetulisse videntur. Cf. Diod. Sic. XVII, 31. 36 et centenis aliis locis; Plut. vit. Pyrrh. c. 9. 11. 18. Timol. c. 29. Xenophontem sibi in talibus non constitisse iamiam alibi observavimus. Vide tantum Anab. IV, 4, 21 καὶ ἵπποι ἥλωσαν εἰς εἴκοσι καὶ ἡ σκηνὴ — ἑάλω. V, 2, 15 καὶ ἡλώκει τὸ χωρίον. VII, 1, 19 ὡς ἑαλωκυίας τῆς πόλεως.

3. τοὺς ὑπασπιστάς] Ed. Bas. τοὺς ἱππασπιστάς. — Mox omnes edd. Ἀγριᾶνας.

4. ἵναπερ — τὰ βασίλεια] Sic omnes codd. Gronovii et edd. Venet. ac Basil. ἵναπερ — τὰ βασίλεια ἦν edd. rell. ante Schmied. Utrumque de-

ἄγων, ἤδη ὄντας ἐς διακοσίους· τούτοις δὲ ἦν παρηγγελ-
μένον ὡς τάχιστα ἄγειν ἵναπερ τὰ Σωπείθου βασίλεια.
Φιλίππῳ δὲ τῷ σατράπῃ τῆς ἐπέκεινα τοῦ Ἰνδοῦ ὡς ἐπὶ 5
Βακτρίους γῆς διαλιπόντι τρεῖς ἡμέρας παρήγγελτο ἕπε-
σθαι ξὺν τοῖς ἀμφ' αὐτόν· τοὺς ἱππέας δὲ τοὺς Νυσαίους
ὀπίσω ἀποπέμπει ἐς τὴν Νῦσαν. Τοῦ μὲν τὴ ναυτικοῦ 6
παντὸς Νέαρχος αὐτῷ ἐξηγεῖτο· τῆς δὲ αὐτοῦ νεὼς κυ-
βερνήτης Ὀνησίκριτος, ὃς ἐν τῇ ξυγγραφῇ ἥντινα ὑπὲρ
Ἀλεξάνδρου ξυνέγραψε, καὶ τοῦτο ἐψεύσατο, ναύαρχον
ἑαυτὸν εἶναι γράψας, κυβερνήτην ὄντα. Ἦν δὲ τὸ ξύμ- 7
παν πλῆθος τῶν νεῶν, ὡς λέγει Πτολεμαῖος ὁ Λάγου ᾧ
μάλιστα ἐγὼ ἕπομαι, τριακόντοροι μὲν ἐς ὀγδοήκοντα·
τὰ δὲ πάντα πλοῖα σὺν τοῖς ἱππαγωγοῖς καὶ κερκούροις 8
καὶ ὅσα ἄλλα ποτάμια ἢ τῶν πάλαι πλεόντων κατὰ τοὺς

---

fendi posse nisi iam aliunde constaret, in aperto ponerent quae dicta sunt ad V, 22, 4 coll. ann. crit. ad II, 1, 3. II, 22, 8 et Schaef. ad Greg. Cor. p. 152 sq. In eadem loquendi formula additum vide verbum substantivum II, 3, 1 *ἵνα καὶ τὰ βασίλεια ἦν τοῦ Γορδίου.* III, 25, 1 *ἵνα καὶ τὰ βασίλεια — ἦν.* III, 25, 7 *ἵνα τὸ βασίλειον ἦν.* III, 25, 13 *ἵνα τὰ βασίλεια τῶν Ζαραγγαίων ἦν.* Omissum vidimus I, 17, 6 *οὗ τὰ τῶν Λυδῶν βασίλεια.* Duplex *ἦν* si positum esset, non magis offenderet quam in his l. V, 20, 5 *ὧν ἵνα ὀλιγοστοὶ ἦσαν — οὐκ ἐλάττους ἦσαν.*

5. *τῆς — ὡς ἐπὶ Βακτρίους γῆς διαλιπόντι τρεῖς ἡμέρας*] Hoc modo haec scripta leguntur in codd. omnibus Gronovii. In ed. Vulc. legitur *ὡς ἐπὶ Βακτρίων.* Quae verba plane omissa sunt in ed. Blancard. Pro *διαλιπόντι* ed. Bas. habit *διαλειπόντα* (sic). Voluit sine dubio *διαλιπόντα.* Neque vituperanda esset haec scriptura, nisi omnes codices eius existerent adversarii. Simile est enim hoc l. V, 12, 2 *καὶ τούτοις διαβαίνειν παρηγγέλλετο κατὰ μέρος διελόντας τὸν στρατόν.* Plura diximus in ann. ad V, 26, 7. Ceterum compara VI, 5, 14 *τρισὶν ἡμέραις ὑπολειπόμενον ἕπεσθαι ἐκέλευσεν.* — Mox ed. Bas. *τοὺς Νησαίους.*

6. *ὑπὲρ Ἀλεξάνδρου*] „Sic iam locutus fuit auctor in praefatione (§. 2), quum alii soleant dicere *οἱ περὶ Ἀλεξάνδρου ξυγγράψαντες,* ut ipse Strabo XI, p. 508.“ *Gronov.* Quid de talibus tenendum sit, hodie vel non monitus quisque scit. Tu vide Matth. Gr. Gr. ub. p. 1156 coll. Arr. VI, 1, 4. VII, 14, 3. VII, 18, 6. —

ποταμοὺς ἢ ἐν τῷ τότε ποιηθέντων, οὐ πολὺ ἀποδέοντα τῶν δισχιλίων.

III. Ὡς δὲ ξύμπαντα αὐτῷ παρεσκεύαστο, ὑπὸ τὴν ἕω ὁ μὲν στρατὸς ἐπέβαινε τῶν νεῶν, αὐτὸς δὲ ἔθυε τοῖς θεοῖς ὡς νόμος, καὶ τῷ ποταμῷ τῷ Ὑδάσπῃ ὅπως
2 οἱ μάντεις ἐξηγοῦντο. Καὶ ἐπιβὰς τῆς νεὼς ἀπὸ τῆς πρώρας ἐκ χρυσῆς φιάλης ἔσπενδεν ἐς τὸν ποταμόν, τόν τε Ἀκεσίνην ξυνεπικαλούμενος τῷ Ὑδάσπῃ, ὅντινα μέγιστον τῶν ἄλλων ποταμῶν ξυμβάλλειν τῷ Ὑδάσπῃ ἐπέπυστο, καὶ οὐ πόῤῥω αὐτῶν εἶναι τὰς ξυμβολάς, καὶ τὸν Ἰνδὸν ἐς ὅντινα ὁ Ἀκεσίνης ξὺν τῷ Ὑδάσπῃ ἐμβάλ-

---

De superioribus cf. Arr. Hist. Ind. XVIII, 9 τῆς δὲ αὐτοῦ Ἀλεξάνδρου νεὼς κυβερνήτης ἦν Ὀνησίκριτος.

C. III. Ὡς δὲ ξύμπαντα αὐτῷ παρεσκεύαστο] Eandem rem tangens Arrianus Hist. Ind. XVIII, 1 sq. Ἀλέξανδρος γάρ, ἐπειδή οἱ παρεσκεύαστο τὸ ναυτικὸν ἐπὶ τοῦ Ὑδάσπεω τῇσιν ὄχθῃσιν κ. τ. λ. Et XVIII, 11 ὡς δὲ ταῦτα ἐκεκόσμητο Ἀλεξάνδρῳ, ἔθυε τοῖς θεοῖσιν ὅσοι τε πάτριοι ἢ μαντευτοὶ αὐτῷ, καὶ Ποσειδῶνι καὶ Ἀμφιτρίτῃ καὶ Νηρηΐσι καὶ αὐτῷ τῷ Ὠκεανῷ καὶ τῷ Ὑδάσπῃ ποταμῷ.

2. ἔσπενδεν ἐς τὸν ποταμόν] Edd. vett. et quattuor codd. Gronovii ἐπὶ τὸν ποταμόν. Quod cum Schmiedero dedimus, tum firmat cod. F., tum Arrianus ipse I, 11, 10 τῷ Ποσειδῶνι καὶ Νηρηΐσι σπένδειν ἐκ χρυσῆς φιάλης εἰς τὸν πόντον. — Mox dedimus ex ed. Bas. τόν τε Ἀκεσίνην pro vulg. τόν τ' Ἀκεσίνην, iis freti quae diximus in ann. ad V, 28, 5.

ὅντινα μέγιστον τῶν ἄλλων ποταμῶν] „Pro particula τῶν Mss. habent vel αὐτόν vel αὐτῶν, quod placuit Basileae, vel αὖ τῶν, quod praeter alios quoque est in Opt., et sic scribendum est vel ἂν τῶν." Gronov. In tanta librorum manuscriptorum inconstantia nolui mutare quod vulgo editum est; quamquam αὖ τῶν habet quo sese defendat. Cf. III, 7, 13 καὶ ἄλλοι αὖ τῶν προδρόμων προσελάσαντες, ubi all. αὐτῶν. Similiter confusa notavimus αὖ τό et αὐτό I, 9, 6. Sic αὐτῆς male edebatur pro τῆς I, 25, 10. De frequenti usu particulae quae est αὖ vide ann. ad V, 29, 4.

ξυμβάλλειν] Ed. Basil. ξυμβαλεῖν. Minus apte. Cf. V, 5, 3 κατὰ δὲ Βακτρίους ξυμβάλλειν τῷ Παραπαμίσῳ ὄρει. Ac semper in talibus infinitivo s. participio praesentis opus esse res est notissima. Inde dixit Arrianus VI, 20, 2 ἵναπερ ἐσχίζετο ὁ ποταμός.

λει. Ἐπεὶ δὲ Ἡρακλεῖ τε τῷ προπάτορι σπείσας καὶ 3
Ἄμμωνι καὶ τοῖς ἄλλοις θεοῖς ὅσοις αὐτῷ νόμος, σημῆ-
ναι ἐς ἀναγωγὴν κελεύει τῇ σάλπιγγι· ἅμα τε δὴ ἐση-
μάνθη καὶ ἀνήγοντο ἐν κόσμῳ. Παρήγγελτο γὰρ ἐφ' 4
ὅσον τε τὰ σκευοφόρα πλοῖα ἐχρῆν τετάχθαι καὶ ἐφ'
ὅσον τὰ ἱππαγωγά, ἐφ' ὅσον τε τὰς μαχίμους τῶν νεῶν,
ὡς μὴ συμπίπτειν ἀλλήλαις κατὰ τὸν πόρον εἰκῇ πλεού-
σας· καὶ ταῖς ταχυναυτούσαις φθάνειν οὐκ ἐφίετο ἔξω τῆς
τάξεως. Ἦν δὲ ὅ τε κτύπος τῆς εἰρεσίας οὐδενὶ ἄλλῳ 5
ἐοικώς, ἅτε ἀπὸ πολλῶν νεῶν ἐν ταὐτῷ ἐρεσσομένων, καὶ
βοὴ ἀπό τε τῶν κελευστῶν, ἐνδιδόντων τὰς ἀρχάς τε καὶ

---

3. *Ἐπεὶ δὲ — σπείσας*] *Cum Herculi progenitori libasset.* Ceterum animadverte constructionem perversam. Aut enim dicendum erat *ἐπεὶ δέ — ἔσπεισεν*, aut *σπείσας δέ —*. Gemina exempla non habeo, similia plura. II, 14, 2 *ἐδήλου ὅτι — πέμψαι.* III, 26, 1 *λέγει ὅτι προηγγελμένην.* Vide ann. ad II, 16, 8. Matth. Gr. Gr. ub. p. 1094. Goell. ad Thucyd., I, p. 99 sq. — Infra pro *κελεύει* solus cod. F. *σημαίνει.* Inepte.

ἐφ' ὅσον] Ed. Basil. *ἐφ' ὅσων.* — Mox eadem ed. *ταχυνούσαις.* Verbum *ταχυναυτῆσαι* habes I, 19, 17. II, 21, 1. VII, 7, 4.

5. *ἐνδιδόντων τὰς ἀρχάς τε καὶ ἀναπαύλας τῇ εἰρεσίᾳ*] Sic omnes edd. ante Schmiederum et quattuor codd. Gronovii. *τῆς εἰρεσίας* Schmiederus e cod. F. Satis aptam hanc alteram scripturam esse quisque viderit. Num autem ita comparata est ut alteri statim anteferatur? Dativum enim sive refers ad *ἐνδιδόντων*, sive ad *ἀναπαύλας*, fere idem erit. Equidem tamen referam ad verbum *ἐνδιδόντων.* Cf. V, 25, 5 *πρὶν καὶ προελθεῖν ἐπὶ μεῖζον τὴν ταραχὴν τοῖς στρατιώταις.* VI, 17, 5 *παραγγείλας παρασκευάζειν ὅσα ἐς ὑποδοχὴν τῇ στρατιᾷ.* Vide ann. ad I, 11, 13. III, 3, 8. 10. De dativo a substantivo pendente consule Schaef. et Pors. ad Eurip. Phoenn. v. 948.

ἐνδιδόντων — ἐπαλαλάξειαν] Animo fortasse obversabatur hic locus Suidae cum scribebat s. v. *ἐνδόσιμον· οἱ δὲ κελευσταὶ τοῖς ἐρέταις τὸ ἐνδόσιμον ἐνέδοσαν· οἱ δὲ ἐπὶ τῇ ἐνδόσει ἀθρόοι τῷ ῥοθίῳ ἐπηλάλαξαν.* Idem fere repetitum legitur s. v. *κελευστής*, ubi tamen ante *τὸ ἐνδόσιμον* inserta sunt verba *καθ' ἑκάστην ναῦν.* Cf. fragmentum Arriani apud Suid. s. v. *ῥόθιον· κτύπος τε ῥοθίου καὶ χρεμετισμὸς ἵππων ἀλλήλοις ἀντεπατάγει.* Arr. Hist. Ind. c. XXX, 4 *καὶ ἐπαλαλάζοντες ὁμοῦ τῷ ῥοθίῳ.*

ἀναπαύλας τῇ εἰρεσίᾳ, καὶ τῶν ἐρετῶν ὁπότε ἀθρόοι
6 ἐμπίπτοντες τῷ ῥοθίῳ ἐπαλαλάξειαν· αἵ τε ὄχθαι ὑψηλότεραι τῶν νεῶν πολλαχῇ οὖσαι, ἐς στενόν τε τὴν βοὴν ξυνάγουσαι καὶ τῇ ξυναγωγῇ αὐτῇ ἐπὶ μέγα ηὐξημένην ἐς
7 ἀλλήλας ἀντέπεμπον· καί που καὶ νάπαι ἑκατέρωθεν τοῦ ποταμοῦ τῇ τε ἐρημίᾳ καὶ τῇ ἀντιπέμψει τοῦ κτύπου καὶ
8 αὗται ξυνεπελάμβανον· οἵ τε ἵπποι διαφαινόμενοι διὰ τῶν ἱππαγωγῶν πλοίων, οὐ πρόσθεν ἵπποι ἐπὶ νεῶν ὀφθέντες ἐν τῇ Ἰνδῶν γῇ (καὶ γὰρ καὶ τὸν Διονύσου ἐπ' Ἰνδοὺς στόλον οὐκ ἐμέμνηντο γενέσθαι ναυτικόν), ἔκπληξιν παρεῖχον τοῖς θεωμένοις τῶν βαρβάρων, ὥστε οἱ μὲν αὐτῶν αὐτόθεν τῇ ἀναγωγῇ παραγενόμενοι ἐπὶ πολὺ ἐφω-
9 μάρτουν. Ἐς ὅσους δὲ τῶν ἤδη Ἀλεξάνδρῳ προσκεχωρηκότων Ἰνδῶν ἡ βοὴ τῶν ἐρετῶν ἢ ὁ κτύπος τῆς εἰρεσίας

---

6. *πολλαχῇ*] Ed. Basil. *πολλαχῇ*. At vide ann. ad V, 24, 6.

7. *τῇ τε ἐρημίᾳ*] Ita recte ed. Basil. *τῇ τ' ἐρημίᾳ* primus Vulcanius, quem secuti sunt recentiores editores. Pro *ἐρημίᾳ* Vulcanio in mentem venit scribere *εἰρεσίᾳ*. Sed vix puto cuiquam probabilem videri talem lectionis vulgatae mutationem.

8. *οὐ πρόσθεν ἵπποι — γῇ*] Haec verba inde a Vulcanio parentheseos signis inclusa fuere una cum sequentibus *καὶ γάρ — ναυτικόν*, quibus etiamnunc vincula iniici curavimus. Nos veriorem verborum distinctionem secutos esse cum alia demonstrant, tum certissimum fit ex his simillimis III, 16, 18 *κατέστησε δὲ καὶ λόχους —, οὐ πρόσθεν ὄντας λόχους ἱππικούς* coll. ann. ad V, 15, 10. — Infra ed. Bas. *τὸν Διόνυσον*.

ἔκπληξιν παρεῖχον τοῖς θεωμένοις] Dignus est qui comparetur locus Thucyd. VI, 46 *μεγάλην τὴν ἔκπληξιν τοῖς ἐκ τῶν τριήρων Ἀθηναίοις παρεῖχε* et Arriani I, 9, 3 *οὔτε αὐτοῖς τοῖς παθοῦσιν ἴσην τὴν αἴσθησιν — προσέθηκεν, οὔτε τοῖς ἄλλοις Ἕλλησι τὴν ἐπὶ τῷ πάθει ἔκπληξιν ὁμοίαν παρέσχε*. — Paulo infra ed. Bas. *ἐπιπολύ*.

οἱ μὲν αὐτῶν αὐτόθεν] Sic cod. F. et ex eo Schmiederus. *οἱ μὲν αὐτόθεν* edd. vett. et quattuor codd. Gronovii. Male. Vide I, 15, 1. I, 19, 5. I, 23, 3. II, 22, 6. IV, 27, 2. VI, 9, 9. VI, 19, 4, et quae simillima sunt I, 15, 4 *ὅσοι γε μὴ πρὸς Ἀλέξανδρον πελάζοντα ἀπέκλιναν αὐτῶν*. II, 24, 4 *καὶ Ἀλέξανδρος ξὺν τοῖς ὑπασπισταῖς — τοὺς μὲν αὐτοῦ μαχομένους διέφθειρεν αὐτῶν*,

ἐξίκετο, καὶ οὗτοι ἐπὶ τῇ ὄχθῃ κατέθεον καὶ ξυνείποντο ἐπᾴδοντες βαρβαρικῶς. Φιλῳδοὶ γὰρ εἴπερ τινὲς ἄλλοι Ἰνδοὶ καὶ φιλορχήμονες ἀπὸ Διονύσου ἔτι καὶ τῶν ἅμα Διονύσῳ βακχευσάντων κατὰ τὴν Ἰνδῶν γῆν.

IV. *Οὕτω δὴ πλέων τρίτῃ γε ἡμέρᾳ κατέσχεν ἵναπερ Ἡφαιστίωνί τε καὶ Κρατερῷ κατὰ τὸ αὐτὸ στρατοπε-*
δεύειν ἐπὶ ταῖς ἀντιπέραν ὄχθαις παρήγγελτο. Μείνας 2
δὲ ἐνταῦθα ἡμέρας δύο, ὡς καὶ Φίλιππος αὐτῷ ξὺν τῇ λοιπῇ στρατιᾷ ἀφίκετο, τοῦτον μὲν ἐπὶ τὸν Ἀκεσίνην ποταμὸν ἐκπέμπει ξὺν οἷς ἔχων ἧκε, τάξας παρὰ τοῦ Ἀκεσίνου ποταμοῦ τὴν ὄχθην πορεύεσθαι· τοὺς δ' ἀμφὶ Κρατερόν τε καὶ Ἡφαιστίωνα αὖθις ἐκπέμπει, παραγ-
γείλας ὅπως χρὴ τὴν πορείαν ποιεῖσθαι. Αὐτὸς δ' ἔπλει 3
κατὰ τὸν Ὑδάσπην ποταμὸν οὐδαμοῦ μείονα ἐν τῷ κατά-

τοῖς δὲ — ἐφείπετο. **III, 14, 9** *πολλοὺς μὲν αὐτῶν αὐτοῦ — ἀπέκτειναν.* **V, 18, 4** *ὅσοι γε αὐτῶν αὐτοῦ μὴ ἀπέθανον.* **V, 26, 1** *ὅτι μὴ αὐτοὺς τοὺς πόνους, ὅσοι αὐτῶν ἐς καλὰ ἔργα φέρουσιν.* **VI, 5, 2** *τὰ μὲν δὴ στρογγύλα πλοῖα, ὅσα καὶ ἔτυχεν αὐτῶν περιστραφέντα.* **Hist. Ind. I, 4** *ὅσοι ἀπόμαχοι αὐτῶν ἐγένοντο.* **Idem pronomen omissum vidimus apud Xenoph. Anab. I, 1, 7.**

10. *εἴπερ τινὲς ἄλλοι*] **Ed. Bas.** *ἤπερ τινὲς ἄλλοι.*

C. IV. *ἵναπερ Ἡφαιστίωνι — παρήγγελτο*] **Interpretamenti instar sunt quae leguntur in Indicis c. XIX, 1** *ὡς δὲ πάντα ἐξήρτυτο ἐς ἀναγωγήν, Κρατερὸν μὲν τὰ ἐπὶ θάτερα τοῦ Ὑδάσπεω ἰέναι σὺν τῇ στρατιῇ ἐκέλευσε πεζικῇ τε καὶ ἱππικῇ· ἐς τὸ ἐπὶ θάτερα δὲ Ἡφαιστίων αὐτῷ παρεπορεύετο, σὺν ἄλλῃ στρατιῇ πλείονι ἔτι τῆς τῷ Κρατερῷ συντεταγμένης. — Τοῖς μὲν δὴ ἀμφὶ Κρατερὸν καὶ Ἡφαιστίωνα ἐτέτακτο ἵνα προπορευθέντες ὑπομένοιεν τὸν στόλον.* — **De significatione particulae** *γὲ* **in formula** *τρίτῃ γε ἡμέρᾳ* **vide Herm. ad Vig. p. 826.**

2. *ὡς καὶ Φίλιππος αὐτῷ ἀφίκετο*] **Cf. Hist. Ind. c. XIX, 4** *Φίλιππον δὲ ὅς αὐτῷ σατράπης τῆς χώρης ταύτης ἦν, ἐπὶ τοῦ Ἀκεσίνου τὰς ὄχθας ἐκπέμπει.* — **Infra ed. Bas.** *τοὺς δὲ ἀμφί* **et** *αὐτὸς δὲ ἔπλει.*

3. *τοὺς προσοικοῦντας τῷ Ὑδάσπῃ Ἰνδούς*] **Schmiederus ex auctoritate codicum Gronovii et edd. Venet. ac. Basil. dedit** *Ἰνδῶν.* **Accusativum** *Ἰνδούς* **primus induxit Vulcanius. Nec mutarunt eum Blanc. Gronov. Raphel. Ac mihi quidem solus hic accusativus verus esse videtur. Librarios passim omnes errasse in praefa-**

πλῳ εἴκοσι σταδίων τὸ εὖρος. Προσορμιζόμενος δὲ ὅπῃ τύχοι ταῖς ὄχθαις, τοὺς προσοικοῦντας τῷ Ὑδάσπῃ Ἰνδοὺς τοὺς μὲν ἐνδιδόντας σφᾶς ὁμολογίαις κατελάμβανεν· ἤδη δέ τινας καὶ ἐς ἀλκὴν χωρήσαντας βίᾳ κατεστρέψατο.
4 Αὐτὸς δ' ὡς ἐπὶ τὴν Μαλλῶν τε καὶ Ὀξυδρακῶν γῆν σπουδῇ ἔπλει, πλείστους τε καὶ μαχιμωτάτους τῶν ταύτῃ Ἰνδῶν πυνθανόμενος καὶ ὅτι ἐξηγγέλλοντο αὐτῷ παῖ-

tione demonstravimus. Quid igitur est quod hoc loco eos verae scripturae auctores censeamus? Nonne dixit Arrianus III, 23, 12 *τὴν χώραν δὲ ὅσην διαπεπορευμένοι ἦσαν, τὴν μὲν βίᾳ, τὴν δὲ ἐνδιδόντων τῶν κατοικούντων προσπεποιημένοι.* III, 25, 12 *Ἀλέξανδρος δὲ ὅσους — κατέμαθε, τούτους δὲ* (all. *τούτων δέ*) *τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ ἠνδραπόδισε.* VI, 27, 4 *τοὺς δὲ ἀποκτείναντας — τοὺς μὲν — τοὺς δὲ ἀπέκτεινε* —? Vide ad III, 25, 12 et V, 20, 15. Alia iam res esset, si in codicibus scriptum exstaret *τῶν Ἰνδῶν*: quamquam si hoc dicere voluisset, Arrianus non dubito quin scripturus fuisset *τῶν προσοικούντων τῷ Ὑδάσπῃ Ἰνδῶν* vel *τῶν Ἰνδῶν τοὺς τῷ Ὑδάσπῃ προσοικοῦντας.* Articulum autem in genitivo partitivo Arrianum positurum fuisse documento sunt tum multi alii loci, tum hi I, 13, 1 *ἀναλαμβάνων τῶν Περσῶν τοὺς διασωθέντας.* I, 10, 8 *τοὺς ταύτῃ τεταγμένους τῶν Περσῶν.* III, 12, 3 *τῶν Ἀγριάνων οἱ ἡμίσεες.* III, 28, 1 *ἐπῆλθε δὲ — τῶν Ἰνδῶν τοὺς προσχώρους.* V, 15, 6 *πρὸς τὸ καρτερώτατον τῶν Μακεδόνων.* VI, 9, 8 *τοὺς μὲν ὤθει εἴσω τοῦ τείχους τῶν Ἰνδῶν.* Paulo aliter habent haec l. I, 17, 3 *καὶ Σαρδιανῶν οἱ δυνατώτατοι.* cf. VI, 15, 2 *οἳ δὴ ἄλλο ἔθνος Ἰνδῶν αὐτόνομον.* — Ceterum vide quae obiter tantum de hac expeditionis parte Arrianus narrat in Indicis c. XIX, 8.

4. *Αὐτὸς δ' ὡς*] Ed. Basil. *αὐτὸς δὲ.* „Si omnia sana sunt, negligentius hoc capite scripsit Arrianus. Supra enim sect. 3 dicit: *αὐτὸς δ' ἔπλει κατὰ τὸν Ὑδάσπην ποταμόν.* Mox sect. 4 iterum incipit *αὐτὸς δ' ὡς ἐπὶ τὴν Μαλλῶν γῆν σπουδῇ ἔπλει*; quod offendit. Intelligitur tamen quid velit auctor. Dicit enim: Alexander navigabat in Hydaspe et subjiciebat accolas; navigabat autem celerius, quia Mallos et Oxydracas proelium parare audiverat.“ *Schmied.* Sana omnia sunt. Sed Arrianum paulo negligentius h. l. iunxisse enunciata libere confiteor. Nec tamen hic unicus est locus ubi negligentiae reum videmus Arrianum. Cf. I, 17, 3 *αὐτὸς δὲ ἐπὶ Σάρδεων προὐχώρει* et §. 4 *Ἀλέξανδρος δὲ κατεστρατοπέδευσεν.* I, 14, 9. 10 *Ἀλέξανδρος δέ — αὐτὸς δέ.* II, 11, 7 *ὁ δὲ καὶ τὸ τόξον ἀπολείπει ἐπὶ τοῦ ἅρματος, αὐτὸς δὲ ἵππου ἐπιβὰς*

δας μὲν καὶ γυναῖκας ἀποτεθεῖσθαι ἐς τὰς ὀχυρωτάτας τῶν πόλεων, αὐτοὶ δὲ ἐγνωκέναι διὰ μάχης ἰέναι πρὸς αὐτόν· ἐφ᾽ ὅτῳ δὴ καὶ σπουδῇ πλείονι ἐποιεῖτο τὸν 5
πλοῦν, ὅπως μὴ καθεστηκόσιν αὐτοῖς, ἀλλὰ ἐν τῷ ἐνδεεῖ τε ἔτι τῆς παρασκευῆς καὶ τεταραγμένῳ προσφέρηται. Ἔνθεν δὲ ὡρμήθη τὸ δεύτερον, καὶ πέμπτῃ ἡμέρᾳ 6
ἀφίκετο ἐπὶ τὴν ξυμβολὴν τοῦ τε Ὑδάσπου καὶ τοῦ Ἀκε-

ἔφευγε. V, 8, 9 αὐτὸς δὲ ᾔει — καὶ Ἀλέξανδρος κατεστρατοπέδευσεν. VI, 20, 7 καὶ αὐτὸς προσορμισθεὶς — ᾔει — κελεύων, αὐτὸς μὲν δὴ ἐπανελθὼν — ἀνέπλει.

τὴν Μαλλῶν] Ed. Bas. Μαλῶν. Eiusdem erroris eadem editio crimen non fugit Diodor. Sic. XIX, 56, 79 cet. — Mox omnes edd. vitiose Ὀξυδράκων.

5. ἐν τῷ ἐνδεεῖ τε — καὶ τεταραγμένῳ] Adiectiva et participia haud raro pro substantivis usurpata esse optimis quibusque Graecis scriptoribus inter alios monuerunt Lobeck. ad Aiac. Soph. p. 277. Popp. de elocut. Thucyd. p. 100. Goell. ad Thucyd. V, 9, t. II, p. 13. Cf. Arr. II, 17, 7 μετὰ τοῦ ἐς τὰ οἴκοι ἀσφαλοῦς. V, 7, 12 καὶ τὸ τεταγμένον ἐν τῷ δρωμένῳ οὐκ ἄπεστιν. Cf. Thucyd. III, 10 τὸ διαλλάσσον τῆς γνώμης. VI, 24 τὸ ἐπιθυμοῦν τοῦ πλοῦ. Pausan. I, 28, 8 ἐν ἀφανεῖ τῆς πόλεως.

6. Ἔνθεν δὲ ὡρμήθη — καὶ — ἀφίκετο] „Sic legitur in editt. omnibus. Facius vertit: *sexto die eo pervenit ubi Hydaspes in Acesinem se ingerit*; reliqua neglexit Facius. Vulcanius: *itaque rursus movit et quinto die ad confluentem Hydaspis et Acesinis pervenit.* Neuter bene. Sed ne multis morer, copulam καὶ uncis inclusi, tanquam mala manu insertam, et verto: *Unde vero* vel *ex eo vero loco*, unde *secunda vice classem promovit, quinto die pervenit ad Hydaspae et Acesinae confluentes.*" *Schmied.* Nonne mecum miraris Schmiederum qui summo studio Arrianeae narrationi caliginem offuderit? Vulcanius verum vidit. Nec, puto, Schmiederus in hoc loco offensurus fuisset, si Arrianus scripsisset: ἔνθεν δὲ ὁρμηθεὶς τὸ δεύτερον πέμπτῃ ἡμέρᾳ ἀφίκετο, ut I, 7, 7 ἔνθεν δὲ ὁρμηθεὶς ἕκτῃ ἡμέρᾳ ἐσβάλλει ἐς τὴν Βοιωτίαν. I, 11, 7 ἔνθεν δὲ ἐπὶ τὸν Ἕβρον ἀφικόμενος διαβαίνει καὶ τὸν Ἕβρον εὐπετῶς. Sed si pro participio tempore uti voluit finito Arrianus, nonne tum in initio secundi enunciati καί poneretur necesse erat? Velut si I, 7, 7 pro ὁρμηθείς scribere voluit ὡρμήθη, tota orationis series ita erat conformanda: ἔνθεν δὲ ὡρμήθη καὶ ἕκτῃ ἡμέρᾳ ἐσβάλλει. Id tamen monendum est, in hac verborum conjunctione alias ubique

7 *σίνου· ἵνα δὲ ξυμβάλλουσιν οἱ ποταμοὶ οὗτοι, στενώτα-*
τος εἷς ποταμὸς ἐκ τοῖν δυοῖν γίγνεται, καὶ τὸ ῥεῦμα
αὐτῷ ὀξὺ ἐπὶ τῇ στενότητι, καὶ δῖναι ἄτοποι ὑποστρέ-
φοντος τοῦ ῥοῦ· καὶ τὸ ὕδωρ κυμαίνεταί τε καὶ καχλάζει
ἐπὶ μέγα, ὡς καὶ πόῤῥω ἔτι ὄντων ἐξακούεσθαι τὸν
8 *κτύπον τοῦ κύματος. Καὶ ἦν μὲν προεξηγγελμένα ταῦτα*
Ἀλεξάνδρῳ ἐκ τῶν ἐγχωρίων καὶ Ἀλεξάνδρου τῇ στρατιᾷ·
9 *ὅμως δ' ἐπειδὴ ἐπέλαζεν αὐτῷ ταῖς ξυμβολαῖς ὁ στρατός,*
ἐς τοσόνδε ὁ ἀπὸ τοῦ ῥοῦ κτύπος κατεῖχεν, ὥστε ἐπέ-

---

reperiri participium in initio enuntiati positum. Vide locos ad III, 24, 6 citatos et, si pluribus exemplis opus videatur, Hist. Ind. XXI, 4. XXII, 4. XXIV, 1. XXVII, 3. 7. XXIX, 1. 4. 7. XXXII, 6. XXXVIII, 5. 7. XXXIX, 1. 3. 7. XLI, 2 cet.

7. *ἵνα δὲ ξυμβάλλουσιν*] Mediam vocem male omisit ed. Bas. — Mox pro *δῖναι* omnes edd. praeter Basil. *δίναι*. Vide, si tanti est, Spitzn. prosod. p. 78, 2, d. — Ceterum obversatus esse potest hic locus Suidae cum scribebat s. v. *δινήσας· Ἀῤῥιανός· δῖναί τέ εἰσιν ὅπη ἀτόπως ἐπιστρέφουσαι.*

9. *ἐκσιωπησάντων*] *quod hortatores ipsi prae admiratione prorsus conticescerent.* Similiter intendit verbi simplicis vim praepositio *ἐκ* in verbo *ἐκνικῆσαι* Hist. Ind. XX, 2 *ἀλλὰ ἐκνικῆσαι γὰρ αὐτῷ τὴν ἐπιθυμίαν.* Vide Reisig. Enarr. Oed. Colon. p. XXXI. — Vocem *μετέωρος* illustravit Dorv. ad Charit. p. 407. — Supra ed Basil. *ὅμως δὲ ἐπειδή.*

C. V. *ὡς βεβαιοτάτῃ εἰρεσίᾳ χρωμένους*] Edd. ante Gronovium et quattuor codd. *ὡς βιαιοτάτῃ.* „Voces sunt satis opportune et frequenter ab antiquis Graecis coniunctae. Lucianus de veris narrat. (I, 5) *καὶ τὴν ναῦν, ἄκατος δ' ἦν, ὡς πρὸς μέγαν καὶ βίαιον πλοῦν ἐκρατυνάμην.* Apollonius Rhodius II, 594 *ἐπεγνάμπτοντο δὲ κῶπα, Ἠΰτε καμπύλα τόξα, βιαζομένων ἡρώων.* Ubi scholiastes: *τὸ βίαιον τῆς εἰρεσίας δηλῶν.* Tacit. Ann. XII, 58 *ad vim remigii, gubernantium artes, impetus navium.* Itaque id quoque interpretatur plane Curtius IV, 9, 3 *Ingenti certamine concitant remos, quantaque vis humana esse poterat admota est.* Sed tamen unus mihi sufficit cod. Optimus, ut persuadear Arrianum scripsisse *βεβαιοτάτῃ*, quod in eo solo ex Florentinis (etsi et Augustano idem notarit Vulcanius) legitur; tum si addatur usus latinae vocis *firmus*, prout ea Latinos uti docuit Pater meus ad Liv. XXIII, 25, quae huic nostro respondet, credo et persuadebuntur alii. Eleganter *βεβαιότητα* hanc

στησαν τὰς εἰρεσίας οἱ ναῦται, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ τῶν τε κελευστῶν ὑπὸ θαύματος ἐκσιωπησάντων καὶ αὐτοὶ μετέωροι πρὸς τὸν κτύπον γενόμενοι.

V. Ὡς δ' οὐ πόῤῥω τῶν ξυμβολῶν ἦσαν, ἐνταῦθα δὴ οἱ κυβερνῆται παραγγέλλουσιν ὡς βεβαιοτάτῃ εἰρεσίᾳ χρωμένους ἐξελαύνειν ἐκ τῶν στενῶν, τοῦ μὴ ἐμπιπτούσας τὰς ναῦς ἐς τὰς δίνας ἀναστρέφεσθαι πρὸς αὐτῶν, ἀλλὰ κρατεῖν γὰρ τῇ εἰρεσίᾳ τῶν ἐπιστροφῶν τοῦ ὕδατος. Τὰ μὲν δὴ στρογγύλα πλοῖα ὅσα καὶ ἔτυχεν αὐτῶν 2

---

expressit idem Curtius IV, 3, 18. *Remis pertinacius everberatum mare velut eripientibus navigia classicis cessit.* Sed convenientissime Velleius II, 84 *hinc remiges firmissimi.*" *Gronov.* Utram scripturam veriorem ac magis commodam censeam, hodie quidem nescio. Peritioribus litem relinquam dirimendam. Ut autem certior fias de eo quod Arriano placuit, considera haec exempla. II, 9, 6 καὶ ὡς βιαιότατα ἅμα ταῖς τριήρεσιν ἐπανελκύσαντες τὴν ναῦν. Thucyd. IV, 31 εἰ καταλαμβάνοι ἀναχώρησις βιαιοτέρα. Contra II, 23, 7 ἐπειδὴ πρῶτον βεβαίῳ τε καὶ ἅμα οὐ πάντῃ ἀποτόμῳ τῇ προσβάσει ἐχρήσαντο. IV, 26, 23 βεβαιότερον ἤδη εἴργοντο τῆς χώρας. Et huc trahas forsitan II, 21, 14 καὶ ἅμα τῇ εἰρεσίᾳ ξυντόνῳ ἐπεφέροντο. De confusione vocabulorum βίαιος et βέβαιος egit Walz. Ep. crit. p. 53 et ante eum Dorv. ad. Charit. p. 315.

τοῦ μή] Ed. Basil. τοὺς μή — Supra eadem ὡς δὲ οὐ πόῤῥω.

2. ὅσα καὶ ἔτυχεν] Ed. Basil. ὅσῳ καὶ ἔτυχεν.

συνταράξαντα] Sic cod. F. et ex eo Schmiederus. ταράξαντα edd. vett. cum quattuor codd. Gronovii. Quod hoc loco minus place. Verbum tamen compositum alibi apud Arrianum legere non memini. At cf. Herod. IX, 49 τήν τε κρήνην συνετάραξαν — καὶ συνέχωσαν. Et metaphorice *de legibus conversis* dixit Thucyd. II, 52 νόμοι τε πάντες ξυνεταράχθησαν. De *animo perturbato* Herod. I, 44 Κροῖσος τῷ θανάτῳ τοῦ παιδὸς συντεταραγμένος.

κατέστη ἐς εὐθύ] „Vertendum existimo: *constiterunt in rectum ab ipso fluctu adiuta* (imo *directa*). Navis enim καθίσταται ἐς εὐθύ, hoc est, ut navis vel non inclinet in latera, ut hoc loco, et in aliquam partem vergat, vel ut procedat solito ac decenti more, prora nimirum antecedente puppim: ex quibus postremum clarissime sic explicat auctor ipse V, 7, 9 αἱ νῆες ἀφίενται οὐκ ἐπ' εὐθύ, ἀλλὰ καθάπερ αἱ πρύμναν κρουόμεναι. Apparet εὐθύ hic non notare *recta*, ut interpretatur Vulcanius, sed *suetum ad modum*, ut prora

περιστραφέντα πρὸς τοῦ ῥοῦ, οὐδέν τι παθόντα ἐν τῇ ἐπιστροφῇ, ὅτι μὴ συνταράξαντα τοὺς ἐμπλέοντας, κα-
3 τέστη ἐς εὐθὺ πρὸς αὐτοῦ τοῦ ῥοῦ ὀρθωθέντα· αἱ δὲ μακραὶ νῆες οὐχ ὡσαύτως ἀπαθεῖς ἀπῆλθον ἐν τῇ ἐπιστροφῇ, οὔτε μετέωροι ἐπὶ τοῦ καχλάζοντος κύματος ὡσαύτως οὖσαι, ὅσαι τε δίκροτοι αὐτῶν, τὰς κάτω κώ-
4 πας οὐκ ἐπὶ πολὺ ἔξω ἔχουσαι τοῦ ὕδατος· καὶ αἱ κῶπαι δὲ αὐτοῖς πλαγίοις ἐν ταῖς δίναις γενομένοις συνετρίβοντο, ὅσων γε ἐγκατελήφθησαν ὑπὸ τοῦ ὕδατος οὐ φθα-
5 σάντων αὐτὰς μετεωρίσαι· ὡς πολλὰς μὲν πονῆσαι τῶν νεῶν, δύο δὲ περιπεσούσας ἀλλήλαις αὐτάς τε διαφθα-
6 ρῆναι καὶ τῶν ἐμπλεόντων ἐν αὐταῖς πολλούς. Ὡς δ' ἐς πλάτος ἤδη ὁ ποταμὸς διέσχεν ἐνταῦθα, δὴ ὅ τε ῥοῦς οὐκέτι ὡσαύτως χαλεπὸς ἦν καὶ αἱ δῖναι οὐχ ὁμοίᾳ τῇ βίᾳ
7 ἐπέστρεφον· προσορμίσας οὖν τῇ ἐν δεξιᾷ ὄχθῃ ὁ Ἀλέξ-

---

antecedat." *Gronov.* Ad constructionem confer Herod. VII, 158 *ἀλλὰ εὖ γὰρ ἡμῖν καὶ ἐπὶ τὸ ἄμεινον κατέστη.* Explicationi sunt quae leguntur apud Suid. s. v. *δινήσας· δῖναί τέ εἰσιν ὅπη ἀτόπως ἐπιστρέφουσαι, ὡς μὴ πρόσθεν ἐμπίπτειν χρῆναι τὴν ἑπομένην τῇ προπλεούσῃ νηΐ, ἢ τὴν φθάνουσαν τῇ ἄγαν εἰρεσίᾳ ἐκ τῆς δίνης ἐξελαθεῖσαν εἰς εὐθὺ τοῦ πλοῦ καταστῆναι.*

3. *ἐπὶ τοῦ καχλάζοντος κύματος*] Edd. vett. et quattuor codd. Gronovii *ἐπὶ τοῦ ἐπικαχλάζοντος κύματος.* Quod dedimus, exhibet cod. F. Et recte, puto. Vide Arr. V, 20, 13 *καθ' ὧν φερόμενον βίᾳ τὸ ὕδωρ κυμαίνεσθαί τε καὶ καχλάζειν.* VI, 4, 7 *τὸ ὕδωρ κυμαίνεταί τε καὶ καχλάζει ἐπὶ μέγα.* Cf. Aeschyl. Sept. cont. Theb. v. 110 *κῦμα δοχμολόφων ἀνδρῶν καχλάζει.* v. 758. *ὃ — περὶ πρύμναν καχλάζει.* Consule Blomf. ad Aesch. Prometh. v. 90. Quomodo factum esse possit ut a librariis inferretur forma *ἐπικαχλάζοντος,* demonstrasse nobis videmur similibus exemplis ad II, 2, 10. — Supra ed. Basil. *ἀπαθεῖς ἦλθον.*

4. *ὅσων γε ἐγκατελήφθησαν*] Ed. Basil. *ὅσον γε ἐγκατελήφθη.* Vitium apertum est. Totum hoc enunciatum recte ita interpretatus est Raphelius: *et quaecunque illarum biremes erant, quarum inferiores remi parum admodum supra undas eminent, illarum etiam remi, cum ipsi transversi in vorticibus haererent, confringebantur quorum quidem* (remi) *ab aqua occupabantur, ni citius eos elevassent.*

6. *ὡς δ' ἐς πλάτος*] Ed. Bas. *ὡς δὲ ἐς πλάτος,* nescio an rectius. — Mox omnes edd. praeter Basil. *αἱ δίναι.*

ανδρος τὸν στρατόν, ἵνα σκέπη τε ἦν τοῦ ῥοῦ καὶ προσ-
βολὴ ταῖς ναυσί, καί τις καὶ ἄκρα τοῦ ποταμοῦ ἐπιτη-
δείως ἀνεῖχεν ἐς τῶν ναυαγίων τε τὴν ξυναγωγὴν καὶ εἴ
τινες ἐπ᾽ αὐτῶν ζῶντες ἔτι ἐφέροντο, τούτους τε διέσωσε· 8
καὶ ἐπισκευάσας τὰς πεπονηκυίας τῶν νεῶν Νέαρχον μὲν
καταπλεῖν κελεύει, ἔστ᾽ ἂν ἀφίκηται ἐπὶ τὰ ὅρια τοῦ
Μαλλῶν ἔθνους· αὐτὸς δὲ τῶν βαρβάρων τῶν οὐ προσ- 9
χωρούντων καταδρομὴν τῆς χώρας ποιησάμενος, καὶ κω-
λύσας ἐπικουρῆσαι αὐτοὺς τοῖς Μαλλοῖς, οὕτω δὴ αὖθις
ξυνέμιξε τῷ ναυτικῷ. Καὶ ἐνταῦθα Ἡφαιστίων τε αὐτῷ 10
καὶ Κρατερὸς καὶ Φίλιππος ξὺν τοῖς ἀμφ᾽ αὐτοὺς ὁμοῦ
ἤδη ἦσαν. Ὁ δὲ τοὺς μὲν ἐλέφαντας καὶ τὴν Πολυσπέρ- 11
χοντος τάξιν καὶ τοὺς ἱπποτοξότας καὶ Φίλιππον ξὺν τῇ
ἀμφ᾽ αὐτὸν στρατιᾷ διαβιβάσας τὸν Ὑδάσπην ποταμόν,
Κρατερῷ ἄγειν προσέταξε· Νέαρχον δὲ ξὺν τῷ ναυτικῷ 12

---

7. *ἐπ᾽ αὐτῶν*] Ed. Basil. *ἐξ αὐτῶν.* Perperam. — Infra eadem *Μαλῶν* et *Μαλοῖς.*

9. *καταδρομὴν τῆς χώρας ποιησάμενος*] Similiter dixit Dionys. Halicarn. VIII, 12 *ὡς ἐξηγγέλθη ἡ καταδρομὴ τῆς χώρας.* Vide ann. ad VI, 20, 4.

10. *ἀμφ᾽ αὐτούς*] Ed. Basil. *ἀμφ᾽ αὑτούς.* Et videtur hoc loco utrumque probari posse. Ceterum vide ann. ad I, 2, 3.

11. *καὶ τὴν Πολυσπέρχοντος τάξιν*] Ita edd. Basil. Blanc. Gron. Raphel. *Πολυπέρχοντος* edd. Vulc. et Schmied. At vide ann. ad II, 12, 3.

διαβιβάσας τὸν Ὑδάσπην ποταμόν] Fuit cum scriptum mallem *διαβὰς τὸν Ὑδάσπην ποταμόν,* ut accusativi *τοὺς μὲν ἐλέφαντας* cet. penderent a verbis *ἄγειν προσέταξε.* Nusquam enim alibi verbum *διαβιβάσαι* cum nudo accusativo *rei per quam quis traiicitur* constructum reperi. Cf. I, 11, 9 *καὶ τὴν ἵππον διαβιβάσαι ἐτάχθη ἐκ Σηστοῦ ἐς Ἄβυδον.* I, 18, 9 *τοὺς Θρᾷκας διαβιβάσας — ἐς αὐτήν.* II, 8, 8 *διαβιβάζει πέραν τοῦ ποταμοῦ* (ut apud Xenoph. Anab. III, 5, 2 *διαβιβαζόμεναι ἐς τὸ πέραν τοῦ ποταμοῦ*). VI, 17, 8 *ἐς τὴν ἐπέκεινα ὄχθην τοῦ Ἰνδοῦ διαβιβάσας.* Sed tamen non ausim vulgatam mutare. Quemadmodum enim Herodoto dicere licuit VII, 24 *τὸν ἰσθμὸν τὰς νέας διειρύσαι,* quidni concedamus Arriano dictum esse *διαβιβάσαι τινὰ τὸν ποταμόν* h. e. *aliquem per fluvium transmittere.*

12. *κελεύσας φθάνειν κατὰ τὸν πλοῦν*] Ed. Basil. *ἐπὶ τὸν πλοῦν.*

πέμπει, τρισὶν ἡμέραις τὴν στρατιὰν κελεύσας φθάνειν
13 κατὰ τὸν πλοῦν· τὸν δ' ἄλλον στρατὸν τριχῇ διένειμε, καὶ Ἡφαιστίωνα μὲν πέντε ἡμέραις προϊέναι ἔταξεν, ὡς, εἴ τινες τοὺς ξὺν αὐτῷ τεταγμένους φεύγοντες ἐς τὸ πρόσω κατὰ σπουδὴν ἴοιεν, τοῖς ἀμφ' Ἡφαιστίωνα ἐμπί-
14 πτοντες ἁλίσκωνται· Πτολεμαῖον δὲ τὸν Λάγου, δοὺς καὶ τούτῳ τῆς στρατιᾶς μέρος, τρισὶν ἡμέραις ὑπολειπόμενον ἕπεσθαι ἐκέλευσεν, ὡς ὅσοι τοὔμπαλιν ὑποστρέφοιεν αὐτὸν φεύγοντες, οὗτοι δ' εἰς τοὺς ἀμφὶ τὸν Πτο-
15 λεμαῖον ἐμπίπτοιεν· ἐπὰν δ' ἀφίκωνται ἐς τὰς ξυμβολὰς τοῦ τε Ἀκεσίνου καὶ τοῦ Ὑδραώτου ποταμοῦ, ἐνταῦθα

Aut ex typothetae errore, aut ex sensu huius loci male intellecto haec scripturae discrepantia orta videtur. Nam si recte dicitur *φθάσαι ἐς τὴν ἀποχώρησιν* Arr. VI, 7, 3, haud inepte etiam dixeris *φθάσαι ἐπὶ τὸν πλοῦν*. Sed longe aliud quid hoc significaret, quam quod Arrianus h. l. voluit indicari. Nimirum *φθάσαι κατὰ τὸν πλοῦν* plane ita accipio, ut dixit IV, 7, 8 *κατὰ πόλεμον διευτυχεῖν*: h. e. *inter navigandum* s. *navigando aliquem praevertere*. Sic enim etiam scripsit Diod. Sic. XV, 33 *ἴσως ἂν διὰ τὸ παράλογον τῆς τύχης δύναιντο καὶ φθάσαι κατὰ τὸν κίνδυνον οἱ Λακεδαιμόνιοι*, ubi vide Wesselingii anceps iudicium.

13. *ὡς — ἁλίσκωνται*] Ed. Bas. *ἁλίσκονται*. De optativo in eadem fere constructione coniunctivum excipiente vide ann. ad III, 9, 13. — Supra ed. Basil. *τὸν δὲ ἄλλον*.

14. *τοὔμπαλιν*] Ed. Bas. *τὸ ἔμπαλιν*. Utraque forma proba. Vide modo I, 2, 5 *ὑποστρέψας ἐς τὸ ἔμπαλιν*. III, 21, 8 *τὸ ἔμπαλιν ἐπανεληλυθότα* (ubi ed. Bas. *τοὔμπαλιν*). II, 11, 8 *ἐς τὸ ἔμπαλιν*. III, 12, 2 *ἐπιστρέψαντες ἐς τὸ ἔμπαλιν*. IV, 24, 6 *μεταβάλλει ἐς τοὔμπαλιν* (ubi ed. Bas. *ἐς τὸ ἔμπαλιν*). Iam vero ex his vides certum quidquam de utraque forma statui non posse. Neque codices in talibus multum iuvant. Vide Popp. de Elocut. Thucyd. t. I, p. 215. — Infra ed. Basil. *ἐπὰν δὲ ἀφίκωνται*.

C. VI. *τῶν πεζεταίρων*] Ed. Basil. *ἀσθετέρων*. Ed. Vulc. *Ἀσσετέρων*. Verum vidit Blancardus. Vide ann. ad I, 28, 5 coll. IV, 23, 1, ubi ed. Basil. habet *τῶν ἀσθεταίρων*. — Supra ed. Basil. *αὐτὸς δέ*.

ἔθνος Ἰνδικὸν Ἰνδῶν τῶν αὐτονόμων] Ferri potest quod ex auctoritate codicis F. dedit Schmiederus *ἔθνος Ἰνδικὸν τῶν αὐτονό-*

δὲ τούς τε φθάνοντας ὑπομένειν ἐκέλευσεν ἔστ' ἂν ἥκῃ αὐτός, καὶ τοὺς ἀμφὶ Κρατερὸν καὶ Πτολεμαῖον αὐτῷ ξυμβαλεῖν.

VI. Αὐτὸς δ' ἀναλαβὼν τοὺς ὑπασπιστάς τε καὶ τοὺς τοξότας καὶ τοὺς Ἀγριᾶνας καὶ τῶν πεζεταίρων καλουμένων τὴν Πείθωνος τάξιν καὶ τοὺς ἱπποτοξότας τε πάντας καὶ τῶν ἱππέων τῶν ἑταίρων τοὺς ἡμίσεας, διὰ γῆς ἀνύδρου ὡς ἐπὶ Μαλλοὺς ἦγεν, ἔθνος Ἰνδικὸν Ἰνδῶν τῶν αὐτονόμων. Καὶ τῇ μὲν πρώτῃ κατεστρατοπέδευσε πρὸς 2
ὕδατι οὐ πολλῷ, ὃ δὴ ἀπεῖχε Ἀκεσίνου ποταμοῦ σταδίους εἰς ἑκατόν· δειπνοποιησάμενος δὲ καὶ ἀναπαύσας

μων. Nolui tamen temere movere cui favent edd. vett. et quattuor codd. Gronovii. Ac firmat hanc lectionem quod habes III, 8, 5 εἵποντο δὲ αὐτοῖς καὶ Σάκαι, Σκυθικὸν τοῦτο τὸ γένος τῶν τὴν Ἀσίαν ἐποικούντων Σκυθῶν. Simile est quod legitur quamquam non ab omni suspicione liberum IV, 1, 1 παρὰ τῶν ἐκ τῆς Εὐρώπης Σκυθῶν, οἳ δὴ τὸ μέγιστον ἔθνος Σκυθικὸν ἐν τῇ Εὐρώπῃ ἐποικοῦσι. Scripturae a cod. F. suppeditatae tuendae apta censuit Gronovius verba l. VI, 15, 2 οἳ δὴ ἄλλο ἔθνος Ἰνδῶν αὐτόνομον προσεχώρησαν. Sed vereor ut cuiquam hoc persuadeat. Alibi aliter locutum esse Arrianum evincunt etiam haec l. V, 21, 9 καὶ εἰ δή τινα — αὐτόνομα ἔθνη Ἰνδῶν νέμεται et V, 22, 1 τῶν αὐτονόμων Ἰνδῶν ἄλλους τέ τινας. VI, 11, 6 ἐν Μαλλοῖς ἔθνει αὐτονόμῳ Ἰνδικῷ. Sed quis est qui haec alterutri scripturae favere contendat?

2. ἐμπλῆσαι [τοῦ] ὕδατος] Articulum, quem uncis inclusum vides, sola exhibet ed Basil. Sed quid erat quod Vulcanius eum tacite removeret neque recentiores editores quidquam de eo monerent? Articulum h. l. stare oportere non contenderim, sed stare eum posse contendo. Omissum vide articulum in his II, 19, 1 ναῦν κλημάτων τε ξηρῶν καὶ ἄλλης ὕλης εὐφλέκτου ἐμπλήσαντες. III, 29, 8 τὰς διφθέρας ὑφ' αἷς ἐσκήνουν οἱ στρατιῶται, φορυτοῦ ἐμπλῆσαι ἐκέλευσεν. VII, 14, 6 οἴνου ἐμπλησθέντα, coll. Xenoph. Anab. I, 5, 10 διφθέρας ἃς εἶχον σκεπάσματα, ἐπίμπλασαν χόρτου κούφου. Additum habes articulum ubi eum non exspectabas, I, 3, 7 τὰς δὲ διφθέρας ὑφ' αἷς ἐσκήνουν, τῆς κάρφης πληρώσας. V, 9, 5 καὶ αἱ διφθέραι τῆς κάρφης ἐμπιπλάμεναι. V, 12, 4 ἐπληροῦντο αἱ διφθέραι τῆς κάρφης, coll. Thucyd. II, 4 λίθοις τε καὶ τῷ κεράμῳ βαλλόντων. Iam vero, ut redeam unde progressus sum, ἐμπλῆσαι τοῦ ὕδατος est *aqua implere quae forte adest*, ἐμπλῆσαι ὕδατος vero est

τὴν στρατιὰν οὐ πολὺν χρόνον, παραγγέλλει ὅ τι τις ἔχει
3 ἄγγος ἐμπλῆσαι [τοῦ] ὕδατος. Διελθὼν δὲ τῆς τε ἡμέρας
τὸ ἔτι ὑπολειπόμενον καὶ τὴν νύκτα ὅλην ἐς τετρακοσίους
μάλιστα σταδίους, ἅμα ἡμέρᾳ πρὸς πόλιν ἀφίκετο ἐς ἣν
4 ξυμπεφεύγεσαν πολλοὶ τῶν Μαλλῶν. Οἱ δὲ οὔποτ᾽ ἂν
οἰηθέντες διὰ τῆς ἀνύδρου ἐλθεῖν ἐπὶ σφᾶς Ἀλέξανδρον,
ἔξω τε τῆς πόλεως οἱ πολλοὶ καὶ ἄνοπλοι ἦσαν· ἐφ᾽
ὅτῳ καὶ δῆλος ἐγένετο ταύτῃ ἀγαγὼν Ἀλέξανδρος, ἣν ὅτι
αὐτῷ ἀγαγεῖν χαλεπὸν ἦν, ἐπὶ τῷδε οὐδὲ τοῖς πολεμίοις
5 ὅτι ἄξει πιστὸν ἐφαίνετο. Τούτοις μὲν δὴ οὐ προσ-
δοκήσασιν ἐπιπεσών, τοὺς μὲν πολλοὺς ἀπέκτεινεν αὐτῶν,

aqua implere, quasi etiam cogitari possit de vino sive alia re, qua quid impleatur.

3. *τῶν Μαλλῶν*] Ed. Basil. *τῶν Μαλῶν*, ut supra *ἐπὶ Μαλούς*.

4. *ταύτῃ ἀγαγών*] Sic edd. Vulc. Blanc. Gronov. Raphel. Schmied. *ταύτην* ed. Bas. Non male, opinor. Cf. III, 18, 9 *αὐτὸς δὲ ᾔει ὁδὸν χαλεπὴν καὶ τραχεῖαν, καὶ ταύτην δρόμῳ τὸ πολὺ ἦγεν.* III, 21, 12 *ὁ δὲ ταύτην ἄγειν ἐκέλευσεν.* III, 23, 3 *ταύτην δὲ ἦγεν, ὅτι ταύτῃ τοὺς ξένους διαπεφευγέναι ἐπύθετο.* VI, 24, 5 *λέγει Νέαρχος ταύτην τραπῆναι.* Dativum habes III, 24, 6 *ἐπεὶ δὲ καὶ ταύτῃ προσῆγεν.* VII, 16, 10 *μηδὲ τὴν στρατιὰν ταύτῃ ἐπέχουσαν ἄγων παρελθεῖν.* Xenoph. Anab. I, 10, 4 *ὁ δὲ βασιλεὺς ταύτῃ μὲν οὐκ ἦγεν.* Et videtur discrimen statui posse inter utramque loquendi formulam. Nimirum *ταύτῃ ἄγειν* puto esse *ducere ab hac parte* s. *hac via*; *ταύτην ἄγειν* vero *via progredi* sive, ut Horatii verbis utar, *viam carpere.* Inde etiam formae *ταύτῃ* in altero enunciati membro respondet *ᾗ*, ut I, 15, 1 *οἱ δὲ Πέρσαι ᾗ πρῶτοι προσέσχον τῇ ὄχθῃ, ταύτῃ καὶ αὐτοὶ ἄνωθεν ἔβαλλον.* Xenoph. Anab. I, 10, 6 *ᾗ δὲ παρῆλθεν — ταύτῃ καὶ ἀπήγαγεν.* IV, 8, 12 *ᾗ τε ἂν εὔοδον ᾖ, ταύτῃ ἕκαστος ἄξει ὁ λόχος.* Quibus perpensis nonne, cum sequatur nostro loco *ἣν — ἄξει*, verisimile est praecessisse *ταύτην ἀγαγών*? Sed nihil affirmo. Formas *ταύτην* et *ταύτῃ* confusas notavimus ad VI, 10, 8. VII, 17, 9.

ἣν — ἐφαίνετο] Paulo perversior est verborum coniunctio, progenita tantum pronomine *ἣν* in initio totius enuntiati posito. Nam bene flueret oratio, si Arrianus dixisset *ὅτι οὐδὲ τοῖς πολεμίοις πιστὸν ἐφαίνετο, ὅτι ταύτην ἄξει ἣν ἀγαγεῖν αὐτῷ χαλεπὸν ἦν.* Recte Raphelius: *Quare etiam manifesto illac duxit Alexander, qua*

οὐδὲ εἰς ἀλκὴν οἷα δὴ ἀνόπλους τραπέντας· τῶν δὲ ἄλλων ἐς τὴν πόλιν κατακλεισθέντων κύκλῳ περιστήσας τῷ τείχει τοὺς ἱππέας, ὅτι μήπω ἡ φάλαγξ τῶν πεζῶν ἠκολουθήκει αὐτῷ, ἀντὶ χάρακος ἐχρήσατο τῇ ἵππῳ· ὡς δὲ τά- 6
χιστα οἱ πεζοὶ ἀφίκοντο, Περδίκκαν μὲν τήν τε αὑτοῦ ἱππαρχίαν ἔχοντα καὶ τὴν Κλείτου καὶ τοὺς Ἀγριᾶνας πρὸς ἄλλην πόλιν ἐκπέμπει τῶν Μαλλῶν ᾗ ξυμπεφευγότες ἦσαν πολλοὶ τῶν ταύτῃ Ἰνδῶν, φυλάσσειν τοὺς ἐν τῇ πόλει κελεύσας· ἔργον δὲ μὴ ἔχεσθαι, ἔστ' ἂν ἀφίκηται αὐτός· ὡς μηδ' ἀπὸ ταύτης τῆς πόλεως διαφυγόντας 7
τινὰς αὐτῶν ἀγγέλους γενέσθαι τοῖς ἄλλοις βαρβάροις ὅτι

---

quia difficile ei erat ducere, propterea neque hostibus eum ducturum verisimile videbatur.

5. *κατακλεισθέντων*] Edd. Bas. Vulc. Blanc. Gron. Raphel. Borheck. *κατειληθέντων*. „Variant inter se Mssti alii; sed Optimus ille quoque *κατακλεισθέντων*. Idque defendit ipse auctor V, 23, 4 *ἀλλ' ὡς τάχους εἶχον φυγῇ ἐς τὴν πόλιν κατέκλεισαν.* I, 20, 7 *οὐ χαλεπῶς ἀνέστειλάν τε καὶ ἐς τὴν πόλιν κατεκλείσθησαν.* Iterum in fine eius capitis *οὐ χαλεπῶς κατεκλείσθησαν εἰς τὰ τείχη αὖθις.* Unde patet necessitas quae me coegit IV, 23, 4 ex antiquis libris opem auctori ferre publicando *κατέκλεισεν ἐς τὴν πόλιν.* Sic Polyaenus lib. IV in Philippo 2, *ἕως ἂν τοὺς πολεμίους κατακλείσωμεν ἐς Μακεδονίαν.*“ *Gronov.* Iam Vulcanius sic scribendum esse monuit in praefatione. Exempla plura allata vide ad IV, 23, 4. Paulo ante ed. Bas. *εἰς τὴν πόλιν.*

6. *ᾗ ξυμπεφευγότες ἦσαν*] Ed. Bas. *οἷ.* Voluit fortasse *οἷ.* Vide de talium formarum confusione quae diximus ad I, 3, 5. — Supra omnes editiones *τοὺς Ἀγριάνας.*

τῶν ταύτῃ Ἰνδῶν] Ed. Basil. inepte *τῶν ταύτῃ Μαλῶν.* Quod correxit iam Gronovius.

7. *ὡς μηδ' ἀπὸ ταύτης — ἀγγέλους γενέσθαι*] Conf. quae Lysias dixit in orat. funebr. p. 173, Bekk. de Amazonibus: *μόναις δ' αὐταῖς οὐκ ἐξεγένετο — οἴκαδε ἀπελθούσαις ἀπαγγεῖλαι τήν τε σφετέραν δυστυχίαν* cet.

αὐτὸς δὲ προσέβαλλε] Ita omnes codd. Gronovii. *προσβάλλει* edd. Vulc. et Blanc. *προσέβαλε* ed. Basil. Aoristus stare non potest. Praesens non damnaverim. Ceterum conferas IV, 29, 5 *ἀναστρέψαντες — προσέβαλλον.* V, 23, 3 *ὡς ἑκάστοις προὐχώρει, ἀτάκτως προσέβαλλον.* Vide quoque ann. ad II, 22, 5 et VI, 18, 4. Eadem tempora confusa notavi I, 9, 9. I, 23, 3. — Supra ed. Bas. *ὡς μὴ δέ.*

προσάγει ἤδη Ἀλέξανδρος· αὐτὸς δὲ προσέβαλλε τῷ
8 τείχει. Οἱ δὲ βάρβαροι τὸ μὲν τεῖχος ἐκλείπουσιν, ὡς οὐκ
ἂν διαφυλάξοντες αὐτὸ ἔτι, πολλῶν ἐν τῇ καταλήψει τεθνηκότων, τῶν δὲ καὶ ἀπὸ τραυμάτων ἀπομάχων γεγενημένων· ἐς
δὲ τὴν ἄκραν ξυμφυγόντες χρόνον μέν τινα ἠμύνοντο ἐξ ὑπερ-
9 δεξίου τε χωρίου καὶ χαλεποῦ ἐς προσβολήν· προσκειμένων
δὲ πάντοθεν εὐρώστως τῶν Μακεδόνων, καὶ αὐτοῦ Ἀλεξάνδρου ἄλλοτε ἄλλῃ ἐπιφαινομένου τῷ ἔργῳ, ἥ τε ἄκρα κατὰ κράτος ἑάλω καὶ οἱ ξυμφυγόντες ἐς αὐτὴν πάντες

8. *ξυμφυγόντες*] Ed. Vulc. et Blanc. *ξυμφυγόντων*. Quod dedimus, firmant omnes codd. Gronovii. Plane geminum est quod dixit VI, 7, 7 *τὰ μὲν τείχη καὶ οὗτοι ἐκλείπουσιν, ἐς δὲ τὴν ἄκραν ξυμφυγόντες ἐκεῖθεν ἠμύνοντο*. Paulo aliter habet genitivus qui absolute positus videtur I, 5, 12 *ὁμοῦ δὲ γενομένων ἐξέλιπον τὰ — χωρία*. Ubi e Platone afferre potuissem simile quid Civit. l. V, p. 458, D. *ὁμοῦ δὲ ἀναμεμιγμένων καὶ ἐν γυμνασίοις καὶ ἐν τῇ ἄλλῃ τροφῇ ὑπ' ἀνάγκης, οἶμαι, τῆς ἐμφύτου ἄξονται.*

10. *πόλιν ἐρήμην*] Hanc adiectivi formam ut hoc loco tuentur omnes codd. Gronovii et ed. Basil., ita sine ulla scripturae discrepantia habes III, 3, 6 *ἔστι δὲ ἐρήμη ἡ ὁδός*. III, 21, 11 *ἐρήμην δὲ εἶναι τὴν ὁδόν*. IV, 17, 1 *ἔφευγον ἐς τὴν ἐρήμην*. IV, 17, 3 *ἐς τὴν ἐρήμην διεσώθησαν*. Unde nescio cur Vulcanius scripserit *πόλιν ἔρημον*. Nisi forte putabat, alteram formam Arriano plane inauditam fuisse. Ac sane longe frequentius est *ἔρημος* feminino appositum. Vide mihi II, 26, 2 *ἐπὶ τῇ ἀρχῇ τῆς ἐρήμου*. III, 1, 4 *διὰ τῆς ἐρήμου*. III, 3, 5 *ᾔει δι' ἐρήμου*. Adde III, 20, 6, IV, 5, 7. IV, 6 8, 10. IV, 17, 2. 11. IV, 18, 2. VI, 1, 3. VI, 8, 1. VI, 17, 9. 10. VI, 21, 7. 8. VI, 22, 6. 7. 9. VII, 10, 13. Nec tamen Atticis scriptoribus ipsis duplicem formationem displicuisse docuit Abresch. Miscell. Observv. III, 1, 2, p. 304 et post eum Popp. de Elocut. Thucyd. p. 101 coll. Goell. ad. Thuc. IV, 26, ubi *νήσῳ ἐρήμῃ* expressum vides, quamquam pluribus codd. obstantibus. Sic Xenoph. Anab. I, 5, 4 *πόλις ἐρήμη*. Sed Hist. Gr. VII, 5, 10 *τὴν πόλιν — ἔρημον*.

μαθὼν δὲ ὅτι — πεφεύγασιν] In ed. Bas. et plurimis codd. Florr. inter quos cod. F., legitur *ὅτι — πεφεύγεσαν*. Unde recepit hanc scripturam Schmiederus. Perfectnm quod est *πεφεύγασιν* primus dedit Vulcanius. Neque immutarunt hanc formam Blancardus, Gronovius, Raphelius. Unum et alterum codicem eam habere iam ex Gronovii verbis clarum est monentis *πεφεύγεσαν* in *pleris-*

ἀπέθανον· ἦσαν δὲ ἐς δισχιλίους. Περδίκκας δὲ ἐς τὴν 10
πόλιν ἐφ' ἥντινα ἐστάλη ἀφικόμενος, τὴν μὲν πόλιν
ἐρήμην καταλαμβάνει· μαθὼν δὲ ὅτι οὐ πρὸ πολλοῦ
πεφεύγασιν ἐξ αὐτῆς οἱ ἐνοικοῦντες, δρόμῳ ἤλαυνε κατὰ
στίβον τῶν φευγόντων· οἱ δὲ ψιλοὶ ὡς τάχους εἶχον 11
ποδῶν αὐτῷ ἐφείποντο· καταλαβὼν δὲ τῶν φευγόντων
κατέκοψεν ὅσοι γε μὴ ἔφθασαν ἐς τὰ ἕλη ξυμφυγόντες.

VII. *Ἀλέξανδρος δὲ δειπνοποιησάμενός τε καὶ ἀναπαύσας τοὺς ἀμφ' αὐτὸν ἔστε ἐς πρώτην φυλακήν, ᾔει*

---

que codd. legi. Ac sane mihi prope solum probari posse videtur plusquamperfectum ut in oratione obliqua positum. Arrianum ipsum si consulueris, eiusdem non eris sententiae. Dixit enim I, 26, 8 *ἐξηγγέλθη — ὅτι τὰς πύλας ἀποκεκλείκασιν.* III, 16, 10 *ἐνεγέγραπτο ὅτι τὴν πόλιν παραδεδώκασιν.* V, 14, 10 *ἀκούσαντα ὅτι δὴ διαβέβηκεν.* VI, 15, 11 *πρὶν πυθέσθαι ὅτι ὥρμηται ὡς ἐπ' αὐτὸν Ἀλέξανδρος.* Et in optativo III, 21, 2 *ἀπήγγειλαν ὅτι συνειληφότες εἶεν.* IV, 30, 14 *ἔμαθεν ὅτι πεφευγότες εἶεν.* V, 9, 4 *ὡς δῆλον εἶναι τῷ Πώρῳ ὅτι ἐγνωκὼς εἴη.* VI, 8, 1 *αὐτοὺς δὲ ἔμαθεν ὅτι πεφευγότες εἶεν.* VI, 17, 9 *ἐξαγγέλλεται — ὅτι ἀποδεδρακὼς οἴχοιτο.* VII, 22, 1 *ἐξελέγξας ὅτι οὐδὲν πεπονθὼς εἴη.* His perlectis quamvis fieri possit ut plusquamperfectum tueamur, num tu censeas apud Arrianum hoc plusquamperfectum esse admittendum?

C. VII. *ἔστε ἐς*] Recte habere videtur quod Schmiederus ex sola codicis F. auctoritate dedit *ἔστε ἐς πρώτην φυλακήν*, si vera sunt quae de discrimine inter praepositiones *ἐπί* et *ἐς* statuendo diximus ad I, 1, 14. In edd. vett. et quattuor codd. Gronovii legitur *ἔστε ἐπί.* Atque hoc libere confiteor, praeter hunc locum duos tantum esse locos ubi legatur formula *ἔστε ἐς*, neque hos ab omni suspicione liberos. Sunt ii l. III, 7, 3 *γέφυρα ἦν ἐξευγμένη ἔστε ἐς τὴν ἀντιπέρας ὄχθην*, et IV, 22, 6 *τῆς χώρας τῆς Παραπαμισαδῶν καὶ τῆς ἄλλης ἔστε ἐς τὸν Κωφῆνα ποταμόν.* Ubi eadem scripturae varietas e codd. enotata est. Contra *ἔστε ἐπὶ* centenis locis reperitur positum. Vide mecum I, 3, 2 *ἔστε ἐπὶ τὰς ἐκβολάς.* I, 7, 11 *ἐκθέοντες — ἔστε ἐπὶ τὸ στρατόπεδον.* I, 14, 5 *ἔστε ἐπὶ τὸ μέσον τῆς ξυμπάσης τάξεως.* I, 15, 1 *ἔστε ἐπὶ τὸ ὕδωρ καταβαίνοντες.* I, 27, 8 *καθήκει γὰρ — ὄρος ἔστε ἐπὶ τὴν ὁδόν.* I, 28, 5 *ἔστε ἐπὶ τὸ εὐώνυμον παρατείνας.* II, 25, 2 *ἔστε ἐπὶ θάλασσαν τὴν Ἑλληνικήν.* V, 5, 5 *καθήκειν ἔστε ἐπὶ μεγάλην — θάλασσαν.* V, 26, 2 *ἔστε ἐπὶ τὸν ποταμόν.* VI, 1, 7 *ἔστε ἐπὶ μεγάλην θάλασσαν.* VII, 7, 7 *ἔστε ἐπὶ τὴν ἐκβολήν.* Et sic quoque Xenophon Anab.

τοῦ πρόσω· καὶ τὴν νύκτα διελθὼν πολλὴν ὁδὸν ἅμα
2 ἡμέρᾳ ἀφίκετο πρὸς τὸν Ὑδραώτην ποταμόν. Ἔνθα δὴ τῶν Μαλλῶν τοὺς μὲν πολλοὺς διαβεβηκότας ἤδη ἔμαθε, τοῖς δὲ καὶ διαβαίνουσιν ἐπιγενόμενος περὶ αὐτὸν τὸν
3 πόρον πολλοὺς αὐτῶν διέφθειρε· καὶ αὐτὸς ὡς εἶχε ξυνδιαβὰς κατὰ τὸν αὐτὸν πόρον, διώκων εἴχετο τῶν φθασάντων ἐς τὴν ἀποχώρησιν· καὶ πολλοὺς μὲν ἀπέκτεινεν αὐτῶν, τοὺς δὲ καὶ ζῶντας ἔλαβεν, οἱ πλείους δὲ
4 κατέφυγον ἔς τι χωρίον ὀχυρὸν καὶ τετειχισμένον. Ἀλέξανδρος δὲ ὡς οἱ πεζοὶ ἀφίκοντο αὐτῷ, ἀποστέλλει ἐπὶ τούτους Πείθωνα, τήν τε αὑτοῦ τάξιν ἔχοντα καὶ τῶν ἱππέων

IV, 5, 6 ἔστε ἐπὶ τὸ δάπεδον. IV, 8, 8 ἔστε ἐπὶ τὰ Κόλχων ὅρια. Sed paulo aliam horum locorum rationem puto esse quam quos supra adscripsi ad confirmandam scripturam codicis F. Num verum sit meum iudicium necne, me peritioribus talium rerum diiudicandum relinquo.

ᾔει τοῦ πρόσω] Vulcanius ex V. C. margini adscripsit *ᾔει τοῦ πρόσω ἐχόμενος*, quod Gronovius in uno cod. Florent. vidit. Edd. vett. et quattuor codd. Gronovii hoc qualecunque additamentum ignorant. Ac videtur ab eo profectum esse qui, quomodo simpliciter *ᾔει τοῦ πρόσω* dici posset aut non intellexit, aut explicare voluit. Arriani stylum in hac simpliciori formula facile agnosces perlectis quae dicta sunt ad V, 16, 1.

2. *τῶν Μαλλῶν*] Ed. Bas. ut supra, *τῶν Μαλῶν*.

3. *διώκων εἴχετο τῶν φθασάντων ἐς τὴν ἀποχώρησιν*] „*Persequens haerebat in tergis eorum*, sive *haud procul aberat ab iis qui iam discesserant.* *Ἔχεσθαι* cum genitivo non est *consequi*, sed *prope abesse.* Sic I, 22, 7 *μὴ συνεισπέσοιεν τοῖς φεύγουσιν ἐχόμενοι αὐτῶν οἱ Μακεδόνες.* IV, 17, 2 *καὶ Κρατερὸς ἐχόμενος αὐτῶν αὐτοῖς τε ἐκείνοις περιπίπτει.* V, 14, 3 *οὐ πόῤῥωθεν ἕξεσθαι αὐτῶν κατὰ τὴν φυγήν.* V, 17, 11 *ἀποστραφέντων δὲ εἴχοντο ἐσακοντίζοντες.* Neque consecutus dici potest eos qui in oppidum fuga evaserunt, qui tamen etiam sunt in numero *τῶν φθασ. ἐς τὴν ἀποχώρησιν.*“ *Raphel.*

ἔς τι χωρίον ὀχυρὸν καὶ τετειχισμένον] Sic edd. vett. et quattuor codd. Gronovii. Particula *καὶ* in cod. F. a Gronovio non conspecta est. Nec tamen ea bene hic possumus carere. Cave enim compares cum Gronovio I, 24, 11 *συνεξαιρεῖ αὐτοῖς φρούριον ὀχυρὸν ἐπιτετειχισμένον τῇ χώρᾳ πρὸς Πισιδῶν.* Ibi enim partici-

δύο ἱππαρχίας. Καὶ οὗτοι δὴ ἐξ ἐφόδου προσβαλόντες 5
λαμβάνουσι τὸ χωρίον καὶ τοὺς καταπεφευγότας ἐς αὐτὸ
ἠνδραπόδισαν ὅσοι γε μὴ ἐν τῇ προσβολῇ διεφθάρησαν.
Ταῦτα δὲ οἱ ἀμφὶ τὸν Πείθωνα διαπραξάμενοι ἐπανῆλθον
αὖθις ἐς τὸ στρατόπεδον. Αὐτὸς δὲ Ἀλέξανδρος ὡς ἐπὶ 6
τῶν Βραχμάνων τινὰ πόλιν ἦγεν, ὅτι καὶ ἐς ταύτην ξυμπε-
φευγέναι τινὰς τῶν Μαλλῶν ἔμαθεν· ὡς δὲ ἀφίκετο πρὸς
αὐτήν, ἐπῆγε τῷ τείχει πάντοθεν πυκνὴν τὴν φάλαγγα.
Οἱ δὲ ὑπορυσσόμενα τὰ τείχη ἰδόντες καὶ ἐκ τῶν βελῶν 7
ἀναστελλόμενοι τὰ μὲν τείχη καὶ οὗτοι ἐκλείπουσιν, ἐς δὲ
τὴν ἄκραν ξυμφυγόντες ἐκεῖθεν ἠμύνοντο· ξυνεισπεσόν- 8

---

pium non est instar adiectivi, sed cum sequentibus arcte coniungendum non secus habet ac si dixisset Arrianus *συνεξαιρεῖ αὐτοῖς χωρίον ὀχυρὸν ὅ πρὸς Πισιδῶν τῇ χώρᾳ ἐπιτετειχισμένον ἦν.* Vulgatam per se iam satis firmam tuentur haec I, 26, 7 *προῄει ἐπὶ Σύλλιον, χωρίον ὀχυρὸν καὶ φρουρὰν ἔχον.* IV, 27, 9 *ὅτι ὑπερύψηλόν τε ἦν καὶ πάντη ἀκριβῶς τετειχισμένον.*

4. *Πείθωνα*] Hanc huius nominis scripturam retinent omnes codd. Gronovii cum edd. Venet. ac Basil. *Πύθωνα* primus dedit Vulcanius. Secuti sunt Blancardus, Gronovius, Raphelius, Borheckius. „In Indicis 3, 11 (imo 18, 6) etiamnum legitur *Πείθων.* Diodorus scribit *Πίθων.* Iustinus XIII, 4 *Pithon*, Agenoris filius.“ *Schmied.* Apud Phot. Bibl. p. 69, a, Bekk. nunc editum videmus *Πίθων.* In codd. tamen hoc nomen modo *Πείθων*, modo *Πίθων*, modo *Πύθων* scriptum exstat. Sic quoque apud Diodor. Sicul. XVIII, 3 et XVIII, 39 pro vulg. *Πύθωνι* in aliis codd. est *Πίθωνι.* — Mox ed. Bas. *τήν τε αὐτοῦ τάξιν.*

6. *Ἀλέξανδρος ὡς ἐπὶ — πόλιν ἦγεν*] Nolui hoc loco cum Schmiedero soli codici F. obsecuto scribere *Ἀλέξανδρος ἐπὶ — πόλιν ἦγεν.* Quod dedi, exhibent edd. vett. cum quattuor reliquis codd. Gronovii. Similiter dixit III, 18, 14 *Ἀλέξανδρος δὲ ἦγεν ὡς ἐπὶ τὸν ποταμόν.* V, 13, 2 *ἤλαυνον ὡς ἐπὶ τὸν Πῶρον.* Et si quis obiiciat, propter praegressum *Ἀλέξανδρος* a mala manu facile potuisse addi *ὡς* ut ex ultima syllaba *ος* ortum (cf. III, 28, 5. VII, 9, 2), quid impedit quominus e contrario particulam *ὡς* eandem illam ob causam male omissam statuamus? Similia multa notavimus ut alibi, ita in ann. ad I, 27, 5. II, 11, 14. III, 15, 16. IV, 23, 9 cet.

8. *ἐν τῇ ὑποστροφῇ*] „*Ὑποστροφή* est *cum terga vertunt cedentes.*

των δὲ αὐτοῖς ὀλίγων Μακεδόνων, μεταβαλλόμενοι καὶ
ξυστραφέντες τοὺς μὲν ἐξέωσαν αὐτῶν, ἀπέκτειναν δὲ ἐν
9 τῇ ὑποστροφῇ ἐς πέντε καὶ εἴκοσι· καὶ ἐν τούτῳ Ἀλέξαν-
δρος τάς τε κλίμακας πάντοθεν κελεύει προστιθέναι τῇ
10 ἄκρᾳ καὶ ὑπορύττειν τὸ τεῖχος. Ὡς δὲ πύργος τε ἔπεσεν
ὑπορυσσόμενος καὶ τοῦ μεταπυργίου τι παραῤῥαγὲν ἐπι-
μαχωτέραν ταύτῃ ἐποίησε τὴν ἄκραν, πρῶτος Ἀλέξανδρος
ἐπιβὰς τοῦ τείχους ὤφθη ἔχων τὸ τεῖχος· καὶ τοῦτον
ἰδόντες οἱ ἄλλοι Μακεδόνες αἰσχυνθέντες ἄλλος ἄλλῃ
11 ἀνῄεσαν, εἴχετό τε ἤδη ἡ ἄκρα· καὶ τῶν Ἰνδῶν οἱ μὲν
τὰς οἰκίας ἐνεπίμπρασαν, καὶ ἐν αὐταῖς ἐγκαταλαμβανόμενοι
ἀπέθνησκον, οἱ πολλοὶ δὲ μαχόμενοι αὐτῶν. Ἀπέθανον

Bud. com. Gr. ling. p. 854. Polyb. III, 14 *πραγματικῶς καὶ νουνεχῶς ἐξ ὑποστροφῆς ἀναχωρήσαντος Ἀννίβου.* Item III, 45 et IV, 68. Neque tantum de iis dicitur qui hoste urgente coguntur pedem referre, sed etiam, qui extra hostilem metam iter suum convertunt. Ita Polyb. V, 103 *ἔπλεον ἐξ ὑποστροφῆς πρὸς τὸν Φίλιππον.*" *Raphel.*

10. *ἐπιμαχωτέραν*] Ed. Bas. *ἐπιμαχοτέραν.* Cf. I, 20, 8 et ann. ad I, 22, 4.

11. *ἐγκαταλαμβανόμενοι ἀπέθνησκον*] Non minus recte haberet si scriptum legeremus *ἐγκαταληφθέντες ἀπέθανον.* Similiter variata vide tempora in his l. I, 19, 10 *ἐπέπλεον — προκαλεῖν ἐς ναυμαχίαν ἐλπίζοντες* et I, 19, 14 *πέντε δὲ αὐτῶν εἰσέπλευσαν — ἐλπίσαντες καταλήψεσθαι.*

δι' ἀνδρίαν] Sic edd. Basil. et Vulc. *δι' ἀνδρείαν* Blancardus primus, quem secuti sunt recentiores editores omnes. Sed quid erat quod sic mutarent. Gronovium de hac re codices suos non consuluisse persuasum habeo. Et in Indicis c. XVII, 4 sine ulla scripturae varietate legitur *κατ' ἄλλην τινὰ ἀνδρίαν προκριθέντι.* Ceterum vide quae diximus in praefat. t. I, p. XXVI, sq.

C. VIII. 2. *Καὶ ἐνταῦθα αὖθις*] Probavimus quam Schmiederus addidit ex auctoritate codicis F. particulam *αὖθις.* Ignorant eam edd. vett. et reliqui codd. Gronovii. Tu confer V, 8, 2 *καὶ ἐνταῦθα αὖ — θύει κατὰ νόμον.* V, 8, 5 *καὶ ἐνταῦθα αὖ θύει — ὅσα οἱ νόμος.* V, 24, 4 *ἐνταῦθα δὴ ἀποστρέφονται αὖθις ἐς τὴν πόλιν.* Tact. c. XLVI *καὶ ἐνταῦθα αὖ καλόν.* — Supra ed. Bas. *τοὺς Μαλούς.*

δὲ οἱ πάντες ἐς πεντακισχιλίους· ζῶντες δὲ δι' ἀνδρίαν ὀλίγοι ἐλήφθησαν,

VIII. Μείνας δὲ αὐτοῦ μίαν ἡμέραν καὶ ἀναπαύσας τὴν στρατιάν, τῇ ὑστεραίᾳ προὐχώρει ὡς ἐπὶ τοὺς ἄλλους Μαλλούς· καὶ τὰς μὲν πόλεις ἐκλελοιπότας καταλαμβάνει, αὐτοὺς δὲ ἔμαθεν ὅτι πεφευγότες εἶεν ἐς τὴν ἔρημον. Καὶ ἐνταῦθα αὖθις μίαν ἡμέραν ἀναπαύσας τὴν στρατιάν, 2
ἐς τὴν ἐπιοῦσαν Πείθωνα μὲν καὶ Δημήτριον τὸν ἱππάρχην πρὸς τὸν ποταμὸν ὀπίσω ἀπέπεμψεν, ὧν τε αὐτοὶ ἡγοῦντο ἄγοντας, καὶ πρὸς τούτοις ψιλῶν τάξεις δοὺς αὐτοῖς ὅσαι ἱκαναὶ πρὸς τὸ ἔργον. Προσέταξε δὲ παρὰ τῇ ὄχθῃ τοῦ ποταμοῦ 3
ἰόντας, εἴ τισι περιτυγχάνοιεν τῶν ἐς τὰς ὕλας ξυμπεφευ-

τὸν ἱππάρχην] Edd. vett. cum pluribus codd. Gronovii ἱππάρχοντα. „Ms. unus atque item cod. Aug. apud Vulcanium ἵππαρχον. Sed manus Arriani spectatur in cod. Opt. ἱππάρχην.“ *Gronov.* Id quidem non dixerim, Arriani manum in sola forma ἱππάρχης spectari. Utitur enim in substantivis a verbo ἄρχειν deductis utraque forma, ita tamen ut in aliis formam in ος, in aliis formam in ης praevaluisse concedendum sit. Sic habes ἵππαρχος I, 25, 4. ἱππάρχης III, 6, 9. III, 27, 6. IV, 27, 7. V, 18, 4. Sic legitur forma χιλιάρχης I, 22, 9. VII, 25, 11. χιλίαρχος IV, 30, 11. VII, 14, 18. Formam ναύαρχος habemus I, 18, 8. II, 20, 14. III. 6, 6. VI, 2, 6. Hist. Ind. XVIII, 10. ναυάρχης V, 18, 4. ταξίαρχος III, 9, 11. ταξιάρχης II, 16, 11. VII, 9, 13. Deinde ubique reperi formam ἰλάρχης, ut I, 12, 11. II, 7, 5. II, 9, 6. II, 16, 11. III, 9, 7. 11. III, 11, 11 bis, et multis aliis locis. Sic νομάρχης III, 5, 3. 5. V, 8, 4. V, 11, 5. V, 18, 4. VI, 14, 1. VI, 16, 1. VI, 27, 10. Sic τοξάρχης I, 8, 7. I, 22, 9. V, 14, 1. Sic τετράρχης s. τετραδάρχης Tact. c. XIII. δεκαδάρχης VII, 23, 5. πεντακοσιάρχης VII, 25, 11. ἐνωμοτάρχης Tact. c. VI. ἑκατοντάρχης c. XIII. simill. Sed τριήραρχος Hist. Ind. XVIII, 3. 9. φρούραρχος I, 17, 3. II, 1, 9. III, 16, 14. IV, 16, 7 bis et alibi. Neque vidi qui dixerit ἐπάρχης, ὑπάρχης, simm. Sed haec de Arriano. Qui plura cupit, is adeat Blomf. ad Aeschyl. Sept. c. Theb. v. 828. Reisig. Comm. critt. ad Oed. Col. p. 334. Baehr. ad Plut. Philop. c. VII. Popp. ad Xenoph. Cyrop. II, 1, 22. Boeckh. de Oecon. Athem. t. II, p. 113, not. Schaef. App. ad Demosth. t. I, p. 350. Goell. ad Thucyd. IV, 4.

3. αἳ δὴ [πολλαὶ] — ἦσαν] Vocem quam uncis vides inclusam,

γότων, αἳ δή [πολλαὶ] πρὸς τῇ ὄχθῃ τοῦ ποταμοῦ ἦσαν, τούτους κτείνειν ὅσοι μὴ ἐθελοντὰς σφᾶς ἐνδιδοῖεν· καὶ πολλοὺς καταλαβόντες ἐν ταῖς ὕλαις οἱ ἀμφὶ Πείθωνά τε
4 καὶ Δημήτριον ἀπέκτειναν. Αὐτὸς δὲ ἦγεν ἐπὶ τὴν μεγίστην τῶν Μαλλῶν πόλιν ἵνα καὶ ἐκ τῶν ἄλλων πόλεων πολλοὺς ξυμπεφευγέναι αὐτῷ ἐξηγγέλλετο· ἀλλὰ καὶ ταύτην ἐξέλιπον οἱ Ἰνδοί, ὡς προσάγοντα Ἀλέξανδρον
5 ἔμαθον· διαβάντες δὲ τὸν Ὑδραώτην ποταμὸν ἐπὶ ταῖς ὄχθαις αὐτοῦ, ὅτι ὑψηλαὶ αἱ ὄχθαι ἦσαν, παρατεταγμένοι
6 ἔμενον ὡς εἴρξοντες τοῦ πόρου Ἀλέξανδρον. Καὶ ταῦτα ὡς ἤκουσεν, ἀναλαβὼν τὴν ἵππον τὴν ἅμα αὐτῷ πᾶσαν, ᾔει ὡς ἐπὶ τὸν Ὑδραώτην ἵναπερ παρατετάχθαι τοὺς Μαλλοὺς
7 ἐξηγγέλλετο· οἱ δὲ πεζοὶ ἕπεσθαι αὐτῷ ἐτάχθησαν. Ὡς δὲ ἀφίκετό τε ἐπ᾽ αὐτὸν καὶ ἐν τῷ πέραν τοὺς πολεμίους

Schmiederus ex auctoritate codicis F. e textu removit. Quid est autem quod hanc vocem suspectum reddat! Similiter dixit V, 6, 10 ὅσοι πολλοὶ ποταμοὶ — ἐκδιδοῦσιν. Idem codex eadem voce caret Hist. Ind. V, 2 καὶ ἄλλων πολλῶν ποταμῶν, ubi, si quid video, optime habet vulgata. — Supra ed. Basil. περιτυγχάνοιε. Vide III, 17, 3. III, 21, 8.

ἐθελοντάς] Ed. Bas. ἐθέλοντας. Minus apte hoc loco, opinor. Cf. III, 25, 6 καὶ Θεσσαλῶν τοὺς ἐθελοντὰς ὑπομείναντας (ed. Bas. rursus ἐθέλοντας). III, 29, 9 τοὺς ἐθελοντὰς καταμείναντας. IV, 8, 16 ὅστις — ἐθελοντὴς μετέσχε. VII, 12, 1 ἔνθα δὴ ἐθελονταὶ ἤδη ἀνήεσαν. Intacta mansit altera forma apud Arr. II, 2, 6 φόβῳ μᾶλλον ἢ ἐθέλοντας παρεστήσατο et Hist. Ind. I, 5 τυχὸν δὲ καὶ τῶν ἐπιχωρίων τοὺς ἐθέλοντας συνῴκισε. Cf. Xen. Anab. I, 6, 9 τοὺς ἐθέλοντας φίλους. Vide Krueg. ad. h. l. et Lobeck. ad Phryn. p. 7.

6. ἵναπερ] Ed. Bas. ἵνα περ. Neque correxerunt recentiores editores. — Mox eadem τοὺς Μαλούς.

κατὰ σπουδὴν μέν] Sic scripsit quoque III, 29, 11 περάσας δὲ τὸν ποταμὸν ἦγε κατὰ σπουδήν. Longe frequentior est apud Arrianum dativus σπουδῇ adverbii loco positus, de quo et similibus vide ann. ad II, 7, 11.

10. ἐς κύκλους παριππεύων] Edd. vett. τοὺς κύκλῳ παριππεύων. Schmiederus ex auctoritate omnium quos consuluit Gronovius codicum dedit τοὺς κύκλους παριππεύων. Neutrum placet. Quid est enim τοὺς κύκλους s. τοὺς κύκλῳ παριππεύων! Vertunt: *excursio-*

κατεῖδε τεταγμένους, ὡς εἶχεν ἐκ τῆς ὁδοῦ ἐμβάλλει ἐς
τὸν πόρον ξὺν τῇ ἵππῳ μόνῃ· οἱ δὲ ἰδόντες ἐν μέσῳ τοῦ 8
ποταμοῦ ὄντα ἤδη Ἀλέξανδρον, κατὰ σπουδὴν μέν, ξυν-
τεταγμένοι δὲ ὅμως ἀπεχώρουν ἀπὸ τῆς ὄχθης· καὶ
Ἀλέξανδρος ξὺν μόνῃ τῇ ἵππῳ εἵπετο· ὡς δὲ κατεῖδον 9
ἱππέας μόνους, ἐπιστρέψαντες οἱ Ἰνδοὶ καρτερῶς ἐμάχοντο,
πλῆθος ὄντες ἐς πέντε μυριάδας. Καὶ Ἀλέξανδρος ὡς 10
τήν τε φάλαγγα αὐτῶν πυκνὴν κατεῖδε, καὶ αὐτῷ οἱ
πεζοὶ ἀπῆσαν, προσβολὰς μὲν ἐποίει ἐς κύκλους παρ-
ιππεύων· ἐς χεῖρας δὲ οὐκ ᾔει τοῖς Ἰνδοῖς. Καὶ ἐν 11
τούτῳ παραγίνονται αὐτῷ οἵ τε Ἀγριᾶνες καὶ ἄλλαι
τάξεις τῶν ψιλῶν, ἃς δὴ ἐπιλέκτους ἅμα οἷ ἦγε, καὶ
οἱ τοξόται· οὐ πόῤῥω δὲ οὐδὲ ἡ φάλαγξ ἐφαίνετο
τῶν πεζῶν. Καὶ οἱ Ἰνδοὶ, ὁμοῦ σφίσι πάντων τῶν δει- 12

---

nes obequitando faciebat. Et haud inepte quidem. Sed vulgata scriptura hanc interpretationem non admittit. Unde e coniectura mea scripsi *ἐς κύκλους παριππεύων.* Atque egregie firmat hanc meam emendationem ipse Arrianus, qui scripsit V, 16, 2 *ἀλλὰ ἐς κύκλους παριππεύων* (al. *περιιππεύων*) *ἀνέπαυε τοὺς πεζούς.* Tact. c. III *πόῤῥωθεν ἐφιστάμενοι ἢ ἐς κύκλους παριππεύοντες διαχρῶνται τῷ ἀκροβολισμῷ* Quibuscum conferri quoque possunt Exped. IV, 4, 9 *ἐς κύκλους περιιππεύοντες ἔβαλλόν τε πολλοὶ ὀλίγους.* Tact. c. XLIV *οἱ δαημονέστατοι τῶν ἐξελιγμῶν τε καὶ ἐπιστροφῶν εἰς ἄλλους καὶ ἄλλους κύκλους.* c. XLIV, fin. *καὶ ἐπειδὰν πελάσωσι τῷ βήματι παρ-ιππεύοντες, ἐς κύκλον μὲν ἐπέστρεψαν τὸν ἵππον.*

ἐς χεῖρας δὲ οὐκ ᾔει τοῖς Ἰνδοῖς] Edd. ante Gronovium *ᾔει ἐπ' Ἰνδούς.* Ed. Basil. *ᾔει τοὺς Ἰνδούς,* quod iam propius ad veritatem accedit. Dativum ut unice verum dedimus ex auctoritate omnium codd. Gronovii, Schmiederum secuti. Et, si codd. cum edd. vett. conspirarent, quis esset qui eos verae scripturae auctores haberet? En Arrianum, qui similia multa suppeditat exempla. I, 22, 4 *οἱ μὲν γὰρ εἰς χεῖρας ἐλθόντες τοῖς Μακεδόσιν ἀπέθανον.* II, 7, 7 *δούλοις ἀνθρώποις ἐλευθέρους ἐς χεῖρας ἥξειν.* Hist. Ind. XXXVI, 9 *καὶ δὶς — ἄλλοισι καὶ ἄλλοισι τῶν βαρβάρων ἐπιφαινομένοισιν ἐς χεῖρας ᾔεσαν.* Neque multum distat quod vides Exp. I, 2, 7 *ὅπως ἐς χεῖρας συμμίξειαν γυμνοῖς οὖσι τοῖς τοξόταις.* Praeterea consule Appian. bell. civv. I, 119 *οὐκέτι ἐς μάχην ᾔει τῷ στρατῷ παντί.* I, 120 *ἐς χεῖρας ᾔει τῷ Κράσσῳ.*

12. *κατειλήθησαν*] Ed. Basil. *κατειλήφθησαν.* Cf. V, 17, 6 *ὡς ἐπὶ*

νῶν προσκειμένων, ἀποστρέψαντες ἤδη προτροπάδην ἔφευγον ἐς πόλιν ὀχυρωτάτην τῶν πλησίον· καὶ Ἀλέξανδρος ἑπόμενός τε αὐτοῖς πολλοὺς ἔκτεινε, καὶ ὡς ἐς τὴν πόλιν διαφυγόντες κατειλήθησαν, πρῶτα μὲν [οὖν] τοῖς ἱππεῦσιν
13 ἐξ ἐφόδου ἐκυκλώσατο τὴν πόλιν· ὡς δὲ οἱ πεζοὶ αὐτῷ παρῆσαν, ταύτῃ μὲν τῇ ἡμέρᾳ περιστρατοπεδεύει ἐν κύκλῳ τοῦ τείχους, ὅτι οὐ πολύ τε τῆς ἡμέρας ὑπελείπετο ἐς τὴν προσβολὴν καὶ ἡ στρατιὰ αὐτῷ ὑπό τε πορείας μακρᾶς οἱ πεζοὶ καὶ ὑπὸ διώξεως συνεχοῦς οἱ ἵπποι καὶ οὐχ ἥκιστα κατὰ τὸν πόρον τοῦ ποταμοῦ τεταλαιπωρήκεσαν.

IX. Τῇ δὲ ὑστεραίᾳ διχῇ διελὼν τὸν στρατὸν τοῦ μὲν ἑτέρου αὐτὸς ἡγούμενος προσέβαλλε τῷ τείχει· τὸ δὲ ἕτερον Περδίκκας προσῆγε· καὶ ἐν τούτῳ οὐ δεξάμενοι οἱ Ἰνδοὶ τῶν Μακεδόνων τὴν ὁρμήν, τὰ μὲν τείχη τῆς

τοὺς ἐλέφαντας — κατειλήθησαν, ubi ed. Bas. eiusdem erroris auctorem vidimus.

πρῶτα μὲν [οὖν] τοῖς ἱππεῦσιν] Particulum οὖν primus inseruit Schmiederus e cod. F. Ignorant eam edd. vett. et rell. codd. Gronovii. Unde non dubitavimus eam uncis includere ut valde suspectam. Ac voluit fortasse librarius σὺν τοῖς ἱππεῦσεν, quamquam neque hoc ita comparatum censeo, ut vulgatae scripturae statim anteferatur. Nam in similibus locutionibus Arrianus ubique dativum nudum posuit. Cf. I, 5, 20 τά τε γὰρ ὄρη — κατεῖχον πολλοῖς ἱππεῦσι. II, 13, 4 ἑκατὸν ναυσὶ κατέσχον. VI, 20, 6 ταῖς τριακοντόροις τε καὶ ἡμιολίαις ὑπερβαλών. Aliter habent quae leguntur III, 28, 3 ἐμβαλόντος σὺν ἱππεῦσι δισχιλίοις. Particulam οὖν vero, si in initio enunciati posita esset, non damnaremus. Damnamus eam in media orationis serie collocatam. Cf. III, 25, 11 Σατιβαρζάνης μὲν οὖν. V, 26, 9 οὐ μὲν οὖν δή. VI, 9, 2 Ἀλέξανδρος μὲν οὖν. Adde ann. ad VII, 23, 12. Vulgatae scripturae favent haec l. IV, 26, 1 πρῶτα μὲν — ἦγε· ὡς δὲ προσῆγεν. V, 15, 1 τὰ μὲν πρῶτα — ὡς δέ. VII, 5, 2 καὶ τὰ μὲν πρῶτα ἀπέγραψαν — ὡς δὲ ἐξήγγελτο.

C. IX. διχῇ διελών] Ed. Bas. δίχῃ. Vide ann. ad IV, 24, 7, ubi formam omisi τριχοῦ apud Arr. Tact. c. III. Ceterum cf. III, 27, 7 δίχα διελὼν τὴν τάξιν τῶν ἑταίρων. Tact. c. XII ὅσοι ἀριθμοὶ μέχρι μονάδος οἷοί τε δίχα διαιρεῖσθαι, ubi statim sequitur ὁ ἀριθμὸς μέχρι μονάδος δίχα τέμνεται. — Similem rerum descriptionem vide I, 27, 2.

πόλεως λείπουσιν, αὐτοὶ δὲ ἐς τὴν ἄκραν ξυνέφευγον. Ἀλέξανδρος μὲν οὖν καὶ οἱ ἀμφ' αὐτὸν πυλίδα τινὰ κατα- 2
σχίσαντες, παρῆλθον εἰς τὴν πόλιν πολὺ πρὸ τῶν ἄλλων· οἱ δὲ ὁμοῦ Περδίκκᾳ τεταγμένοι ὑστέρησαν ὑπερβαίνοντες 3
κατὰ τὰ τείχη οὐκ εὐπετῶς, οὐδὲ τὰς κλίμακας οἱ πολλοὶ αὐτῶν φέροντες, ὅτι ἑαλωκέναι αὐτοῖς ἐδόκει ἡ πόλις, ὡς ἐρημούμενα τῶν προμαχομένων τὰ τείχη κατεῖδον· ὡς δὲ 4
ἡ ἄκρα ἐχομένη πρὸς τῶν πολεμίων καὶ πρὸ ταύτης τεταγμένοι εἰς τὸ ἀπομάχεσθαι πολλοὶ ἐφάνησαν, ἐνταῦθα δὴ οἱ μὲν ὑπορύσσοντες τὸ τεῖχος, οἱ δὲ προσθέσει, ὅπη παρείκοι, τῶν κλιμάκων βιάσασθαι ἐπειρῶντο εἰς τὴν ἄκραν. Ἀλέξανδρος δέ, ὡς βλακεύειν αὐτῷ ἐδόκουν τῶν Μακεδόνων 5
οἱ φέροντες τὰς κλίμακας, ἁρπάσας κλίμακα ἑνὸς τῶν φερόντων προσέθηκε τῷ τείχει αὐτός, καὶ εἰληθεὶς ὑπὸ τῇ ἀσπίδι

---

2. Ἀλέξανδρος μὲν οὖν] Sic Schmiederus e cod. F. Ἀλέξανδρος δέ edd. vett. Ἀλέξανδρος μέν reliqui codd. Gronovii. Praeter locos supra citatos vide II, 7, 9 ταῦτα μὲν οὖν ἐπεξῄει — τὰ δὲ ἄθλα Eandem particulam in edd. vett. minus recte omissam restituimus cum Schmiedero V, 26, 9. — Mox ed. Basil. οἱ ἀμφ' αὐτόν.

3. ὑστέρησαν ὑπερβαίνοντες κατὰ τὰ τείχη] Vulcanius: *non ita cito muros transscenderunt.* Si id voluisset Arrianus, non dubito quin scripturus fuisset ὑπερβαίνοντες τὰ τείχη, uti dixit VII, 10, 12 ὑπερβάντα δὲ τὸν Καύκασον. Hic potius videtur loci sensus esse: *Qui vero Perdiccae adiuncti fuerunt serius venere, cum per muros non ita facilis esset aditus.* Gemina vide haec I, 8, 12 συνεισπίπτουσι γὰρ αὐτοῖς εἴσω τοῦ τείχους ὅσοι τῶν Μακεδόνων ἐγγὺς φευγόντων εἵχοντο —· οἱ δὲ κατὰ τὰ τείχη — ὑπερβάντες ἐς τὴν ἀγορὰν δρόμῳ ἐφέροντο. Sunt igitur qui *per muros* in urbem pervenere iis quasi oppositi qui una cum Alexandro *per portam perfractam* irruperant. — Infra ed. Basil. inverso verborum ordine ἐρημούμενα τῶν προμαχομένων τὰ τείχη ὡς κατεῖδον.

4. ὅπη παρείκοι] Ed. Bas. ὅπη πάροικοι.

5. ὡς βλακεύειν ἐδόκουν] „Βλακεύειν dicitur *de eo qui quid tarde et remisse agit.*" *Ruhnk.* ad Timae. p. 61. Adde interpp. ad Thom. Mag. p. 154. Xenoph. Anab. II, 3, 11 καὶ εἴ τις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν, ἔπαιεν ἄν, coll. ann. ad Arr. III, 6, 12.

ἐδόκουν τῶν Μακεδόνων οἱ φέροντες] Hanc lectionem suppeditarunt omnes codd. Gronovii. οἱ Μακεδόνες ἐδόκουν οἱ φέροντες

6 ἀνέβαινεν· ἐπὶ δὲ αὐτῷ Πευκέστας ὁ τὴν ἱερὰν ἀσπίδα φέρων, ἣν ἐκ τοῦ νεὼ τῆς Ἀθηνᾶς τῆς Ἰλιάδος λαβὼν ἅμα οἷ
7 εἶχεν Ἀλέξανδρος καὶ πρὸ αὐτοῦ ἐφέρετο ἐν ταῖς μάχαις· ἐπὶ δὲ τούτῳ Λεοννάτος ἀνῄει κατὰ τὴν αὐτὴν κλίμακα ὁ σωματοφύλαξ· κατὰ δὲ ἄλλην κλίμακα Ἀβρέας τῶν δι-
8 μοιριτῶν τις στρατευομένων. Ἤδη τε πρὸς τῇ ἐπάλξει τοῦ τείχους ὁ βασιλεὺς ἦν καὶ ἐρείσας ἐπ' αὐτῇ τὴν ἀσπίδα, τοὺς μὲν ὤθει εἴσω τοῦ τείχους τῶν Ἰνδῶν, τοὺς δὲ καὶ αὐτοῦ τῷ ξίφει ἀποκτείνας γεγυμνώκει τὸ ταύτῃ
9 τεῖχος· καὶ οἱ ὑπασπισταὶ ὑπέρφοβοι γενόμενοι ὑπὲρ τοῦ βασιλέως, σπουδῇ ὠθούμενοι κατὰ τὴν αὐτὴν κλίμακα συντρίβουσιν αὐτήν, ὥστε οἱ μὲν ἤδη ἀνιόντες αὐτῶν κάτω

---

edd. ante Schmiederum. Quod minus placet. Cf. II, 13, 1 *ἀναλαμβάνων τῶν Περσῶν τοὺς διασωθέντας.*

6. *ἣν εἶχε — καὶ πρὸ αὐτοῦ ἐφέρετο*] Proprie dicendum erat *καὶ ἣ πρὸ αὐτοῦ ἐφέρετο.* Simili constructionis perversitate usus dixit V, 7, 4 *ᾗ ὅτῳ τρόπῳ Ῥωμαίοις ποιεῖσθαι καὶ — τὸν Εὐφράτην ἐγεφύρωσαν* sc. *οἱ Ῥωμαῖοι.* Paulo aliter Xenophon Anab. I, 4, 5 *ὅπως ὁπλίτας ἀποβιβάσειεν — καὶ βιασάμενοι ἀπέλθοιεν,* ubi si accurate scribere voluisset, dedisset *καὶ οὗτοι βιασάμενοι.* Accuratius locutum videmus Arrianum VII, 19, 12 *ὅτι μόνοι (οἱ Ἄραβες) οὔτε πρεσβείαν ἀπέστειλαν —, οὔτε τι ἄλλο ἐπέπρακτο Ἀραψιν.* — Supra edd. *ἅμα οἱ.*

7. *Λεοννάτος*] Ita scriptum atque notatum ubique vidimus hoc nomen apud Arrianum. Et sic quoque Plut. vit. Alex. c. XL. Eumen. c. III. Athen. XII, p. 539, D. Apud Diodorum modo scriptum reperi *Λεόννατος*, ut XVI, 94 coll. ann. ad VI, 28, 6, modo *Λεόννατος*, ut XVII, 37. 104: quamquam etiam hic ed. Bas. et cod. Reg. 1 praebent *Λεόννατος* et vulgo legebatur *Λεόνατος.* In Anecdd. Graec. p. 178, 26 Bekkerus intactum reliquit quod ibi est *Λεονᾶτος*; idem ille vero dedit apud Phot. Bibl. p. 69, a *Λεοννάτος.*

9. *οἱ ὑπασπισταί*] Ed. Bas. *οἱ ἱππασπισταί.*

10. *καὶ ὑπὸ τῶν ἐκ τῆς πόλεως*] Ita codd. Gronovii omnes, ita C. V. Vulcanii et ed. Basil. *ἀπὸ τῶν* edd Vulc. et Blanc. Male. De crebra harum praepositionum confusione diximus ad I, 21, 8. Cf. IV, 2, 5 *ἐς τοὺς προμαχομένους ἀπὸ τοῦ τείχους —, ὥστε ὀξέως μὲν ὑπὸ τοῦ πλήθους ἐγυμνώθη,* ubi rursus ed. Vulc. et Blancard. minus recte *ἀπὸ τοῦ πλήθους.*

ἔπεσον, τοῖς δὲ ἄλλοις ἄπορον ἐποίησαν τὴν ἄνοδον.
Ἀλέξανδρος δὲ ὡς ἐπὶ τοῦ τείχους στὰς κύκλῳ τε ἀπὸ 10
τῶν πλησίον πύργων ἐβάλλετο (οὐ γὰρ πελάσαι γε
ἐτόλμα τις αὐτῷ τῶν Ἰνδῶν) καὶ ὑπὸ τῶν ἐκ τῆς πόλεως
οὐδὲ πόῤῥω τούτων γε ἐσακοντιζόντων· ἔτυχε γάρ τι καὶ 11
προσκεχωσμένον ταύτῃ πρὸς τὸ τεῖχος· δῆλος μὲν ἦν
Ἀλέξανδρος τῶν τε ὅπλων τῇ λαμπρότητι καὶ τῷ ἀτόπῳ
τῆς τόλμης, ἔγνω δ', ὅτι αὐτοῦ μὲν μένων κινδυνεύσει
μηδὲν ὅ τι καὶ λόγου ἄξιον ἀποδεικνύμενος, καταπηδήσας
δὲ εἴσω τοῦ τείχους τυχὸν μὲν αὐτῷ τούτῳ ἐκπλήξει τοὺς
Ἰνδούς, εἰ δὲ μὴ καὶ κινδυνεύειν δέοι, μεγάλα ἔργα καὶ
τοῖς ἔπειτα πυθέσθαι ἄξια ἐργασάμενος οὐκ ἀσπουδεὶ ἀπο-

τούτων γε ἐσακοντιζόντων] Ed. Bas. τούτων τε, quod ferri nequit. Vide ann. ad I, 18, 3 et IV, 8, 8. — Mox eadem ed. προσκεχωσμένων.

11. ἔγνω δ' ὅτι] Ed. Bas. ἔγνω διότι. Voluit sine dubio δὲ ὅτι. — Verbis paulo supra positis δῆλος μὲν ἦν Ἀλέξανδρος omnes codd. Gronovii addunt participium ὤν. Gronovius ad h. l.: „Quasi repeteret idem, inquit, quod de Alexandro dixit I, 15 (l. 14. 7) δῆλος γὰρ ἦν τῶν τε ὅπλων τῇ λαμπρότητι καὶ τῇ θεραπείᾳ, ipsis plane iisdem verbis, ut inde facilius ignoscas editoribus violente omittentibus, quod assequi non poterant. Nam quid est quod his addunt omnes prorsus, quos vidi, codices Mssti voculam ὤν? etsi Vulcanius ex V. C. non notavit; ego certe dico a me in omnibus antiquis libris repertam. Quam etsi pro non ingrata Arriano per pleonasmum loquutione tueri possimus, tum sane videtur manifestius etiam ex Graecismi more exprimere mentem voluisse apposito participio. Sic II, 5, 3 de Anchialo, τοῖς θεμελίοις τῶν τειχῶν δήλη ἐστὶ μεγάλη τε πόλις κτισθεῖσα. Et ibid. c. 10, 3 δῆλος ἐγένετο τῇ γνώμῃ δεδουλωμένος. Infra hoc libro c. 29, (imo VII, 29, 4) καὶ δῆλον εἶναι ἐπ' αὐτῷ μεταγιγνώσκοντα. Indic. c. 34 αὐτὸς δὲ δῆλος ἦν μεγάλῳ ἄχει βεβλημένος." Attuli haec Gronovii verba, quamquam ad defendendam codicum scripturam nihil conferunt, ut magnam mireris Gronovii rerum grammaticarum scientiam. Arrianum participium ὤν addidisse parum mihi verisimile est. Sed hoc constat, scriptores labentis Graecitatis passim tali circumlocutione usos esse. Vide Achill. Tat. p. 112, Iac. ὅποι ποτ' ἂν ὦσιν ὄντες. Philostr. Heroic. p. 140, Boiss. πρὸ τοῦ Παλαμήδους ὧραι μὲν οὔπω ἦσαν οὖσαι. Arist. Physiogn. in init. οὐκ εἰσὶν αὐταὶ καθ' ἑαυτοὺς ἀπαθεῖς οὖσαι. Vide Dorv. ad Charit. p. 295. Boisson. ad Eu-

12 θανεῖται· ταῦτα γνοὺς καταπηδᾷ ἀπὸ τοῦ τείχους ἐς τὴν ἄκραν· ἔνθα δὴ ἐρεισθεὶς πρὸς τῷ τείχει τοὺς μέν τινας ἐς χεῖρας ἐλθόντας καὶ τόν γε ἡγεμόνα τῶν Ἰνδῶν προσφερόμενόν οἱ θρασύτερον παίσας τῷ ξίφει ἀποκτείνει, ἄλλον δὲ πελάζοντα λίθῳ βαλὼν ἔσχε καὶ ἄλλον δὲ πελάζοντα λίθῳ· τὸν δὲ ἐγγυτέρω προσάγοντα τῷ ξίφει
13 αὖθις. Οἱ δὲ βάρβαροι πελάζειν μὲν αὐτῷ οὐκέτι ἤθελον,

---

nap. p. 357; ad Philostr. Heroic. p. 660. Iacobs. ad Achill. Tat. p. 781. Quod vulgo inde a Gronovio legebatur apud Arr. Hist. Ind. IV, 7 *εἶναι ὄν τὸ εὖρος τῷ Γάγγῃ* e solo cod. F. desumtum, id non dubito quin mutandum sit in *εἶναι ὧν τὸ εὖρος*: quomodo dixit Hist. Ind. III, 3 *εἴη ἂν ὧν ἡ πλευρὴ τῆς Ἰνδῶν γῆς*.

εἰ δὲ μὴ καὶ κινδυνεύειν δέοι] Hic locus per se iam paulo obscurior miro modo in codd. et edd. vett. turbatus est. Edd. Bas. Vulc. Blanc. *εἰ δὲ μὴ κινδυνεύειν δέ οἱ*. Cod. August. *εἰ δὲ καὶ κινδυνεύειν δέοι*. Codd. Gronovii quattuor *εἰ δὲ καὶ μὴ κινδυνεύειν δέοι*. Cod. F. *εἰ δὲ μὴ καὶ κινδυνεύειν δέοι*, quod recepimus Schmiederum secuti. Verba enim *καὶ κινδυνεύειν δέοι* ad explicanda ea quae praegressa sunt *εἰ δὲ μή* apposita videntur, quasi dixisset *εἰ δὲ μὴ ἐκπλήξειε καὶ εἰ κινδυνεύειν δέοι*. Eadem fere de causa servandam censuimus vulgatam l. IV, 4, 16 *εἰ δὲ μή, δοκοῦσιν ἄν μοι — διαφθαρῆναι, εἰ μὴ Ἀλέξανδρος ἔκαμεν*. Similem sententiam vide apud Xenophont. Anab. III, 2, 7 *νομίζων εἴτε νίκην διδοῖεν οἱ θεοί, τὸν κάλλιστον κόσμον τῷ νικᾶν πρέπειν, εἴτε τελευτᾶν δέοι, ὀρθῶς ἔχειν τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα ἐν τούτοις τῆς τελευτῆς τυγχάνειν*. — Ceterum totum hunc locum paulo difficiliorem ita interpreter: *Alexander autem, cum in muro stans a vicinis circumquaque turribus iaculis peteretur (neque enim Indorum quisquam aggredi eum audebat) atque etiam ii qui in urbe inclusi erant, tela in illum coniicerent non longe ab eo remoti (erat enim ibi agger quidam usque ad murum fere exstructus), cum praeterea etiam tum armorum splendore, tum insigni audacia conspicuus esset atque id persuasum haberet, se, si in muro permaneret, periclitaturum neque quidquam operae pretium perfecturum; at, si intra murum prosiliret, fieri posse ut hoc ipso facto Indis terrorem iniiceret, sin minus, et si certamine opus esset, se magnis saltem rebus dignisque memoria posterorum editis moriturum esse: his perpensis a moenibus in arcem desiluit* cet.

μεγάλα ἔργα — ἀποθανεῖται] Orationis colorem duxit Arria-

ἔβαλλον δὲ πάντοθεν περιεστηκότες ὅ τι τις ἔχων βέλος ἐτύγχανεν ἢ ἐν τῷ τότε ἔλαβεν.

X. Ἐν τούτῳ δὲ Πευκέστας τε καὶ ὁ διμοιρίτης Ἀβρέας καὶ ἐπ᾽ αὐτοῖς Λεοννάτος, οἳ δὴ μόνοι ἔτυχον πρὶν ξυντριβῆναι τὰς κλίμακας ἀναβεβηκότες ἐπὶ τὸ τεῖχος, καταπηδήσαντες καὶ αὐτοὶ πρὸ τοῦ βασιλέως ἐμάχοντο. Καὶ Ἀβρέας μὲν ὁ διμοιρίτης πίπτει αὐτοῦ τοξευθεὶς ἐς

---

nus ab Homero, qui Iliad. XXII, 304 sq. Hectorem induxit haec exclamantem:

μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλειῶς ἀπολοίμην,
ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.

Eiusdem rei meminit Diod. Sicul. XVII, 99 his verbis: *ὁ δὲ βασιλεὺς ἐρημωθεὶς πάσης βοηθείας ἐτόλμησεν ἐπιτελέσαι πρᾶξιν παράδοξον καὶ μνήμης ἀξίαν.* Conferri praeterea iussit Gronovius Polyb. V, 38.

12. *λίθῳ βαλὼν ἔσχε*] Vulcanius: *alium vero appropinquantem lapide coniecto reprimit.* Non inepte. Nam saepius ita Arriano simplex *ἔχειν* dictum est pro *κατέχειν* h. e. *reprimere, inhibere*: ut I, 15, 11 *τὴν πληγὴν δὲ ἔσχε τὸ κράνος.* IV, 24, 7 *ὁ γὰρ θώραξ ἔσχε τὴν πληγήν*, coll. IV, 23, 5 *ὁ γὰρ θώραξ ἔσχε τὸ μὴ οὐ — ἐλθεῖν.* Sed vides sine dubio harum locutionum paulo aliam rationem esse. Quid vero si Arrianum statuamus *βαλὼν ἔσχε* dixisse pro *ἔβαλε*? Vide Wernsd. ad Himer. Or. I, p. 365. Cf. Soph. Aiac. v. 22 *ἔχει περάνας.* Oed. Col. v. 1142 *ἃ μάλιστα θαυμάσας ἔχω.* Demosth. de fals. leg. p. 393, Bekk. *εἰς ὅσην ἀτιμίαν — ἡ τούτων πονηρία καὶ ψευδολογία καταστήσασα ἔχει.* Plat. Legg. p. 793, B. *ἃ — περικαλύψαντα ἔχει τοὺς τότε γραφέντας νόμους* et similia plura. Quamquam negari non potest, in talibus circumlocutionibus verbum *ἔχειν* semper aliquid retinere suae propriae significationis. Quod nisi iam per se apertum esset, facile cognosceretur e talibus qualia sunt Soph. Antig. v. 146 *δικρατεῖς λόγχας — στήσαντ᾽ ἔχετον.* Xenoph. Anab. VII, 7, 27 *ὃ νῦν καταστρεψάμενος ἔχεις.*

C. X. *Πευκέστας*] Haec constans est huius nominis forma apud Arrianum. Diodoro placuit forma *Πευκέστης*, ut XVII, 99. XVIII, 39 cet. Eadem forma qua Arrianus, usus est Plut. vit. Alex. c. LXIII cet. Neque aliter dixerunt Curtius IX, 5, 14 et Plin. Hist. nat. XXXIV, 8. Vide quae de formis *Μενίδης* et *Μενίδας* monuimus ad III, 5, 1. — In initio huius capitis de meo

2 *τὸ πρόσωπον. Ἀλέξανδρος δὲ βάλλεται καὶ αὐτὸς δια τοῦ θώρακος ἐς τὸ στῆθος τοξεύματι ὑπὲρ τὸν μαστόν, ὥστε λέγει Πτολεμαῖος ὅτι καὶ πνεῦμα ὁμοῦ τῷ αἵματι*
3 *ἐκ τοῦ τραύματος ἐξεπνεῖτο· ὁ δὲ ἔστε μὲν ἔτι θερμὸν ἦν αὐτῷ τὸ αἷμα, καίπερ κακῶς ἔχων ἠμύνετο· πολλοῦ δὲ δὴ τοῦ αἵματος καὶ ἀθρόου οἷα δὴ ξὺν πνεύματι ἐκρυέντος, ἴλιγγός τε αὐτὸν καὶ λειποψυχία κατέσχε, καὶ*
4 *πίπτει αὐτοῦ ἐπὶ τὴν ἀσπίδα ξυννεύσας. Πευκέστας δὲ περιβὰς πεπτωκότι καὶ ὑπερσχὼν τὴν ἱερὰν τὴν ἐξ Ἰλίου ἀσπίδα πρὸ αὐτοῦ καὶ Λεοννάτος ἐς τὰ ἐπὶ θάτερα,*

---

dedi *ἐν τούτῳ δέ* pro vulgato *ἐν τούτῳ τε.* Exempla bene multa collecta vide in ann. ad III, 2, 4.

2. *Ἀλέξανδρος δὲ βάλλεται*] Ed. Basil. *Ἀλέξανδρος δὲ καὶ βάλλεται.*

ὑπὲρ τὸν μαστόν] Diod. Sic. XVII, 99 *τέλος δὲ τοξευθεὶς ὑπὸ τὸν μαστὸν ἔπεσεν εἰς τὸ γόνυ.* Uter horum verum tradidit? Plutarchus quidem litem non dirimit. Vide vit. Alex. c. LXIII *ὥστε τὸν θώρακα διακόψαν ἐμπαγῆναι τοῖς περὶ τὸν μαστὸν ὀστέοις.* Cf. Plut. de fort. Alex. II, p. 356, Reisk. *οὗ τοῖς περὶ τὸν μαστὸν ἐνερεισθέντος ὀστέοις καὶ καταπαγέντος.*

4. *τὴν ἐξ Ἰλίου ἀσπίδα πρὸ αὐτοῦ*] Edd. vett. et plures codd. Gronovii *πρὸς αὐτοῦ εἶχε.* „Verbum postremum nulli bono inservit. An scilicet non id satis includitur in *ὑπερσχών*? Et sane ab Optimo ignoratur, idque recte. Dependet enim omnis oratio a sequenti *βάλλονται.* Sed et praeterea duo Mssti *πρὸ αὐτόν*, unde vera est Optimi codicis scriptura *πρὸ αὐτοῦ*, quam et notavit ex Augustano Vulcanius. Quin et ex sequentibus *καὶ Λεοννάτος εἰς τὰ ἐπὶ θάτερα,* quod, oro, latine versum est, *Leonnatus etiam ictus excipiebat.* Manifestior sane, licet paulo diffusior, Facius: *Palladis scuto superiniecto, oppositu quoque sui corporis ab irruentibus telis regem protegebat. Leonnatus quoque lateri affusus venientes ictus excipiebat.* Sententia est: *Interim Peucestas appropinquans collapso, et obtento ante eum scuto Palladis Iliacae, atque etiam Leonnatus ex altera parte* (sc. ei se adiungens) *uterque vulneratur.*" *Gronov.* Verum sine dubio vidit Gronovius. Ut autem constructio paulo concinnior fieret, comma posuimus ante *οὗτοι δὲ* pro puncto maiusculo in edd. vulgg. posito. Similem orationis colorem video in his Hist. Ind. XXXVI, 6 *τὰ δὲ εὐκετέα κλέους ἤδη ἑτοίμου ἐχό-*

οὗτοι δὲ βάλλονται ἀμφότεροι, καὶ Ἀλέξανδρος ἐγγὺς ἦν
ἤδη ὑπὸ τοῦ αἵματος ἐκλιπεῖν· τοῖς γὰρ Μακεδόσι καὶ 5
ταύτῃ ἐν ἀπόρῳ γεγένητο τὰ τῆς προσβολῆς, ὅτι οἱ τὸν
Ἀλέξανδρον βαλλόμενόν τε ἐπὶ τῷ τείχει ἰδόντες καὶ
πηδῶντα ἔσω ἐς τὴν ἄκραν, ὑπὸ σπουδῆς τε καὶ φόβου,
μή τι αὐτοῖς ὁ βασιλεὺς πάθῃ οὐ ξὺν νόῳ κινδυνεύων,
τὰς κλίμακας συντετριφότες, ἄλλοι ἄλλας μηχανὰς ἐς τὸ
ἀνελθεῖν ἐπὶ τὸ τεῖχος ὡς ἐν ἀπόροις ἐμηχανῶντο· οἱ 6
μὲν πασσάλους ἐμπηγνύοντες ἐς τὸ τεῖχος γήινον ὂν καὶ
κατὰ τούτους ἐκκρεμαννύμενοι χαλεπῶς ἀνεῖρπον, οἱ δὲ

μενα, ταῦτα δέ et Diss. Epict. I, 14 ὁ δὲ καὶ τὸν ἥλιον αὐτὸν πεποιηκὼς καὶ περιάγων μέρος ὄντ' αὐτοῦ μικρὸν ὡς πρὸς τὸ ὅλον, οὗτος δ' οὐ δύναται. Cf. ann. ad I, 20, 4. — Mox ed. Bas. ἐπιθάτερα.

5. ἐν ἀπόρῳ γεγένητο] Hanc scripturam revocavi ex ed. Basil. pro γεγένηται, quod, cum primus evulgasset Vulcanius, temere admiserunt omnes editores. Vide ann. ad VII, 16, 12.

πηδῶντα ἔσω ἐς τὴν ἄκραν] Similiter dixit VII, 1, 2 ὡς ἐπὶ Γάδειρα ἔσω ἐς τὴν ἡμετέραν θάλασσαν. Suffecisset tamen sive simplex εἴσω, sive εἰς. Sic I, 8, 2 ὡς εἶδε Περδίκκαν προεληλυθότα εἴσω τοῦ χάρακος. I, 21, 5 κατακλείονται εἴσω τῶν πυλῶν. IV, 15, 11 ἐλάσειν εἴσω τοῦ Πόντου. VI, 9, 11 καταπηδήσας δὲ εἴσω τοῦ τείχους.

οὐ ξὺν νόῳ κινδυνεύων] Vulcanius: *qui se temerario periculo obiecerat.* Recte. Mallem tamen: *qui sine consilio se obiecerat periculo.* Cf. III, 18, 19 οὐδ' ἐμοὶ δοκεῖ ξὺν νῷ δρᾶσαι, ubi vide plura exempla allata. Ceterum animadverte formam non contractam quae est νόῳ. Cuius nullum praeter hoc ex Arriano afferre possum exemplum. Contractam formam habes I, 1, 9. I, 23, 2. II, 4, 7. V, 23, 10. VII, 17, 3. Neque, si haec sola forma apud Arrianum exstaret Ionicae dialecti, cunctatus essem eam mutare. Num tu autem sollicitabis eam perlectis quae dicta sunt in praef. t. I, p. XLIX coll. ann. ad II, 20, 1. II, 24, 6. Formam ῥόῳ VI, 18, 9 eandem ob causam servavi.

ὡς ἐν ἀπόροις ἐμηχανῶντο] „*Ut in dubiis rebus*, ut fieri solet in huiusmodi rerum difficultate, ubi consilium ex tempore capiendum et primo quoque obvio utendum est.“ *Raphel.* Particulae quae est ὡς usum illustravit Krueg. ad Xenoph. Anab. IV, 3, 30 ὡς ἐν τοῖς ὄρεσιν.

7 ἄλλοι ἐπ' ἄλλους ἐπιβαίνοντες. Ὁ δὲ πρῶτος ἀνελθὼν ἐνρίπτει ἑαυτὸν κατὰ τὸ τεῖχος ἐς τὴν πόλιν ἵναπερ τὸν βασιλέα ἑώρων κείμενον, ξὺν οἰμωγῇ καὶ ἀλαλαγμῷ πάντες·
8 ἤδη τε ἀμφ' αὐτῷ πεπτωκότι καρτερὰ μάχη ξυνειστήκει, ἄλλου ἐπ' ἄλλῳ τῶν Μακεδόνων προασπίζοντος, καὶ ἐν τούτῳ οἱ μὲν τὸν μοχλὸν ὅτῳ εἴχετο ἡ κατὰ τὸ μεταπύργιον πύλη, κατασχίσαντες ἐπ' ὀλίγους παρήεσαν, οἱ δὲ, καθότι ἡ πύλη διέσχε, τοὺς ὤμους ὑποθέντες καὶ ὤσαντες ἐς τὸ ἔσω τὸ τεῖχος ἀνεπέτασαν ταύτῃ τὴν ἄκραν.

XI. Ἐν τούτῳ δὲ οἱ μὲν ἔκτεινον τοὺς Ἰνδούς, καὶ ἀπέκτεινάν γε πάντας οὐδὲ γυναῖκα ἢ παῖδα ὑπελείποντο·

---

7. *ἐνρίπτει ἑαυτόν*] Ita codd. Gronovii omnes. *ἐκρίπτει* edd. vett. Minus apte. Praeterea Gronovius: „Si verti debet, inquit, *e muro*, omnino etiam scribendum fuit *κατὰ τοῦ τείχους*. Sed verti potest *circa eam muri partem*.“ Bene. Vide ann. ad III, 18, 13 et VI, 9, 3. — Infra ed. Bas. *ἀμφ' αὐτῷ*.

8. *ἐπ' ὀλίγους παρήεσαν*] Hanc scripturam debemus ed. Basileensi, quam solam veram habeamus. Vulcanio, qui dederat *ἔτ' ὀλίγους παρίεσαν*, recentiorum editorum nemo oblocutus est. At quomodo sibi explicuerint particulam *ἔτι*, quomodo *παρίεσαν* —? Vertunt: *nonnullos praeterea intromiserunt*. Sed quid id est? Hoc potius videtur dicere voluisse Arrianus: *Interea vero alii, portae vectibus divulsis in urbem singuli prope prodierunt*. Nimirum cum porta nondum late pateret, nec multi, nec simul plures in urbem poterant irrumpere. *Ἐπ' ὀλίγους* dictum puto pro *ἐπ' ὀλίγων* h. e. *wenige Mann hoch*. Similiter dixit Strabo XV, p. 704 *ἐφ' ἕνα* et Aristoph. Babylonn. fragm. 6 *ἐπὶ τρεῖς ἀσπίδας* (cf. Arr. I, 5, 21 *ἐπὶ τεσσάρων ἀσπίδων*) apud Bernh. Wiss. Synt. p. 251. Sic etiam apud Xenoph. Anab. IV, 8, 11 dictum vides *ἐπὶ πολλούς*, cum mox sequatur *ἐὰν δ' ἐπ' ὀλίγων τεταγμένοι ἴωμεν*. — Infra ed. Bas. *ταύτην τὴν ἄκραν*.

C. XI. 2. *Κριτόδημον ἀνέγραψαν*] Curtio (IX, 5, 25) et Plinio (VII, 37) hic medicus audit *Critobulus*. „In qua tamen re minus mirari oportet, quum sic et Pythodemus archon citatus in principio huius historiae (vid. ad. I, 1, 1. E.), ab aliis dicatur Pythodorus.“ *Gronov*. Vide ann. ad II, 11, 14 et II, 24, 12.

τὸ γένος Ἀσκληπιάδην] Edd. vett. cum quattuor codd. *τὸ γένος τῶν Ἀσκληπιαδῶν*. Vulcanius in V. C. reperiebat *τοῦ γένους τῶν Ἀσκληπιαδῶν*. Quod dedimus cum Schmiedero, suppeditavit cod.

οἱ δὲ ἐξέφερον τὸν βασιλέα ἐπὶ τῆς ἀσπίδος κακῶς ἔχοντα,
οὔπω γιγνώσκοντες βιώσιμον ὄντα. Τὸ δὲ βέλος ἐξελκύσαι 2
ἐκ τοῦ τραύματος ἐπιτεμόντα τὴν πληγὴν οἱ μὲν Κριτό-
δημον ἀνέγραψαν ἰατρὸν Κῷον, τὸ γένος Ἀσκληπιάδην· 3
οἱ δὲ Περδίκκαν τὸν σωματοφύλακα, οὐ παρόντος ἐν τῷ
δεινῷ ἰατροῦ, ἐγκελευσαμένου Ἀλεξάνδρου τῷ ξίφει ἐπι-
τεμεῖν τὴν πληγὴν καὶ κομίσασθαι τὸ βέλος. Ἐν δὲ τῇ 4
κομιδῇ φορὰ αἵματος πολλοῦ γίγνεται, ὥστε λειποψυχῆσαι
αὖθις Ἀλέξανδρον καὶ οὕτω σχεθῆναι αὐτῷ τὸ αἷμα ὑπὸ
τῇ λειποψυχίᾳ. Πολλὰ δὲ καὶ ἄλλα ἀναγέγραπται τοῖς 5
ξυγγραφεῦσιν ὑπὲρ τοῦ παθήματος· καὶ ἡ φήμη παρα-

F. Atque confirmatur haec lectio ab Arriano ipso. I, 27, 8 *τὸ μὲν γένος Πισίδαι.* IV, 3, 15 *τὸ μὲν γένος Λύκιον τὸν Φαρνούχην.* Non multum distant quae leguntur IV, 10, 8 *ὅτι μὴ κατὰ γένος τὸ Ἀλεξάνδρου· Ἡρακλείδην γὰρ εἶναι Ἀλέξανδρον*, et IV, 11, 11 *Ἡρακλείδῃ δὲ ἀπὸ γένους καὶ Αἰακίδῃ.* Haud inepta tamen est quam praebet lectionem C. V. Vulcanii. Similiter enim dixit Arrianus II, 27, 8 *Νεοπτόλεμος τῶν ἑταίρων, τοῦ Αἰακιδῶν γένους* coll. II, 5, 12 *αὐτὸς δ' ἀπ' Ἄργους τῶν Ἡρακλειδῶν εἶναι ἠξίου* et Xen. Cyrop. I, 2, 1 *ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν.*

3. *ἐγκελευσαμένου Ἀλεξάνδρου*] Ed. Bas. *Ἀλεξάνδρῳ.*

4. *σχεθῆναι ὑπὸ τῇ λειποψυχίᾳ*] h. e. *sanguinem sub animi defectione constitisse.* Sic V, 2, 9 *καὶ ὑπὸ τῇ κατακλίσει τοῦ θεοῦ κατασχεθῆναί τε πρὸς τοῦ Διονύσου.* Non inepte etiam scriberetur *ἐπὶ τῇ λειποψυχίᾳ.* Cf. IV, 12, 2 *σιγῆς γενομένης ἐπὶ τοῖς λόγοις.* Sed vulgatam tantum abest ut inferiorem censeam, ut eam praeferam. Vide ann. ad III, 21, 10. — De nominis *φορά* significatione dixit Baehr. ad Plut. vit. Pyrrh. p. 160 et Herm. ad Luc. Quom. sit hist. conscr. p. 280.

κατὰ τοὺς πρώτους ψευσαμένους] „*Sicut primi mendacii auctores.* Imitata est fama primos mendacii auctores. Quod enim illi prodiderunt mendacium, id haec accepit acceptumque servavit. Sic *κατὰ* similitudinem notat III, 27, 10. IV, 25, 4. Hist. Ind. VI, 9. Mallem, fateor, cum Vulcanio vertere *a primis*, sed vereor ut *κατά* hanc significationem admittat.“ *Raphel.*

5. *καὶ ἐφεξῆς ἄλλοις*] Ita edd. vett. et quattuor codd. Gronovii. Schmiederus ex auctoritate codicis F. secundam vocem omisit. Quam ob causam, ignoro. Voce *ἐφεξῆς* Arrianus crebro usus est, ut IV, 12, 2. IV, 18, 11. VII, 4, 10. Tact. c. XVI. — Supra ed. Bas. *ἀφήσῃ.*

δεξαμένη αὐτὰ κατὰ τοὺς πρώτους ψευσαμένους ἔτι καὶ εἰς ἡμᾶς διασώζει· οὐδὲ ἀφήσει παραδιδοῦσα καὶ ἐφεξῆς ἄλλοις τὰ ψεύδη, εἰ μὴ ὑπὸ τῆσδε τῆς ξυγγραφῆς παύσε-
6 ται. Αὐτίκα ἐν Ὀξυδράκαις τὸ πάθημα τοῦτο γενέσθαι Ἀλεξάνδρῳ ὁ πᾶς λόγος κατέχει· τὸ δὲ ἐν Μαλλοῖς ἔθνει αὐτονόμῳ Ἰνδικῷ ξυνέβη· καὶ ἥ τε πόλις Μαλλῶν ἦν
7 καὶ οἱ βαλόντες Ἀλέξανδρον Μαλλοί· οἳ δὴ ἐγνώκεσαν μὲν ξυμμίξαντες τοῖς Ὀξυδράκαις οὕτω διαγωνίζεσθαι· ἔφθη δὲ διὰ τῆς ἀνύδρου ἐπ᾽ αὐτοὺς ἐλάσας πρίν τινα ὠφέλειαν αὐτοῖς παρὰ τῶν Ὀξυδρακῶν γενέσθαι, ἢ αὐτοὺς
8 ἐκείνοις τι ἐπωφελῆσαι. Ἐπεὶ καὶ τὴν τελευταίαν μάχην τὴν πρὸς Δαρεῖον γενομένην καθ᾽ ἥντινα ἔφυγε Δαρεῖος οὐδὲ πρόσθεν ἔληξε τῆς φυγῆς, πρὶν ξυλληφθῆναι ὑπὸ τῶν ἀμφὶ Βῆσσον καὶ προσάγοντος ἤδη Ἀλεξάνδρου ἀποθανεῖν, πρὸς Ἀρβήλοις γενέσθαι ὁ πᾶς λόγος κατέχει, καθάπερ οὖν καὶ τὴν

---

6. *Αὐτίκα ἐν Ὀξυδράκαις*] „Vox prima quid boni ad hanc periodum apportet, nullus video. Nempe destinguendum ita: *εἰ μὴ — παύσεται αὐτίκα. Ἐν Ὀξυδράκαις.*" *Gronov.* Qua Gronovii annotatione silentio praetermissa Raphelius recte: „*αὐτίκα, iam primum.* Peculiarem habet hoc adverbium usum a nobis quoque ex multis Xenophontis exemplis deprehensum. Is autem est, uti diligentissimus Stephanus iam annotavit, quum nobis ad eius quod diximus confirmationem, in promptu esse exemplum docere volumus, atque adeo id proferimus: q. d. *Ne longe abeam; ne longe exempla petam.* Ita Xenoph. de Laced. Rep. init. (I, 3) *αὐτίκα γὰρ περὶ τεκνοποιίας, iam primum quod liberorum procreationem attinet.* Eodem sensu *εὐθύς* usurpatur Arriano Dissert. Epict. II, 17 *εὐθὺς τοὺς ὅρους Πλάτων μέν κ. τ. λ.* Atque ipsum *αὐτίκα* in Tact. c. 4 (imo c. III *αὐτίκα τῶν πεζῶν ἡ ὅπλισις*). c. 14. (imo c. XIII *αὐτίκα ἐπὶ τῷ λόγῳ — ὑπεθέμεθα*). Polybius pro eo dicit *εὐθέως* VI, 50 et XII, 3." Adde Xenoph. Cyrop. I, 6, 9 *αὐτίκα δήπου οἶσθα.* Oecon. XIX, 18 *αὐτίκα ἄμπελος — διδάσκει.* Ael. vv. hh. II, 25 *αὐτίκα γοῦν Σωκράτης ἐν ταύτῃ ἐγένετο.* Cf. Ruhnk. ad Tim. p. 56. Koen. ad Greg. Cor. p. 416. — De usu pronominis s. articuli in formula *τὸ δὲ ἦν* vid. ann. ad. VI, 26, 2.

7. *παρὰ τῶν Ὀξυδρακῶν*] Edd. *Ὀξυδράκων.*

8. *πρὸς Ἀρβήλοις γενέσθαι*] „An hoc loco in iteratione eiusdem verbi tantum decus est, ut libenter id videant, quum aliis in locis id corruperint? Ipsi consulant. Vox *γενέσθαι* non est in *Optimo*

πρὸ ταύτης ἐν Ἰσσῷ, καὶ τὴν πρώτην ἱππομαχίαν πρὸς Γρα-
νικῷ. Ἀλλὰ πρὸς Γρανικῷ μὲν ξυνέβη μάχη ἱππικὴ καὶ 9
πρὸς Ἰσσῷ ἡ αὖθις πρὸς Δαρεῖον μάχη. Ἄρβηλα δὲ τοῦ
χώρου ἐν ᾧ τὴν ἐσχάτην μάχην Δαρεῖός τε καὶ Ἀλέξανδρος
ἐμαχέσαντο, οἱ μὲν τὰ πλεῖστα ξυγγράψαντες λέγουσιν
ὅτι ἑξακοσίους σταδίους ἀπέχει· οἱ δὲ τὰ ἐλάχιστα ὅτι
ἐς πεντακοσίους. Ἀλλὰ ἐν Γαυγαμήλοις γὰρ γενέσθαι τὴν 10
μάχην πρὸς τῷ ποταμῷ Βουμώδῳ λέγει Πτολεμαῖος καὶ
Ἀριστόβουλος· πόλις δὲ οὐκ ἦν τὰ Γαυγάμελα, ἀλλὰ κώμη
μεγάλη, οὐδὲ ὀνομαστὸς ὁ χῶρος οὐδὲ εἰς ἀκοὴν ἡδὺ τὸ ὄνο-
μα· ἔνθεν δὲ, μοὶ δοκεῖ, πόλις οὖσα τὰ Ἄρβηλα ἀπενέγκατο
τὴν δόξαν τῆς μεγάλης μάχης. Εἰ δὲ πρὸς Ἀρβήλοις χρὴ 11
οἴεσθαι γενέσθαι τὸ ἔργον ἐκεῖνο εἰς τοσόνδε Ἀρβήλων ἀπέ-
χον, καὶ τὴν ἐν Σαλαμῖνι γενομένην ναυμαχίαν πρὸς ἰσθμῷ
τῷ Κορινθίων ἔξεστι λέγειν ὅτι ἐγένετο, καὶ τὴν ἐπ'

---

codice, qua nequaquam egemus." *Gronov.* Cum Gronovius non viderit h. l. verbum *γενέσθαι* omnino necessarium esse, nihil sane eum videre potuisse facile quis coniiciat. Nonne meminerat quod statim sequebatur *τὴν ἐν Σαλαμῖνι γενομένην μάχην — ὅτι ἐγένετο —!* Sed omnes eiusmodi errores orti sunt ex nimio studio servandi lectiones a cod. F. suppeditatas. Schmiederus quidem hoc loco non ausus est vulgatam mutare. — Mox ed. Basil. *καθαπεροῦν*.

ἐν Ἰσσῷ] Sic Strabo XIV, 5 *Ἰσσὸς πολίχνιον ὕφορμον ἔχον.* Diod. Sic. XVII, 32 *τὴν Ἰσσὸν πόλιν ἀξιόλογον.* Unus Xenophon, quantum equidem sciam, dixit Anab. I, 4, 1 *εἰς Ἰσσοὺς τῆς Κιλικίας ἐσχάτην πόλιν.* Vide Krueg. ad I, 2, 24. Idem iam monuimus de urbe *Ταρσός* variante numero ad II, 4, 7. — Infra edd. omnes *πρὸς Γρανίκῳ*, de qua forma vid. ann. ad IV, 8, 11.

10. *πρὸς τῷ ποταμῷ Βουμώδῳ*] Edd. vett. *Βουμηλῷ.* Vulcanius e V. C. notavit *Βουμολῷ*, quod iam accedit propius ad eam scripturam quae nobis in textum recepta est praeeunte Schmiedero. Vide ann. ad III, 8, 11. Ceterum ο et ω, λ et δ saepissime in codicibus confusa reperiri discas e Bastii comm. palaeogr. post Greg. Cor. p. 722 et 747.

ἀλλὰ κώμη μεγάλη] Ita ed. Bas., ita omnes quos inspexit codices Gronovius, ita denique V. C. Vulcanii. Unde non potest dubitari quin particula *οὐ*, quam primus inseruit ante *μεγάλη* Vul-

12 Ἀρτεμισίῳ τῆς Εὐβοίας πρὸς Αἰγίνῃ ἢ Σουνίῳ. Καὶ μὴν ὑπὲρ τῶν ὑπερασπισάντων ἐν τῷ κινδύνῳ Ἀλεξάνδρου, Πευκέσταν μὲν γενέσθαι ξύμπαντες ὁμολογοῦσιν, ὑπὲρ Λεοννάτου δὲ οὐκέτι ξυμφέρονται οὐδὲ ὑπὲρ Ἀβρέου τοῦ
13 διμοιρίτου. Καὶ οἱ μὲν ξύλῳ πληγέντα κατὰ τοῦ κράνους Ἀλέξανδρον καὶ ἰλιγγιάσαντα πεσεῖν, αὖθις δὲ ἀναστάντα βληθῆναι βέλει διὰ τοῦ θώρακος ἐς τὸ στῆθος· Πτολεμαῖος δὲ ὁ Λάγου ταύτην μόνην τὴν πληγὴν πληγῆναι λέγει
14 τὴν ἐς τὸ στῆθος. Τὸ δὲ δὴ μέγιστον πλημμέλημα τῶν ξυγγραψάντων τὰ ἀμφὶ Ἀλέξανδρον ἐκεῖνο τίθεμαι ἔγωγε.

---

canius recepitque etiam Vulcanius, cum Gronovio sit delenda. Nihil enim valere puto auctoritatem Strabonis qui l. XVI, p. 334, ed. ster. *Gaugamela* vocat *κώμιον εὐτελές*. Paulo ante enim idem dixerat, *ἐν δὲ τῇ Ἀσσυρίᾳ ἐστὶ Γαυγάμηλα κώμη.*

μοὶ δοκεῖ] Simile huic frustra quaesivi apud Arrianum exemplum. Aut enim, quod frequentissimum est, *παρενθετικῶς* ei dicitur *δοκεῖν δ' ἔμοιγε*, ut III, 10, 5. VII, 19, 2. Hist. Ind. III, 10 cet., et *ὥς γέ μοι δοκεῖ* ut VII, 19, 11, et *ἐμοὶ δὲ δοκεῖ*, ut VI, 19, 10, aut pendet reliqua enunciati pars a verbo *δοκεῖ*, ut V, 7, 2. V, 8, 1. VI, 13, 11. Hist. Ind. V, 10 cet. Attamen vero mutare quidquam h. l. non venit mihi in mentem. Cf. Lucian. Piscat. c. 31 *ἀλλά, μοὶ δοκεῖ.* Philopseud. c. 25 *ὁ Πλούτων, μοὶ δοκεῖ*, et quae larga manu adspersit exempla diligentissimus Fritzschius Qu. Lucc. p. 25 sq. coll. Schaef. ad Demosth. t. I, p. 667 et Siebel. ad Pausan. I, 4, 3. II, 14, 2.

12. *τῶν ὑπερασπισάντων ἐν τῷ κινδύνῳ Ἀλεξάνδρου*] Sic de meo dedi pro vulgato *Ἀλεξάνδρῳ.* Vide infra VI, 11, 14 *καὶ ὑπερασπίσαι κειμένου* et VI, 28, 6 *τὸν Ἀλεξάνδρου ὑπερασπίσαντα*, ubi huius constructionis rationem dedimus. — Mox ed. Basil. *Ἀβρέτου.*

13. *βληθῆναι βέλει*] „Abest verbum ab *Optimo.* Et quidem id satis intelligitur sub verbo *πληγέντα*, ut ex eo extrahatur id quod solet per *βέλος* fieri.“ *Gronovius.* His Gronovii permotus Schmiederus verbum *βληθῆναι* statim abiecit. Sed haec ellipsis durior est, quam ut ferri possit. Tu confer II, 23, 8 *βληθεὶς λόγχῃ ἀποθνήσκει αὐτοῦ.* II, 27, 3 *αὐτὸς δὲ βάλλεται καταπέλτῃ διὰ τῆς ἀσπίδος διαμπὰξ καὶ τοῦ θώρακος ἐς τὸν ὦμον.*

ταύτην μόνην τὴν πληγὴν πληγῆναι] Similes plures afferre possum ex Arriano loquendi formulas, ut I, 6, 19 *φυλακὰς φυλατ-*

Πτολεμαῖον γὰρ τὸν Λάγου ἔστιν οἳ ἀνέγραψαν ξυναναβῆναί τε Ἀλεξάνδρῳ κατὰ τὴν κλίμακα ὁμοῦ Πευκέστᾳ, καὶ ὑπερασπίσαι κειμένου καὶ ἐπὶ τῷδε Σωτῆρα ἐπικληθῆναι τὸν Πτολεμαῖον· καίτοι αὐτὸς Πτολεμαῖος ἀνα- 15
γέγραφεν οὐδὲ παραγενέσθαι τούτῳ τῷ ἔργῳ· ἀλλὰ στρατιᾶς γὰρ αὐτὸς ἡγούμενος ἄλλας μάχεσθαι μάχας καὶ πρὸς ἄλλους βαρβάρους. Ταῦτα μὲν δὴ ἐν ἐκβολῇ τοῦ 16
λόγου ἀναγεγράφθω μοι, ὡς μὴ ἀταλαίπωρον γίγνεσθαι τοῖς ἔπειτα ἀνθρώποις τὴν ὑπὲρ τῶν τηλικούτων ἔργων τε καὶ παθημάτων ἀφήγησιν.

τομένας. I, 12, 8 εἴ δή τινα ἀρχὴν — ἦρξα. I, 16, 11. II, 5, 4 ἐπίγραμμα ἐπιγραφῆναι. II, 1, 8 ἡ ξύμβασις — ξυνέβη. II, 16, 5 θυσίαι θύονται. IV, 8, 8 τὸν λόγον λεχθέντα. VII, 3, 2 δίαιταν διαιτᾶσθαι. VII, 4, 4 ξυμφοραὶ — ξυνενεχθεῖσαι. VII, 10, 5 γάμους τοὺς αὐτοὺς γεγάμηκα. VII, 11, 15 ἔσπενδον τὰς αὐτὰς σπονδάς. VII, 14, 14 θεραπείαν ἄλλην θεραπεῦσαι. VII, 23, 9 πολλὰ ἀδικήματα ἀδικήσαντι ἐπιστέλλει ἐπιστολήν. Ex quibus vides quomodo locutus est Arrianus. Totum hoc loquendi genus illustravit cl. Lobeck. in Programm. a. 1832 edito, cui index est: Monographia figurae etymologicae. P. I.

14. τὰ ἀμφὶ Ἀλέξανδρον] Haud inepte coniicias Arrianum scripsisse τὰ ἀμφὶ Ἀλεξάνδρῳ. Sic dixit enim II, 3, 14 ὅπως μὲν δὴ ἐπράχθη τὰ ἀμφὶ τῷ δεσμῷ τούτῳ. V, 6, 7 τὰ ἀμφὶ τῇ γῇ τῇ Αἰγυπτίᾳ ποιήματα. VI, 1, 6 τὰ ἀμφὶ τῷ ποταμῷ τῷ Ἰνδῷ. VI, 1, 7 τοῦτο ἀμφὶ τῷ Νείλῳ γραφέν. Sed vulgatam scripturam tuentur haec l. VI, 24, 2 τῶν ξυγγραψάντων τὰ ἀμφ' Ἀλέξανδρον. Atque aliter etiam loqui potuisse Arrianum documento sunt quae diximus in ann. ad IV, 9, 3.

16. ἐν ἐκβολῇ τοῦ λόγου] Recte Vulcanius: *Haec mihi per digressionem dicta sint.* Animo obversatus esse potest Arrriani cum haec scribebat, Thucydides, apud quem habes I, 97 ἔγραψα δὲ αὐτὰ καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην —, ὅτι ἐκλιπὲς — τοῦτο ἦν τὸ χωρίον. Vide Goell. ad h. l. et nos ad Arr. I, 12, 3. cf. Hist. Ind. VI, 1 ταῦτα μέν μοι ἐκβολὴ ἔστω τοῦ λόγου. XVII, 1 ταῦτα δή μοι ἐκβολὴ ἔστω τοῦ λόγου.

ὡς μὴ ἀταλαίπωρον — ἀφήγησιν.] Hoc dicit Arrianus: *Haec mihi per digressionem dicta sint, ut ne posteri in enarrandis tam magnis facinoribus et casibus minus, quam par sit, diligentiae adhibeant.* Sic ἀπόνως et ἀταλαιπώρως iuncta vide VII, 10, 1.

XII. Ἐν ᾧ δὲ Ἀλέξανδρος αὐτοῦ μένων τὸ τραῦμα ἐθεραπεύετο, ἐς τὸ στρατόπεδον ἔνθενπερ ὡρμήθη ἐπὶ τοὺς Μαλλούς, ὁ μὲν πρῶτος λόγος ἧκεν ὅτι τεθνηκὼς
2 εἴη ἐκ τοῦ τραύματος· καὶ τὰ μὲν πρῶτα οἰμωγὴ ἦν τῆς στρατιᾶς ξυμπάσης, ἄλλου ἄλλῳ παραδιδόντος τὴν φήμην· παυσάμενοι δὲ τῆς οἰμωγῆς ἄθυμοί τε καὶ ἄποροι ἦσαν,
3 ὅστις μὲν ἐξηγούμενος ἔσται τῆς στρατιᾶς (πολλοῖς γὰρ δὴ ἐν ἴσῳ τὰ τῆς ἀξιώσεως ἐδόκει πρός τε αὐτοῦ Ἀλεξάν-

---

C. XII. 2. ὅστις — ἐξηγούμενος ἔσται] h. e. *quis esset qui exercitum ducturus esset.* Similia sunt IV, 13, 8 ταύτῃ τῇ νυκτὶ συγκείμενον εἶναι. VI, 14, 3 εἰ δὲ καὶ Ἀλεξάνδρῳ δοκοῦν ἐστι. Dionys. Halic. VI, 71 οὐδὲν ὑμᾶς ἔτι κωλύον ἐστί. Mirum est quod dixit Lucian. Asin. c. 16 οὐκ ἦν ἐξόν. Participium ἡγούμενος de *exercitus duce* dictum vide V, 25, 7 εἰ μὲν δὴ μεμπτοί εἰσιν ὑμῖν οἱ ἡμέτεροι μέχρι δεῦρο πονηθέντες πόνοι καὶ αὐτὸς ἐγὼ ἡγούμενος, ubi cave scriptum malis αὐτὸς ἐγὼ ὁ ἡγούμενος. cf. V, 27, 18 σοὶ μὲν γὰρ αὐτῷ ἡγουμένῳ καὶ στρατιὰν ταύτην ἄγοντι.

3. πολλοῖς γὰρ — καθεστηκέναι] Hunc locum ita interpreter: *multi enim iam tum temporis non ab Alexandro solum, sed Macedonibus etiam ex aequo digni haberi videbantur illo honore.* Similiter dixit ἐξ ἴσου II, 14, 14 et ἐς ἴσον V, 6, 11. Cf. quae accuratissime de hac loquendi formula disseruit Hemsterh. ad Lucian. t. I, p. 299, ed. Bip. — De locutione τὰ τῆς ἀξιώσεως sim. vide ann. ad I, 17, 12.

4. τοῦ Ἀλεξάνδρου φόβου] Ed. Bas. φόβῳ. Geminam verborum constructionem habes V, 19, 10 τοσόσδε Ἀλεξάνδρου φόβος τοῖς βαρβάροις. Accuratius dixit I, 17, 12 ὡς ἀφῃρέθη αὐτοῖς ὁ ἀπὸ τῶν ὀλίγων φόβος, ut Himer. Orat. II, p. 370 τὸν ἐκ τοῦ θανάτου φόβον.

5. ποταμῶν τε — τότε δ' ἐδόκουν εἶναι] Fuit cum particulam δέ e textu remotam vellem. Nunc tamen nihil moveo. Constructionem paulo perversiorem recte iam expedivit Schmiederus. Nimirum verba ita sunt coniungenda: τότε δὲ ἐδόκουν τε εἶναι ἐν μέσῳ ποταμῶν ἀδιαβάτων καὶ ἐφαίνετο. Simile quid afferri potest ex Demosth. orat. Midian. p. 515, Reisk. οὕτω δὲ τούτων ἐχόντων ὅσα μὲν οὖν παρ' ἐμοῦ προσῆκε φυλαχθῆναι, ubi vide Buttm. in Indic. p. 180. — Ceterum particulam adversativam pluribus verbis postponi docuerunt Schaef. ad. Soph. Oed. Reg. v. 749. Popp. de Elocut. Thucyd. p. 302. Fritzsch. Qu. Lucc. p. 100. Cf. Arr. II, 2, 2 παρὰ βασιλέως Φαρναβάζῳ δέ. III, 9, 11 τοὺς κατὰ σφᾶς δέ. VII, 2, 2 ἀπὸ τοῦ ἡλίου δέ. Diss. Epist. IV, 8 τὴν τοῦ φιλοσόφου δ' οὔ. Vide

δρου καὶ πρὸς Μακεδόνων καθεστηκέναι), ὅπως δὲ ἀπο- 4
σωθήσονται εἰς τὴν οἰκείαν, τοσούτων μὲν ἐθνῶν μαχίμων
περιειργόντων σφᾶς ἐν κύκλῳ, τῶν μὲν οὔπω προσκεχω-
ρηκότων, ἃ δὴ ὑπὲρ τῆς ἐλευθερίας εἴκαζον ἀγωνιεῖσθαι
καρτερῶς, τῶν δὲ ἀποστησομένων, ἀφαιρεθέντος αὐτοῖς
τοῦ Ἀλεξάνδρου φόβου· ποταμῶν τε ἐν μέσῳ ἀδιαβάτων 5
τότε δ' ἐδόκουν εἶναι, καὶ πάντα σφίσιν ἄπορα καὶ
ἀμήχανα ἐρήμοις Ἀλεξάνδρου ἐφαίνετο. Ὡς δὲ ἧκέ ποτε 6

---

quoque Bornem. ad Xenoph. Anab. III, 2, 7, qui attulit ex Xenoph. de re equ. c. XI, 8 *ἐπὶ τῶν τοσούτων ἤδη δέ.* Prae ceteris tamen delectarunt me quae legi apud Xenoph. Ephes. I, 2 *ἀπὸ τῆς πόλεως ἐπὶ τὸ ἱερὸν στάδιοι δέ εἰσιν ἑπτά.*

ἐφαίνετο] Hoc verbum in V. C. non reperisse se testatus est Vulcanius. Audiamus Gronovium, qui: „Sed nihil, inquit, tale ex aliquo eorum quos vidi, signare possum, quum omnes retineant id quod editum est. Neque existima tale quidquam cogitandum esse, quum intercedat ipse auctor, qui sic iam ferme egit III, 16, 3 sq. *ὅτι ἐδόκει τὴν ἐπὶ Σούσων — ἥξειν, ὅτι — ἡ Βαβυλὼν καὶ τὰ Σοῦσα ἐφαίνετο.* Intercedunt autem clarius alii Graeci, sic eadem ista verba ponentes, ut Eunapius in Chrysanthio, *οὐδὲν ἐδόκει πεπρᾶχθαι νεώτερον, οὐδὲ πολύ τι καὶ ἀθρόον κατὰ τὴν μεταβολὴν ἐφαίνετο.* Diod. Sic. XI, 35 *διόπερ οἱ μὲν — ἔδοξαν οὔπω μὲν πεπυσμένοι περὶ τῆς νίκης, ἀφ' ἑαυτῶν δὲ πλάττοντες — ἐφάνησαν.* Tale est apud Livium XXI, 29 *multitudo timebat quidem hostes — sed magis iter immensum Alpesque — metuebat.* Hic vero ita non aversatur hanc abundantiam, ut etiam in uno eodemque verbo *credebant* repetendo usurpet XXIX, 37, perinde ut Herodotus iterans verbum *ἐδόκεε* I, 116. Adeo non quae ad significationem supervacua sunt, etiam ab usu removenda interdum existimaverunt.“ Haec Gronovius. E quibus quae huc pertineant, quae non, facile quisque vel non admonitus viderit. Apud Arrianum similem locutionem vidi hanc l. II, 4, 7 *καὶ ἐνταῦθα ἀγγέλλεται αὐτῷ ὅτι πρόσθεν μὲν ἐπενόει —· ὡς δὲ — ἐπύθετο, ἐκλιπεῖν ἐν νῷ εἶχε.*

6. *ὡς δὲ ἧκέ ποτε*] *Postquam vero nunciatum tandem est.* Cf. V, 13, 6 *ὡς δὲ ἐξευρέθη ποτὲ ὁ πόρος.* Nec multum distant II, 22, 5 *οἱ δὲ ὀψέ ποτε αἰσθόμενοι τὸν ἐπίπλουν.* V, 27, 2 *ὀψὲ δέ ποτε θαρσήσας.*

λόγος ὅτι ζῇ Ἀλέξανδρος, τούτῳ μὲν μόγις ξυνεχώρησαν·
7 εἰ δὲ καὶ βιώσιμός ἐστιν, οὔπω ἐπιστεύετο. Ὡς δὲ καὶ γράμματα παρ᾽ αὐτοῦ ἧκεν ὅτι ὅσον οὔπω κατελεύσεται ἐπὶ τὸ στρατόπεδον, οὐδὲ ταῦτα τοῖς πολλοῖς ὑπὸ τοῦ ἄγαν δέους πιστὰ ἐφαίνετο, ἀλλὰ πλάττεσθαι γὰρ πρὸς τῶν ἀμφ᾽ αὐτὸν σωματοφυλάκων τε καὶ στρατηγῶν εἰκάζετο.

XIII. *Καὶ ταῦτα ἐννοήσας Ἀλέξανδρος, μή τι νεωτερισθείη ἐν τῇ στρατιᾷ, ὅτε πρῶτον ἠδυνήθη, κομίζεται*

---

7. *ὅτι ὅσον οὔπω κατελεύσεται*] **De formula** *ὅσον οὔπω, iam iam*, **vide Bergl. ad Alciphr. I, 10, p. 59 Dorv. ad Charit. p. 602. Wernsd. ad Himer. p. 728. cf. Thucyd. IV, 69** *τὸ τεῖχος ὅσον οὐκ ἀπετετέλεστο.*

ὑπὸ τοῦ ἄγαν δέους,] **Cf. IV, 7, 6** *οὔτε τὴν ἄγαν ταύτην τιμωρίαν Βήσσου ἐπαινῶ.* **Suid. s. v.** *δινήσας,* **qui ex Arriani aliquo opere affert** *φθάνουσαν τῇ ἄγαν εἰρεσίᾳ.* **Adde fragm. incert. apud eund. s. v.** *ἀτάσθαλα· συντρίψας γε παῦσαι τῆς ἄγαν ἀτασθαλίας.* **— Mox. ed. Basil.** *τῶν ἀμφ᾽ αὐτόν.*

C. XIII. *ὅτε πρῶτον ἠδυνήθη*] Sic recte omnes edd. ante Schmiederum, apud quem nescio an typothetae errore expressum est *ὅτι πρῶτον.* Similiter dixit Arr. III, 22, 5 *ἐπειδὴ πρῶτον εἰς τὴν ἀρχὴν παρῆλθον.*

καὶ πλοῖον κατὰ τὸν ποταμόν] Ed. Bas. cum quattuor codd. Gronovii *καὶ πλοίων κατὰ τὸν ποταμόν.* Unde Vulcanius ex coniectura scribendum censuit *καὶ καταπλέων κατὰ τὸν ποταμόν.* Cod. F. et ipse minus recte *καὶ πλέον κατὰ τ. π.* Ac dubitari non potest quin solum verum sit quod ex emendatione Gronovii dedimus. Eo enim nos deferunt ut codices illi quattuor *πλοίων* exhibentes, ita codicis F. scriptura *πλέον.* Postea Vulcanius margini editionis suae adscripsit var. lect. *καὶ ἔπλει*, non monito tamen lectore, uti monet Gronovius, ex V. C. eam habuerit, an ex se. Ex Gronovii annotatione ad h. l. haec digna habeo quae memoriae tradantur: „Lectio (*καταπλέων*) conficta est ex similibus Arriani locis, ut VII, 7, 2 *κατέπλει κατὰ τὸν Εὐλαῖον ποταμὸν ἐπὶ θάλασσαν,* quum tamen istae voces etiam adhibeantur in ascensu fluminis adversi, ut in Indicis c. XLII, 7 *κατὰ τὸν Πασίτιγριν ἄνω ἔπλεον* (cf. I, 3, 3· III, 1, 6. E.). Ceterum plane superflua sunt ea verba, quum et Arrianus ad illum sensum scripturus fuerit *ὡς καταπλεύσων.* Vocat autem Arrianus *πλοῖον κατὰ τὸν ποταμόν,* quod aliqui dicunt *κατα-*

ἐπὶ τοῦ ποταμοῦ τοῦ Ὑδραώτου τὰς ὄχθας καὶ πλοῖον κατὰ τὸν ποταμόν· ἦν γὰρ τὸ στρατόπεδον ἐπὶ ταῖς 2
ξυμβολαῖς τοῦ τε Ὑδραώτου καὶ τοῦ Ἀκεσίνου, ἵνα Ἡφαιστίων τε ἐπὶ τῆς στρατιᾶς ἦν καὶ Νέαρχος τὸ ναυτικὸν αὐτῷ εἶχεν. Ὡς δ' ἐπέλαζεν ἡ ναῦς ἤδη τῷ 3
στρατοπέδῳ τὸν βασιλέα φέρουσα, κελεύει δὴ ἀφελεῖν τὴν σκηνὴν ἀπὸ τῆς πρύμνης, ὡς καταφανὴς εἶναι πᾶσιν· οἱ δὲ 4
ἔτι ἠπίστουν, ὡς νεκροῦ δῆθεν κομιζομένου Ἀλεξάνδρου, πρίν γε δὴ προσχούσης τῆς νεὼς τῇ ὄχθῃ ὁ μὲν τὴν χεῖρα

ποτάμιον πλοῖον (?), quod prout licuit in tempore, adornatum fuit commoditati regis." Bene. Sed vellem attulisset Gronovius locum, ubi legitur vocabulum καταποτάμιον. Praeterea hoc tantum monitum volo, locutionem πλοῖον κατὰ τὸν ποταμόν nihil habere quod offendat. Eadem ratione dixit Arr. I, 19, 4 κατὰ τὸ στόμα τοῦ λιμένος. III, 30, 4 ἦν γάρ τι καὶ τεῖχος περιβεβλημένον — κατ' αὐτό. Hist. Ind. XXI, 2 κατὰ τὸν Ἰνδὸν ὁρμίζονται ποταμόν. Articulum ante πλοῖον si quis desideret, videat ne fallatur. Sic plane nos: *Indem Alexander dies bedachte —, liess er sich an das Ufer des Flusses Hydraotes und (von da) auf ein Schiff im Flusse bringen.* Neque praepositione iterata opus videtur. Vide praeter ann. ad V, 17, 3: II, 27, 3 διὰ τῆς ἀσπίδος διαμπὰξ καὶ τοῦ θώρακος. VII, 5, 8 καὶ διὰ τοὺς ἐν Ἰνδοῖς κινδύνους καὶ τὴν ἐν Ὤροις νίκην γενομένην.

2. ἦν γὰρ — Ἀκεσίνου] Haec verba in ed. Bas. parenthesi inclusa sunt. Male.

3. τὸν βασιλέα φέρουσα] Haec verba, cum ita collocata sint, arcte coniungenda videntur cum verbo quod est ἐπέλαζεν. Nam si relata voluisset ad ἡ ναῦς, non dubito quin scripturus fuisset Arrianus ἡ ναῦς — ἡ τὸν βασιλέα φέρουσα. Sic certe dixit II, 24, 7 Ἄδμητος ὁ πρῶτος ἑλών. IV, 7, 8 τούτῳ τῷ ἀνθρώπῳ τῷ — πράξαντι et plane gemina VI, 29, 10 ἡ πύελος ἔκειτο ἡ τὸ σῶμα τοῦ Κύρου ἔχουσα. Cum vulgata nostri loci scriptura haud inepte comparari possunt quae leguntur VII, 8, 4 πολλοῖς καὶ ἄλλοις ἀχθεσθέντες, ὅτι πολλάκις ἤδη ἐλύπει αὐτοὺς ἥ τε ἐσθὴς ἡ Περσικὴ ἐς τοῦτο φέρουσα, nisi forte praestat h. l. scribi ἡ ἐς τοῦτο φέρουσα coll. ann. ad III, 26, 1. — Ex accusativo τὸν βασιλέα ad κελεύει repetendum esse nomin. ὁ βασιλεύς vel non monitus quisque videat. cf. ann. ad V, 7, 4.

4. οἱ δέ ἔτι ἠπίστουν Ed. Basil. ἐπίστουν.

5 ἀνέτεινεν ἐς τὸ πλῆθος· οἱ δὲ ἀνεβόησαν ἐς τὸν οὐρανὸν
ἀνασχόντες τὰς χεῖρας, οἱ δὲ πρὸς αὐτὸν Ἀλέξανδρον·
πολλοῖς δὲ καὶ δάκρυα ἐπὶ τῷ ἀνελπίστῳ προεχύθη
6 ἀκούσια. Καὶ οἱ μὲν τῶν ὑπασπιστῶν κλίνην προσέφερον
αὐτῷ ἐκκομιζομένῳ ἐκ τῆς νεώς· ὁ δὲ τὸν ἵππον προσ-
7 αγαγεῖν ἐκέλευσεν. Ὡς δὲ ἐπιβὰς τοῦ ἵππου ὤφθη, αὖθις
κρότῳ δὴ πολλῷ ἐπεκτύπησεν ἡ στρατιὰ πᾶσα· ἐπήχησαν
8 δὲ αἵ τε ὄχθαι καὶ αἱ πλησίον αὐτῶν νάπαι. Προσάγων δὲ
ἤδη τῇ σκηνῇ καταβαίνει ἀπὸ τοῦ ἵππου, ὥστε καὶ βαδί-
9 ζων ὀφθῆναι· οἱ δὲ ἐπέλαζον ἄλλοθεν ἄλλος, οἱ μὲν

---

5. *δάκρυα — προεχύθη ἀκούσια*] Edd. Vulc. et Blanc. *ἑκούσια*. „Scripti omnes *ἀκούσια*. Idque notum quoque habuit Vulcanius, unde in ora editionis adscripsit *al. ἀκούσια*, et voci *sponte* subnotatae apposuit in ora *al. invitis*. Plane utroque sensu satis commode intelligi ista possunt. Ceterum liceat id obtinere, ut ne discedatur ab vero et antiquo." *Gronov.*

6. *τῶν ὑπασπιστῶν*] Ed. Basil. *τῶν ἱππασπιστῶν*.

9. *οἱ δὲ καὶ ἰδεῖν ἐγγύθεν*] „Pendet sermo ab praecedenti verbo *ἐπέλαζον*. Ergo, inquit, cum omnes tangendi copiam habere non possent, *alii* accedebant usque *ut propius eum contemplarentur atque etiam fausti ominis aliquid emittentes discederent*. Quod autem sequitur *περὶ τῆς ταινοβολίας*, illustravit Casaubonus ad Suetonii Neronem cap. 25." *Gronov.*

ἐπευφημήσαντες ἀπελθεῖν] Non dubitavimus sic scribere pro vulgato *ἐπευφημίσαντες*, facem praeferente Lobeck. ad Phryn. p. 597. Cf. ann. ad V, 3, 1. Adde Arr. Cyneg. c. XIX *καταψᾶν χρὴ ἐπευφημοῦντα καὶ τὴν κεφαλὴν φιλεῖν*.

οἱ δὲ ταινίαις ἔβαλλον] Cf. Suid. fragm. incert. s. v. *ἀνέδουν*· *προσιόντες δὲ αὐτῷ ἐταινίαζον οἱ νησιῶται καὶ ἀνέδουν*. Xenoph. Hist. Gr. V, 1, 3 *ἡνίκα γὰρ ἐπὶ θάλατταν κατέβαινεν ἐπ' οἴκου ὁρμώμενος, οὐδεὶς ἐκεῖνον τῶν στρατιωτῶν ὃς οὐκ ἐδεξιώσατο, καὶ ὁ μὲν ἐστεφάνωσεν, ὁ δὲ ἐταινίωσεν, οἱ δ' ὑστερήσαντες ὅμως καὶ ἀναγομένου ἔῤῥιπτον ἐς τὴν θάλατταν στεφάνους, καὶ εὔχοντο αὐτῷ πολλὰ καὶ ἀγαθά*. Quae postrema Xenophontis verba comparare potui cum Arrianeis l. V, 29, 1.

ἡ Ἰνδῶν γῆ] Ita omnes codd. quos inspexit Gronovius. *ἡ Ἰνδῶν χώρα* edd. ante Schmiederum. Nec minus recte. Vide ann. ad III, 24, 3.

χειρῶν, οἱ δὲ γονάτων, οἱ δὲ τῆς ἐσθῆτος αὐτῆς ἁπτόμενοι·
οἱ δὲ καὶ ἰδεῖν ἐγγύθεν, καί τι καὶ ἐπευφημήσαντες
ἀπελθεῖν· οἱ δὲ ταινίαις ἔβαλλον, οἱ δὲ ἄνθεσιν ὅσα ἐν
τῷ τότε ἡ Ἰνδῶν γῆ παρεῖχε. Νέαρχος δὲ λέγει ὅτι χαλεποὶ 10
αὐτῷ τῶν φίλων ἐγένοντο ὅσοι ἐκάκιζον, ὅτι αὐτὸς πρὸ
τῆς στρατιᾶς κινδυνεύοι· οὐ γὰρ στρατηγοῦ ταῦτα, ἀλλὰ
στρατιώτου εἶναι. Καί μοι δοκεῖ ἄχθεσθαι Ἀλέξανδρος 11
τοῖσδε τοῖς λόγοις, ὅτι ἀληθεῖς τε ὄντας ἐγίνωσκε καὶ αὐτὸν
ὑπαίτιον τῇ ἐπιτιμήσει· καὶ ὅμως ὑπὸ μένους τε τοῦ ἐν 12
ταῖς μάχαις καὶ τοῦ ἔρωτος τῆς δόξης, καθάπερ οἱ ἄλλης

---

10. *Νέαρχος δὲ λέγει*] Haec verba cum sequentibus usque ad paragr. 13. paucissimis mutatis, affert Suidas s. v. *Ἀλέξανδρος.*

ὅσοι ἐκάκιζον] Edd. vett. *ὅσοι ἐκόμιζον;* neque aliter Suidas, apud quem post hanc vocem addita leguntur duo verba *αὐτὸν ἀῤῥωστοῦντα.* Nimirum ut, quid sibi vellet istud *ἐκόμιζον*, facilius intelligeretur. At plurimi codices Gronovii ut additamentum illud omnino ignorant, ita pro *ἐκόμιζον* habent *ἐκάκιζον*, quod verbum postea vidit quoque Vulcanius in V. C. Neque dubitandum est quin idem voluerint qui dederunt *ἐκάμιζον* (sic). Nam literas *μ* et *κ* saepe in codd. confusas reperiri docuit Bast. comm. palaeogr. p. 721. Verbo *κακίζειν* cum significatione *reprehendendi* praeter hunc locum ter usum vidimus Arrianum. VII, 2, 9 *τοὺς σοφιστὰς κακίζοντας τὸν Κάλανον.* VII, 5, 3 *τὴν ἀπιστίαν κακίζοντες.* VII, 30, 1 *ὅσα ἄξια κακίζεσθαί ἐστιν.* Idemque verbum habent, quibuscum familiariter versatum esse Arrianum nemo nescit, Xenophon Oecon. III, 11 *καὶ ἵππος ἢν κακουργῇ, τὸν ἱππέα κακίζομεν*, et Herodotus l. III, 145 *λοιδορέων τε καὶ κακίζων.* Totum locum Gronovius recte interpretatus est ita: *Nearchus vero auctor est, graves illi ex amicis fuisse eos qui reprehendebant, quod* cet. — Supra pro *λέγει* Suidas habet *φησίν.*

12. *ὑπὸ μένους*] Hoc vocabulum poetis adamatum, apud scriptores pedestres sane quam infrequens Arrianus debuisse potest Xenophonti. Vide Cyropaed. III, 3, 61 *ὑπὸ δὲ προθυμίας καὶ μένους.* Hist. Gr. VII, 1, 31 *οὕτω πολὺ μένος καὶ θάρσος τοῖς στρατιώταις φασὶν ἐμπεσεῖν.*

καθάπερ οἱ ἄλλης τινὸς [ἡδονῆς] ἐξηττώμενοι] Ed. Basil. *καθάπερ οἱ ἄλλης τινὸς ἐξηττώμενος.* Unde Vulcanius, quem secutus est Blancardus, excudi iussit *καθαπερεὶ ἄλλης τινὸς ἐξηττώμενος.* Codices Gronovii omnes habent *καθάπερ οἱ ἄλλης τινὸς ἐξηττώμενοι.*

τινὸς [ἡδονῆς] ἐξηττώμενοι, οὐ καρτερὸς ἦν ἀπέχεσθαι
13 *τῶν κινδύνων. Ἄνθρωπον δέ τινα πρεσβύτερον λέγει Βοιώτιον (τὸ δὲ ὄνομα τοῦ ἀνθρώπου οὐ λέγει) ὡς ἀχθόμενόν τε πρὸς τὰς ἐπιτιμήσεις τῶν φίλων κατέμαθεν Ἀλέξανδρος καὶ ἐσκυθρωπακότα, προσελθόντα*
14 *τοῦτον βοιωτιάζοντα ἅμα τῇ φωνῇ ταῦτα φάναι· Ὦ Ἀλέξανδρε, ἀνδρῶν τὰ ἔργα· καί τι καὶ ἰαμβεῖον ἐπειπεῖν, τὸν δὲ νοῦν εἶναι τοῦ ἰαμβείου ὅτι Τῷ τι δρῶντι καὶ παθεῖν*

Suidas autem *καθάπερ οἱ ἄλλης τινὸς ἡδονῆς ἡττώμενοι.* Atque haud scio an reliquis auctoribus praestantior h. l. habendus sit lexicographus. Gronovius quidem: „Nihil, inquit, in Arriano deest, qui nunc loquitur *περὶ τῆς δόξης*, quatenus bellicam gloriam sequitur: at vero illa est multiplex admodum, praesertim in rege, ut locus non debuerit verti *immensa gloriae prae ceteris cupiditas*, prout concipit Vulcanius, sed *attamen ab robore in pugnis et amore* huius *gloriae*, *sicut alii ab quacunque alia* gloria *superati* et possessi, *non poterat temperare sibi*, *ut ab periculis caveret.*“ Audio. Sed vereor ut talis ellipsis hoc loco statui possit. Bene iam procederet oratio, si scriptum esset *ἄλλου τινός*, ita ut haec aut ad praegressum *ἔρωτος* relata acciperentur, aut absolute posita dicta essent de *quavis re hominum animos exsuperante.* Me tamen doctior et ingenii acumine magis instructus litem dirimat. Nunc vocem quae est *ἡδονῆς* uncis inclusam textui inseruimus. Et conferas quae de Alexandro dicta sunt VII, 28, 3 *ἡδονῶν δὲ τῶν μὲν τοῦ σώματος ἐγκρατέστατος, τῶν δὲ τῆς γνώμης ἐπαίνου μόνου ἀπληστότατος.* Ceterum ad confirmandum compositum verbum *ἐξηττώμενος* cf. IV, 9, 1 *ὅτι δυοῖν κακοῖν ἐν τῷ τότε ἐξηττημένον ἐπέδειξεν αὐτόν.* VII, 12, 9 *ἐξηττώμενον Ἀλέξανδρον ἤδη τῆς μητρὸς τῶν διαβολῶν*

13. *ὡς ἀχθόμενον — πρὸς τὰς ἐπιτιμήσεις τῶν φίλων κατέμαθεν*] Non satis accurate Vulcanius: *quum Alexandrum reprehensiones amicorum aegre ferre videret.* Hoc enim foret *ἀχθόμενον ταῖς ἐπιτιμήσεσιν*, quomodo supra dixit *ἄχθεσθαι τοῖσδε τοῖς λόγοις*, coll. II, 24, 5 *τῇ τριβῇ ἀχθόμενοι.* IV, 8, 6 *ἀχθόμενον τῇ μετακινήσει.* V, 28, 6 *ἀχθόμενοι τῇ ὀργῇ.* VII, 8, 3 *τῷ λόγῳ ἠχθέσθησαν.* Verba *πρὸς τὰς ἐπιτιμήσεις* quamquam cohaerent quodammodo cum *ἀχθόμενον*, tamen per se sunt accipienda atque ita vertenda: *secundum amicorum reprehensiones.* Sic dixit II, 13, 6 *ἐκπλαγέντες δὲ πρὸς τὰ ἐξαγγελθέντα.* IV, 4, 7 *τεταραγμένους πρὸς τὰ βέλη.* V, 14, 3 *πρὸς τὴν τόλμαν — ἐκπλαγέντες.* VI, 4, 9 *μετέωρος πρὸς*

ἐστιν ὀφειλόμενον. Καὶ τοῦτον ἔν τε τῷ παραυτίκα εὐδοκιμῆσαι καὶ ἐπιτηδειότερον ἐς τὸ ἔπειτα Ἀλεξάνδρῳ γενέσθαι.

XIV. Ἐν τούτῳ δὲ ἀφίκοντο παρ' Ἀλέξανδρον τῶν Μαλλῶν τῶν ὑπολειπομένων πρέσβεις, ἐνδιδόντες τὸ ἔθνος· καὶ παρὰ Ὀξυδρακῶν οἵ τε ἡγεμόνες τῶν πόλεων καὶ οἱ νομάρχαι αὐτοὶ καὶ ἄλλοι ἅμα τούτοις ἑκατὸν καὶ πεντήκοντα οἱ γνωριμώτατοι, αὐτοκράτορες περὶ σπονδῶν, δῶρά τε ὅσα μέγιστα παρ' Ἰνδοῖς κομίζοντες καὶ τὸ ἔθνος

τὸν κτύπον. Ex his vide quomodo intelligenda sint quae docuit Matthiaeus Gr. Gr. ub. p. 1181.

14. καί τι καὶ ἰαμβεῖον ἐπειπεῖν] Edd. vett. cum tribus codd. Gronovii ὑπειπεῖν. „Sic l. I, c. 4 fin. τοσοῦτον ὑπειπὼν ὅτι ἀλαζόνες Κελτοί εἰσιν. Nunc tamen Optimus cum alio ἐπειπεῖν. Habes sane lib. VII, 14, 11 καὶ ἀνάθημα δοῦναι αὐτοῖς Ἀλέξανδρον κομίζειν τῷ Ἀσκληπιῷ, ἐπειπόντα ὅτι. "Gronov. Verbi ἐπειπεῖν in eiusmodi loquendi formulis usus notior est quam ut multis egeat testimoniis. Tu conferas modo Plut. vit. Marcelli c. 21 ἐπειπὼν τὸ μνημόσυνον. Lucian. Quomodo hist. sit conscr. c. 12 ἔῤῥιψεν ἐπὶ κεφαλὴν ἐς τὸ ὕδωρ, ἐπειπών. Ael. vv. hh. I, 33 δῶρα ἔπεμψε βασιλικὰ καὶ ἐπεῖπε. An autem verbum ὑπειπεῖν plane damnandum sit, iure dubitari potest. Nam ut supra allatum vidimus ex Arriano locum qui illius verbi patrocinium suscipiat, sic etiam nescio an recte dixerit Pausan. II, 7, 3 τὸ δὲ ὄνομα ἐφ' ἑαυτοῦ καὶ οὐ πατρόθεν ὑπειπόντες κελεύουσι τὸν νεκρὸν χαίρειν. Aliam verbi ὑπειπεῖν potestatem notavit Schaef. App. ad Demosth. t. II, p. 98 coll. ann. ad. Eurip. Med. v. 867, ed. Pors.

C. XIV. παρ' Ἀλέξανδρον] Ed. Basil. παρὰ Ἀλέξανδρον. cf. V, 29, 7. — Mox ed. Bas. τῶν Μαλῶν.

αὐτοκράτορες περὶ σπονδῶν] Cf. I, 26, 4 ἐντυγχάνουσιν αὐτῷ — πρέσβεις Ἀσπενδίων αὐτοκράτορες. Xenoph. Hist. Gr. II, 2, 17 ᾑρέθη πρεσβευτὴς — αὐτοκράτωρ. VII, 1, 1 τῶν συμμάχων πρέσβεις ἦλθον αὐτοκράτορες Ἀθήναζε. Sic apud Arrianum Philippus rex Macedoniae dicitur VII, 9, 8 ἡγεμὼν αὐτοκράτωρ τῆς ἄλλης Ἑλλάδος, *dux Graeciae cum liberrima potestate.* Circumscripsit hoc vocabulum Thucydides II, 65 στρατηγὸν εἵλοντο καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν. Cum Arriano convenit Xenophon. Hist. Gr. I, 4, 20 ἀναῤῥηθεὶς ἁπάντων ἡγεμὼν αὐτοκράτωρ. Anab. V, 9, 21 ἐπιθυμεῖν αὐτοκράτορα γενέσθαι ἄρχοντα. Plutarch. Alcibiad. c. XVIII ὡς χρὴ τοὺς στρατηγοὺς αὐτοκράτορας εἶναι καὶ τῆς παρα-

καὶ οὗτοι ἐνδιδόντες· συγγνωστὰ δὲ ἁμαρτεῖν ἔφασαν οὐ
2 πάλαι παρ' αὐτὸν πρεσβευσάμενοι· ἐπιθυμεῖν γάρ, ὥσπερ τινὲς ἄλλοι, ἔτι μᾶλλον αὐτοὶ ἐλευθερίας τε καὶ αὐτόνομοι εἶναι, ἥντινα ἐλευθερίαν ἐξότου Διόνυσος ἐς Ἰνδοὺς
3 ἧκε, σώαν σφίσιν εἶναι ἐς Ἀλέξανδρον· εἰ δὲ καὶ Ἀλεξάνδρῳ δοκοῦν ἐστιν (ὅτι καὶ Ἀλέξανδρον ἀπὸ θεῶν γενέσθαι λόγος κατέχει), σατράπην τε ἀναδέξεσθαι ὅντινα τάττοι Ἀλέξανδρος, καὶ φόρους ἀποίσειν τοὺς Ἀλεξάνδρῳ δόξαντας· διδόναι δὲ καὶ ὁμήρους ἐθέλειν ὅσους ἂν αἰτῇ
4 Ἀλέξανδρος. Ὁ δὲ χιλίους ᾔτησε τοὺς κρατιστεύοντας τοῦ ἔθνους· οὓς εἰ μὲν βούλοιτο, ἀντὶ ὁμήρων καθέξειν· εἰ δὲ μή, ξυστρατεύοντας ἕξειν, ἔστ' ἂν διαπολεμηθῇ
5 αὐτῷ πρὸς τοὺς ἄλλους Ἰνδούς. Οἱ δὲ τούς τε χιλίους

σκευῆς καὶ τοῦ πολέμου παντός. Cf. Goell. ad Thucyd. l. l. et Krueg. Commentatt. p. 369 et 380.

2. *ἐπιθυμεῖν γάρ — ἐλευθερίας τε καὶ αὐτόνομοι εἶναι*] Simili quamquam non plane gemina ratione dixit I, 24, 9 *ἧκον περὶ φιλίας τε καὶ χρυσῷ στεφάνῳ στεφανῶσαι.* IV, 30, 5 *ἐνδίδωσιν αὐτοῖς χρόνον τε ἐς τὴν ἀποχώρησιν καὶ τῆς φυλακῆς τὴν κύκλωσιν ἀφελεῖν.*

5. *οὐκ αἰτηθέντες*] Edd. vett. *αἰτηθέντα.* „Eleganter omnes Mssti *αἰτηθέντες.* Sic enim Plutarch. in Apophthegm. 177 *αἰτηθεὶς ποτήριον Ἀρχέλαος.* Sic Menander dixit *οὐδὲ λωπάδα αἰτούμενος* apud Harpocrationem. Caecilius in Aeschrione apud Nonium in Exigor, *ego illud minus nihilo exigor portorium.* Ita Sidonius VI epist. 10 *glebae canonem non petatur.*“ *Gronov.* Sufficit hanc Gronovii qualemcunque annotationem attulisse. Hodie de tali re verba facere otiosum foret.

6. *ἔλαβεν*] Ed. Basil. *ἔλαβε.* Vide praef. ad tom. I, p. L.

7. *ἐπὶ τῇ διατριβῇ τῇ —*] Miror hunc locum tam negligenter a scribis tractatum esse. „Unus eorum codicum, quos ipse habui, *τῇ διατομῇ τῇ τοῦ τραύματος*, quod servat Basileensis editio; alius *τῇ διατομῇ τῇ ἐκ τοῦ τραύματος.* Amplector integritatem pulcherrimi codicis, in quo plenissime *ἐπὶ τῇ διατριβῇ τῇ ἐκ τοῦ τραύματος*, hoc est, *per moram quam vulnus exigebat.* Plutarchus in Alexandro (c. XIX), aegroto in Cilicia, *ἦν δὲ διατριβὴ διὰ νόσον.* Quin et ipse Arrianus II, 6, 6 *ὡς δὲ Ἀλεξάνδρῳ πολλὴ μὲν τριβὴ ἐπὶ τῇ νόσῳ ἐγένετο.* Satis alioquin probabile et ad vulgatae vocis literas convenientius producit ex Augustano Vulcanius *ἐπὶ τῇ διαμονῇ τῇ*

ἔπεμψαν, τοὺς κρατίστους καὶ μεγίστους σφῶν ἐπιλεξάμενοι, καὶ ἅρματα πεντακόσια οὐκ αἰτηθέντες, καὶ τοὺς ἀμβάτας τῶν ἁρμάτων. Ἀλέξανδρος δὲ σατράπην μὲν 7
τούτοις τε καὶ τῶν Μαλλῶν τοῖς ἔτι σωζομένοις ἐπέταξε Φίλιππον· τοὺς ὁμήρους δὲ αὐτοῖς ἀφῆκε, τὰ δὲ ἅρματα ἔλαβεν. Ὡς δὲ ταῦτα αὐτῷ κεκόμιστο, καὶ πλοῖα ἐπὶ τῇ διατριβῇ τῇ ἐκ τοῦ τραύματας πολλὰ προσενεναυπήγητο, ἀναβιβάσας ἐς τὰς ναῦς τῶν μὲν ἑταίρων ἱππέων [ἱππέας] ἑπτακοσίους καὶ χιλίους, τῶν ψιλῶν δὲ ὅσουσπερ καὶ πρότερον, πεζοὺς δὲ ἐς μυρίους, ὀλίγου μέν τοι τῷ Ὑδραώτῃ ποταμῷ κατέπλευσεν· ὡς δὲ συν- 8
έμιξεν ὁ Ὑδραώτης τῷ Ἀκεσίνῃ, ὅτι ὁ Ἀκεσίνης κρατεῖ τοῦ Ὑδραώτου τῇ ἐπωνυμίᾳ, κατὰ τὸν Ἀκεσίνην αὖ ἔπλει ἔστε ἐπὶ

ἐκ τοῦ τραύματος. Ego id in nullo Florentino offendi." *Gronov.* In edd. Vulc. et Blanc. legebatur *ἐπὶ τῇ διατομῇ τοῦ τραύματος.* Perperam. Vide ann. ad I, 12, 9. III, 26, 1.

προσενεναυπήγητο] *cum multae insuper naves fabricatae essent.* Eodem verbo usus est Herodotus VII, 144 *ἑτέρας δὲ ἔδεε προσναυπηγέεσθαι.*

τῶν μὲν ἑταίρων ἱππέων [ἱππέας] ἑπτακοσίους] Edd. vett. et quattuor codd. Gronovii *τῶν μὲν ἑταίρων ἱππέας ἑπτακοσίους.* Schmiederus codicem F. secutus dedit *τῶν μὲν ἑταίρων ἱππέων ἱππέας ἑπτακοσίους.* At, nisi egregie fallor, Arrianus sic nunquam dixit, Cf. modo IV, 6, 5 *τῶν τε ἑταίρων ἱππέων τοὺς ἡμίσεας.* IV, 28, 13 *τῶν ἑταίρων ἱππέων ἐς ἑκατόν.* Fortasse legendum *τῶν μὲν ἑταίρων ἱππέων ἐς ἑπτακοσίους.* Nec tamen male habet quod legitur in edd. ante Schmiederum *τῶν μὲν ἑταίρων ἱππέας.* Vide annotationem ad l. IV, 22, 1 praefationi ad hanc posteriorem Arrianei operis partem insertam.

τῷ Ὑδραώτῃ ποταμῷ κατέπλευσεν] Alibi sic non dixit Arrianus. Cf. VI, 13, 1 *καταπλέων κατὰ τὸν ποταμόν.* VII, 7, 2 *κατέπλει κατὰ τὸν Εὐλαῖον ποταμόν.* VII, 21, 10 *καὶ κατ' αὐτὸν κατέπλει ἐς τὰς λίμνας.* — Vocabulum *ὀλίγου* num *temporis*, an *spatii* notionem contineat, non decernam. Vertunt: *non multum spatii per Hydraotem emensus.*

8. *κρατεῖ τοῦ Ὑδραώτου τῇ ἐπωνυμίᾳ*] Edd. vett. cum quattuor codicibus Gronovii *κρατεῖ τοῦ Ὑδραώτου ἐν τῇ ἐπωνυμίᾳ.* Praepositionem omisit Schmiederus primus, quia non agnoscitur a cod. F

9 τὴν ξυμβολὴν τοῦ Ἀκεσίνου καὶ τοῦ Ἰνδοῦ ἧκε. Τέσσαρες γὰρ οὗτοι μεγάλοι ποταμοί, καὶ ναυσίποροι οἱ τέσσαρες, εἰς τὸν Ἰνδὸν ποταμὸν τὸ ὕδωρ ξυμβάλλουσιν, οὐ ξὺν τῇ σφετέρᾳ ἕκαστος ἐπωνυμίᾳ· ἀλλὰ ὁ Ὑδάσπης μὲν ἐς τὸν Ἀκεσίνην ἐμβάλλει· ἐμβαλὼν δὲ τὸ πᾶν ὕδωρ Ἀκεσίνην
10 παρέχεται καλούμενον. Αὖθις δὲ ὁ Ἀκεσίνης οὗτος ξυμβάλλει τῷ Ὑδραώτῃ καὶ παραλαβὼν τοῦτον ἔτι Ἀκεσίνης ἐστί· καὶ τὸν Ὕφασιν ἐπὶ τούτῳ ὁ Ἀκεσίνης παραλα-

---

Neque habet eam Eustathius qui meminit huius loci ad Dionys. Perieg. p. 312, Bernh. Et sane assentientem habemus Arrianum ipsum V, 6, 11 καὶ τῇ ἐπωνυμίᾳ κρατήσας οὕτως ἐκδιδοῖ ἐς θάλασσαν. VI, 5, 1 κρατήσας τῇ εἰρεσίᾳ τῶν ἐπιστροφῶν τοῦ ὕδατος. Hist. Ind. IV, 10 καὶ τῇ ἐπικλήσει ἐκνικήσας αὐτὸς τῷ ἑωυτοῦ ἤδη ὀνόματι ἐσβάλλει ἐς τὸν Ἰνδόν. Addidit fortasse praepositionem qui infra legerat verba ξὺν τῇ σφετέρᾳ ἐπωνυμίᾳ.

9. εἰς τὸν Ἰνδὸν ποταμὸν τὸ ὕδωρ ξυμβάλλουσιν] Paulo aliter, at non minus plena oratione usus dixit VI, 1, 6 τὸν μὲν Ὑδάσπην τῷ Ἀκεσίνῃ, τὸν Ἀκεσίνην δὲ τῷ Ἰνδῷ τό τε ὕδωρ ξυμβάλλοντας. Hist. Ind. X, 5 ἐπειδὰν ἐμβάλῃ ἐς αὐτὸν τὸ ὕδωρ. Herodot. IV, 50 πολλῶν ἄλλων ποταμῶν σ υ μ β α λ λ ο μ έ ν ω ν τὸ σφέτερον ὕδωρ γίνεται ὁ Ἴστρος. Omisso accusativo obiecti dixit Arrianus VI, 3, 2 ὅντινα — ξυμβάλλειν τῷ Ὑδάσπῃ ἐπέπυστο. VI, 14, 10 ξυμβάλλει τῷ Ὑδραώτῃ.

ἐμβαλὼν δὲ — καλούμενον] Uncis inclusit haec verba Schmiederus, tum quia non legantur in cod. F., tum quia non eodem modo in omnibus reliquis codicibus scribantur nec conveniant cum Arrianea scribendi simplicitate. Sed unde hae turbae? Nobis omnia videntur luce clariora, modo vera eruamus ex iis quae praebent codices. Gronovius ad. h. l.: „Invenio in aliis omnibus Mss., etiam in Augustano Vulcanius Ἀκεσίνην, haud dubie perperam. Etsi sic quoque in editione Basileensi. In altero etiam παρέχεται, nec id bene. In Optimo autem nullum universae huius periodi vestigium exstabat. Vix habeo quod dicam.“ Unde Raphelius, cum scriptum reperiret ἐμβαλὼν δέ, τὸ πᾶν ὕδωρ Ἀκεσίνης παρέρχεται καλούμενον: „Ponitur, inquit, ἐμβαλὼν absolute in consequentia designanda. Vertendum igitur: *postquam autem in Acesinem lapsus est Hydaspes, universa illa aqua Acesines vocata progreditur.*“ Turbarum auctor habendus est Vulcanius. Cum enim in ed. Basil. scriptum legeretur Ἀκεσίνην παρέρχεται καλούμενον, nesciens quid faciendum esset cum isto παρέρχεται, de suo dedit Ἀκεσίνης.

βὼν τῷ αὐτῷ δὴ ὀνόματι ἐς τὸν Ἰνδὸν ἐμβάλλει· ξυμβαλὼν
δὲ ξυγχωρεῖ δὴ τῷ Ἰνδῷ. Ἔνθεν δὴ ὁ Ἰνδὸς, πρὶν ἐς τὸ 11
Δέλτα σχισθῆναι, οὐκ ἀπιστῶ ὅτι καὶ ἐς ἑκατὸν σταδίους
ἔρχεται, καὶ ὑπὲρ τοὺς ἑκατὸν τυχὸν ἵναπερ λιμνάζει
μᾶλλον.

XV. *Ἐνταῦθα ἐπὶ τῇ ξυμβολῇ τοῦ Ἀκεσίνου καὶ τοῦ Ἰνδοῦ προσέμενεν ἔστε ἀφίκετο αὐτῷ ξὺν τῇ στρατιᾷ Περδίκκας, καταστρεψάμενος ἐν παρόδῳ τὸ Ἀβαστανῶν ἔθνος*

Atque Vulcanium veram viam non ingressum esse quid mirum? Sed Gronovium, Raphelium, Schmiederum a scopo non sane remoto aberrasse non possum quin mirer. Quod dedimus, clare exhibet quoque Eustath. ad Dionys. Perieg. p. 310, ed. Bernh. Verbo *παρέχεσθαι* similiter usus est Pausan. VIII, 23, 2 *ἀνατείλαντος δὲ ἐνταῦθα τὸ ὕδωρ τὸ ἀπὸ τούτου παρέχεται ποταμὸν ἀένναον, Τράγον.* Praeterea conf. ann. ad I, 9, 3 et Struvii Lectt. Luciann. p. 248.

10. *ξυγχωρεῖ δή*] h. e. *tum denique Indo appellationem suam cedit.* Simile quid habes Hist. Ind. X, 5 *ἀλλὰ ξυγχωρέει αὐτὸν τῷ Γάγγῃ, ἐπειδὰν ἐμβάλῃ ἐς αὐτὸν τὸ ὕδωρ.* Ceterum Arrianus, ut recte iam monuit Raphelius, in enarrandis fluviorum cursibus sibi non constitit, cum in Indicis IV, 8 sic scribat: *Ὑδραώτης μὲν ἐν Καμβισθόλοις παρειληφὼς τόν τε Ὕφασιν ἐν Ἀστρόβαις καὶ τὸν Σαράγγην ἐκ Μηκέων καὶ τὸν Νεῦδρον ἐξ Ἀττακηνῶν ἐς Ἀκεσίνην ἐμβάλλει.*

11. *ἵναπερ λιμνάζει*] Edd. vett. cum tribus codd. Gronovii *ἵνα περιλιμνάζει.* Quod dedimus Schmiederum secuti, praebuit cod. F. cum uno alio cod. Idem verbum habes Hist. Ind. IV, 5 *πολλαχῇ δὲ καὶ λιμνάζειν.* VI, 5 *ὕεται καὶ τὰ πεδία, ὥστε λιμνάζειν τὰ πολλά.*

C. XV. *ἐπὶ τῇ ξυμβολῇ*] Sic cod. F. et ex eo Schmiederus. *ἐπὶ ταῖς ξυμβολαῖς* edd. vett. cum reliquis codd. Gronovii. Utrumque ferri posse ex accurata locorum similium comparatione persuasum mihi est. Utrum praestet vix quisquam decernat. Singulari usus est Arrianus VI, 4, 6 *ἀφίκετο ἐπὶ τὴν ξυμβολὴν τοῦ τε Ὑδάσπου καὶ Ἀκεσίνου.* VI, 14, 8 *ἐπὶ τὴν ξυμβολὴν τοῦ Ἀκεσίνου καὶ τοῦ Ἰνδοῦ.* VI, 15, 5 *ἐπ' αὐτῇ ξυμβολῇ τοῖν ποταμοῖν.* Pluralem vide VI, 3, 2 *καὶ οὐ πόῤῥω εἶναι αὐτῶν τὰς ξυμβολάς.* VI, 4, 9 *ἐπέλαζεν αὐτῷ ταῖς ξυμβολαῖς.* VI, 5, 15 *ἐπὰν δ' ἀφίκωνται ἐς τὰς ξυμβολὰς τοῦ τε Ἀκεσίνου καὶ τοῦ Ὑδραώτου.* VI, 13, 2 *ἦν γὰρ τὸ στρατόπεδον ἐπὶ ταῖς ξυμβολαῖς τοῦ τε Ὑδραώτου καὶ Ἀκεσίνου.* Quibus locis adde VI, 15, 4. 9. Discrimen inter sigularem et pluralem si statui potest, dixerim plurali *ξυμβολαῖ* significari

2 αὐτόνομον. Ἐν τούτῳ δὲ ἄλλαι τε προσγίγνονται Ἀλεξάνδρῳ τριακόντοροι, καὶ πλοῖα στρογγύλα ἄλλα ἃ δὴ ἐν Ξάθροις ἐναυπηγήθη αὐτῷ, οἳ δὴ καὶ ἄλλο ἔθνος Ἰνδῶν
3 αὐτόνομον προσεχώρησαν. Καὶ παρὰ Ὀσσαδίων, καὶ τούτου γένους αὐτονόμου Ἰνδικοῦ, πρέσβεις ἧκον ἐνδιδόντες
4 καὶ οὗτοι τοὺς Ὀσσαδίους. Φιλίππῳ μὲν δὴ τῆς σατραπείας ὅρους ἔταξε τὰς συμβολὰς τοῦ τε Ἀκεσίνου καὶ Ἰνδοῦ· καὶ ἀπολείπει ξὺν αὐτῷ τούς τε Θρᾷκας πάντας, καὶ ἐκ

---

quod Latinis dicitur *confluentes* h. e. *ipsas aquas quae in unum alveum coeunt*, singularem *ξυμβολή* vero *illud ipsum confluere* indicare. In plurali igitur magis inest, ut ita dicam, *concreti* notio; singulari vero est potestas *abstracti*. Eodem modo discernam inter nomina ἐπιστροφαί et ἐπιστροφή (VI, 5, 1. 2), ἐκβολή (I, 19, 10. VI, 20, 6) et ἐκβολαί (I, 3, 2. I, 11, 5. VI, 19, 10. VII, 7, 4 coll. vv. ll. ad Hist. Ind. XXIII, 1). Atque huc trahenda quoque sunt quae de discrimine inter ὁ ὄμβρος et οἱ ὄμβροι diximus in ann. ad V, 12, 5.

τὸ Ἀβαστανῶν] Cf. Diod. Sic. XVII, 102 κατῆραν ἐς τὴν χώραν τῶν ὀνομαζομένων Σαμβαστῶν. Hanc Indicam gentem nihil differre ab ea quam Arrianus h. l. sub voce Ἀβαστανῶν memorat, monuit iam Wesselingius ad Diod. l. l. De variata nominum propriorum pronunciatione plura iam diximus in ann. ad III, 25, 10. 13. IV, 23, 1. V, 22, 5 et passim alibi.

2. ἐν Ξάθροις] „Cod. Augustanus habebat Ὀξάθροις, atque etiam in versione notavit Vulcanius: *al. Oxathris*.“ *Gronov.* Vulgata scriptura optime habet. Vide Schlegelii Bibl. Indic. t. I, p. 249.

οἳ δὴ — προεχώρησαν] Vulgata ante Schmiederum scriptura erat καὶ ἄλλο — προσεχώρησαν. Gronovius, quia vulgatum non habebat quo se tueretur, scribendum iudicavit οἳ δὴ ἄλλο — προσεχώρησαν. Quod Schmiederus probavit. Nec mihi Gronovii coniectura displicet. Quamquam nescio an rectius servetur quoque quod in edd. vulgaribus positum est καί. Similiter scripsit V, 18, 5 ἱππεῖς δὲ τῶν μὲν ἱπποτοξοτῶν, οἳ δὴ καὶ πρῶτοι ἥψαντο τοῦ ἔργου, δέκα. Remotus enunciati relativi locus neminem morabitur qui comparaverit haec I, 1, 8 τὴν ἄκραν τοῦ Αἵμου, τὸν στόλον, παρ᾽ ὃν (sc. τὸν Αἶμον) ἦν ἡ πάροδος. VI, 21, 1 οἱ γὰρ ἐτήσιοι ἄνεμοι κατεῖχον, οἳ δὴ ἵστανται. VII, 7, 11 τοὺς καταῤῥάκτας τοὺς κατὰ τὸν ποταμὸν ἀφανίζων ὁμαλὸν πάντη ἐποίει τὸν ῥοῦν, οἳ δὴ ἐκ Περσῶν πεποιημένοι ἦσαν. Voces οἳ δή male neglectae

τῶν τάξεων ὅσοι ἐς φυλακὴν τῆς χώρας ἱκανοὶ ἐφαίνοντο.
Πόλιν τε ἐνταῦθα κτίσαι ἐκέλευσεν ἐπ' αὐτῇ τῇ ξυμβολῇ 5
τοῖν ποταμοῖν, ἐλπίσας μεγάλην τε ἔσεσθαι καὶ ἐπιφανῆ
ἐς ἀνθρώπους, καὶ νεωσοίκους ποιηθῆναι. Ἐν τούτῳ δὲ 6
καὶ Ὀξυάρτης ὁ Βάκτριος ὁ Ῥωξάνης τῆς γυναικὸς Ἀλεξ-
άνδρου πατὴρ ἧκε παρ' Ἀλέξανδρον, καὶ προστίθησιν
αὐτῷ Παραπαμισαδῶν σατραπεύειν, ἀπαλλάξας Τιρυά-
στην τὸν πρόσθεν σατράπην, ὅτι οὐκ ἐν κόσμῳ ἐξηγεῖσθαι

---

videntur, quia paulo ante dixerat Arrianus ἃ δὴ — ἐναυπηγήθη. Nec potest negari, orationem minus concinne esse compositam. Non inepte tamen conferas haec l. II, 4, 11 sq. καὶ τὸν κελεύειν καθῆραι· τὸν μὲν δὴ παρασκευάζειν τὴν κύλικα.

4. τούς τε Θρᾷκας πάντας] „Vulcanius: *universo Thracum equitatu.* Facius: *equitibus Thracibus.* Quasi nulla peditatus pars e Thracibus constiterit. Immo erant iaculatores Thraces, quos pedites fuisse apparet ex I, 28, 6 τοῦ μὲν δεξιοῦ κέρως οἵ τε τοξόται καὶ οἱ Ἀγριᾶνες· τοῦ δὲ εὐωνύμου οἱ ἀκοντισταὶ οἱ Θρᾷκες. Clarius II, 5, 1 τῶν τε συμμάχων τοὺς πεζοὺς — καὶ τοὺς Θρᾷκας ὧν ἡγεῖτο Σιτάλκης. Sic III, 2, 8 οἱ ἀπὸ Θρᾴκης πεζοί." *Gronov.*

5. ἐπ' αὐτῇ [τῇ] ξυμβολῇ] Articulum inserui, quamquam uncis inclusum, quia in tali verborum coniunctione eum nusquam alibi omisisse Arrianum demonstrasse nobis videmur in ann. ad I, 22, 7. Ad defendendam vulgatam scripturam noli comparare quod legitur I, 4, 8 καὶ ἐπανάγει αὐτῆς ἡμέρας σώους ἐπὶ τὸ στρατόπεδον.
καὶ νεωσοίκους ποιηθῆναι] Ed. Basil. νεοσοίκους. Ceterum animadverte constructionem mutatam πόλιν κτίσαι ἐκέλευσε καὶ — ποιηθῆναι. Nec mirum hoc factum esse, cum utramque verbi κελεῦσαι constructionem vel optimi Atticorum scriptorum admiserint. Ad Arrianum loquendi morem illustrandum affero III, 30, 9 μαστίγουν ἐκέλευεν αὐτόν. VI, 17, 3 καὶ τοῦτον κρεμάσαι Ἀλέξανδρος κελεύει coll. VII, 24, 6 κελεῦσαι στρεβλωθῆναι. Sic VII, 14, 9 τὸ ἕδος τοῦ Ἀσκληπιοῦ κατασκάψαι ἐκέλευσε. Sed Epict. Diss. II, 22 Ἀλέξανδρος ἐμπρησθῆναι ἐκέλευσε τὰ Ἀσκληπιεῖα.

6. Παραπαμισαδῶν] Sic scripsimus pro vulgato Παραπαμισάδων. Vide ad VI, 11, 7. — Mox in edd. vett. pro Τιρυάσπην edd. vett. dant Τιρυέστην. In edd. Gronovii legitur Τιρύστην. Vulcanius in margine editionis suae adscripsit: *al.* Τιρίστην. *al.* Τιρίστης. Quod dedimus Schmiederum secuti, iis confirmatur quae diximus in ann. ad V, 20, 13.

7 αὐτῷ ὁ Τιρυάσπης ἐξήγγελτο. Ἔνθα δὴ διαβιβάσας Κρατερόν τε καὶ τῆς στρατιᾶς τὴν πολλὴν καὶ τοὺς ἐλέφαντας ἐν ἀριστερᾷ τοῦ Ἰνδοῦ ποταμοῦ, ὅτι εὐπορώτερά τε ταύτῃ τὰ παρὰ τὸν ποταμὸν στρατιᾷ βαρείᾳ ἐφαίνετο καὶ τὰ ἔθνη τὰ προσοικοῦντα οὐ πάντῃ φίλια ἦν, αὐτὸς κατέπλει
8 ἐς τῶν Σόγδων τὸ βασίλειον· καὶ ἐνταῦθα πόλιν τε ἐτείχιζεν ἄλλην καὶ νεωσοίκους ἐποίει ἄλλους, καὶ τὰ πλοῖα
9 αὐτῷ τὰ πεπονηκότα ἐπεσκευάσθη. Τῆς δὲ ἀπὸ τῶν ξυμβολῶν τοῦ τε Ἰνδοῦ καὶ Ἀκεσίνου χώρας ἔστε ἐπὶ θάλασσαν σατράπην ἀπέδειξεν Ὀξυάρτην καὶ Πείθωνα, ξὺν τῇ παραλίᾳ πάσῃ τῆς Ἰνδῶν γῆς· καὶ Κρατερὸν μὲν ἐκπέμπει

---

7. *ἐν ἀριστερᾷ τοῦ Ἰνδοῦ ποταμοῦ*] Vocabulum quod est *Ἰνδοῦ* in ed. Schmiederi non conspicitur, a typographo, ut videtur, omissum.

ἐς τῶν Σόγδων τὸ βασίλειον] Eandem hanc expeditionem memorans Diodorus Siculus XVII, 102 ait, *μετὰ δὲ ταῦτα τοὺς παρὰ τὸν ποταμὸν ἐξ ἀμφοτέρων τῶν μερῶν κατοικοῦντας, ὀνομαζομένους δὲ Σόδρας καὶ Μασσανοὺς προσηγάγετο· περὶ δὲ τούτους τοὺς τόπους ἔκτισε πόλιν Ἀλεξάνδρειαν.* Quinam illi *Massani* apud Diodorum sint ignoro; nisi forte latent sub eo nomine *Ὀσσάδιοι* ab Arriano memorati. *Sodrae* (*Sudras*) esse possunt qui Arriano vocantur *Σόγδοι*. Neque diversi videntur ab iis *Σκόδροι* qui memorantur Dionysio Perieg. v. 1142. Vide tamen Bernhard. ad h. l. p. 825.

9. *σατράπην ἀπέδειξεν*] Edd. vett. *ἐπέδειξεν*. „Mssti omnes *ἀπέδειξεν*, quod magis proprium." *Gronov.* Non dixerim magis proprium, sed solum rectum. Dubitantem de hac re relego ad locos quales sunt I, 29, 2 *σατράπην ἀποδείξας — Ἀντίγονον.* III, 22, 2 *σατράπην ἀπέδειξε — Ἀμμινάπην.* VI, 2, 2 *βασιλέα — ἀπέδειξε Πῶρον.* — Mox pro *Πείθωνα*, quod est in ed. Basil., Vulcanius primus dedit *Πύθωνα.* Quem, Schmiedero excepto, omnes secuti sunt recentiores editores. Vide tamen ann. ad VI, 7, 4.

[*διὰ τῆς Ἀραχώτων καὶ Δραγγῶν γῆς*] —] „Locus laborat, et mihi non dubium est quin voces *διὰ τῆς — γῆς* glossema sint. Primum durior est explicatio verbi *ἐκπέμπειν*, *remittere ex India*, quum adiiciendum esset *ἐκ τῆς Ἰνδικῆς γῆς.* *Ἐκπέμπειν* enim in Nostro est simpliciter: *ex castris progredi iubere.* Quod si vero mitterem, idem tamen homo, qui nunc ex India remittitur, amplius in India versari nequit. Craterus autem e Sogdis in Musicani

αὖθις ξὺν τῇ στρατιᾷ· [διὰ τῆς Ἀραχώτων καὶ Δραγγῶν
γῆς·] αὐτὸς δὲ κατέπλει ἐς τὴν Μουσικανοῦ ἐπικράτειαν, 10
ἥντινα εὐδαιμονεστάτην τῆς Ἰνδῶν γῆς εἶναι ἐξηγγέλλετο,
ὅτι οὔπω οὔτε ἀπηντήκει αὐτῷ Μουσικανός, ἐνδιδοὺς
αὐτόν τε καὶ τὴν χώραν, οὔτε πρέσβεις ἐπὶ φιλίᾳ ἐκπέμ-
πει, οὐδέ τι οὔτε αὐτὸς ἐπεπόμφει ἃ δὴ μεγάλῳ βασιλεῖ
εἰκός, οὔτε τι ᾐτήκει ἐξ Ἀλεξάνδρου. Καὶ γίγνεται αὐτῷ 11
ὁ πλοῦς κατὰ τὸν ποταμὸν ἐς τοσόνδε ἐσπουδασμένος,
ὥστε ἔφθη ἐπὶ τοῖς ὁρίοις γενέσθαι τῆς Μουσικανοῦ χώ-
ρας, πρὶν πυθέσθαι Μουσικανὸν ὅτι ὥρμηται ὡς ἐπ᾽ αὐτὸν
Ἀλέξανδρος. Οὕτω δὴ ἐκπλαγεὶς κατὰ τάχος ἀπήντα 12

---

adhuc fines pervenit, non parum a Sogdis distantes, ibique arcem munivit (sect. 14). Ergo nondum remissus erat. Quis enim credat, Arrianum post pauca verba oblitum esse quae modo scripserat? Porro merito accusandus esset auctor, quod non adiiceret, quibuscum copiis Craterus remissus sit. Denique c. 17, 6 demum locus is est, ubi Craterus remissus narratur. Inter copias vero, quibus ibi praefectus narratur, sunt Macedonum *ὅσους ἐς Μακεδονίαν απομάχους ὄντας ἤδη ἔστελλε τὴν ἐπ᾽ Ἀραχώτων καὶ Δράγγων.* Quorum remissio longe prior est, quam Crateri, quibus autem lector quis ab initio Craterum praefectum fuisse credidisse videtur; et cum nostrum locum non intelligeret, Crateri ex India recessum ibi indicari putans, verba quae notavi, inseruit. Quae si iterum eiicis, omnia sana sunt." *Schmied.* Dubitari nequit, verissima esse argumenta a Schmiedero prolata. Unde uncis voces istas ut valde suspectas includi curavimus. Atque eo magis verisimile est, a glossatoris manu eas profectas esse, quod haud pauca apud Arrianum conspiciuntur glossarum vestigia. Vide praef. ad t. I, p. XLIII et quod plane geminum est glossema l. II, 23, 6 memoratum.

10. *ἐς τὴν Μουσικανοῦ ἐπικράτειαν*] Eadem in nomine *ἐπικράτεια* inest notio *regni, imperii* l. V, 29, 7 *καὶ Ἀρσάκην τῇ Ἀβισάρου ἐπικρατείᾳ προσέθηκε.* Nec multum distat quod habes l. II, 13, 11 *καὶ τἄλλα ὅσα τῆς σφῶν ἐπικρατείας ἐνδίδωσιν,* quamquam hic iam ea voce indicari videtur quod Latinis dicitur *ditio* s. *potestas* ut apud Xenoph. Anab. VII, 6, 42 *ἄπιμεν ἐκ τῆς τούτων ἐπικρατείας* coll. VI, 2 (4), 4 *ὑπὸ τῇ ἐπικρατείᾳ τοῦ χωρίου.*

ὅτι οὔπω οὔτε] Sic Schmiederus ex auctoritate codicis F. *ὅτι οὔπω*, omissa ultima voce, edd. vett. et quattuor codd. Gronovii. Similem librariorum errorem notavimus ad VI, 29, 17.

12. *παρ᾽ Ἰνδοῖς*] Restituimus hanc lectionem ex edd. vett. et

Ἀλεξάνδρῳ, δῶρά τε τὰ πλείστου ἄξια παρ' Ἰνδοῖς κομίζων καὶ τοὺς ἐλέφαντας ξύμπαντας ἄγων, καὶ τὸ ἔθνος τε καὶ αὐτὸν ἐνδιδούς, καὶ ὁμολογῶν ἀδικεῖν, ὅπερ μέγιστον
13 παρ' Ἀλεξάνδρῳ ἦν ἐς τὸ τυχεῖν ὧν τις δέοιτο. Καὶ οὖν καὶ Μουσικανῷ ἐπὶ τοῖσδε ἄδεια ἐδόθη ἐξ Ἀλεξάνδρου· καὶ τὴν πόλιν ἐθαύμασεν Ἀλέξανδρος καὶ τὴν χώραν, καὶ
14 ἄρχειν αὐτῆς Μουσικανῷ ἔδωκε. Κρατερὸς δὲ ἐν τῇ πόλει ἐτάχθη τὴν ἄκραν ἐκτειχίσαι· καὶ παρόντος ἔτι ἐτειχίσθη Ἀλεξάνδρου καὶ φυλακὴ κατεστάθη, ὅτι ἐπιτήδειον αὐτῷ ἐφάνη τὸ χωρίον ἐς τὸ κατέχεσθαι τὰ κύκλῳ ἔθνη φυλαττόμενα.

XVI. Ἔνθεν δὲ ἀναλαβὼν τούς τε τοξότας καὶ τοὺς Ἀγριᾶνας, καὶ τὴν ἵππον τὴν ἅμα οἷ πλέουσαν, ἐξελαύνει ἐπὶ τὸν νομάρχην τῆς ταύτῃ γῆς (ὄνομα δὲ ἦν Ὀξυκανὸς), ὅτι μήτε αὐτὸς ἀφῖκτο, μήτε πρέσβεις παρ' αὐτοῦ ἧκον
2 ἐνδιδόντες αὐτόν τε καὶ τὴν χώραν. Δύο μὲν δὴ πόλεις

---

quattuor codicibus Gronovii. τοῖς Ἰνδοῖς cod. F. et ex eo Schmiederus. Non minus apte. Sed quominus reciperemus hanc scripturam, impediit nos Arriani auctoritas. Qui dixit I, 5, 6 ὅσα μέγιστα παρὰ τῷ βασιλεῖ νομίζεται. IV, 15, 3 δῶρα ἔφερον — ὅσα μέγιστα νομίζεται ἐν Σκύθαις. V, 29, 6 δῶρά τε κομίζοντες τὰ μέγιστα παρ' Ἰνδοῖς. IV, 14, 1 δῶρά τε ὅσα μέγιστα παρ' Ἰνδοῖς κομίζοντες. — Supra ed. Basil. καὶ αὐτὸν ἐνδιδούς.

C. XVI. τῆς ταύτῃ γῆς] Ed. Basil. τῆς ταύτης γῆς. Vide ann. ad V, 26, 4. — Supra edd. omnes Ἀγριάνας.

2. καὶ αὐτὸς Ὀξυκανὸς ἑάλω] Cf. Diod. Sicul. XVII, 102 ἑξῆς δὲ εἰς τὴν Πορτικάνου (sic) δυναστείαν ἐμβαλὼν δύο μὲν ἐξ ἐφόδου πόλεις ἐξεπολιόρκησε καὶ τοῖς στρατιώταις ἀφεὶς διαρπάσαι, τὰς οἰκίας ἐνέπρησεν· αὐτὸν δὲ τὸν Πορτικάνον εἰς χωρίον ὀχυρὸν καταφυγόντα χειρωσάμενος ἀπέκτεινε μαχόμενον. Ubi Wesselingius: „Conferas, inquit, Strabon. XV, p. 1026 (p. 274, ed. stereot.) τὴν τοῦ Μουσικανοῦ καὶ τὴν Σάβου — καὶ ἔτι τὴν Πορτικανοῦ, ubi Ὀξυκανοῦ, ut cum Gronovio refingas nulla causa est. Strabonis scriptura firmatur a Diodoro et plerisque codicibus Curtii IX, 8, 12." Veram nominis formam uter scriptorum servaverit quis est qui hodie decernat?

3. πρὸς Ἀλεξάνδρου] Ed. Basil. πρὸς Ἀλεξάνδρῳ.

4. τῶν ὀρείων Ἰνδῶν] Edd. ad unum omnes ὀρίων, quod non

τὰς μεγίστας τῶν ὑπὸ τῷ Ὀξυκανῷ ἐξ ἐφόδου κατὰ κράτος
ἔλαβεν· ἐν δὲ τῇ ἑτέρᾳ τούτων καὶ αὐτὸς Ὀξυκανὸς ἑάλω.
Ὁ δὲ τὴν μὲν λείαν τῇ στρατιᾷ δίδωσι, τοὺς ἐλέφαντας 3
δὲ ἅμα οἷ ἦγε· καὶ ἄλλαι δὲ πόλεις αὐτῷ αἱ ἐν τῇ αὐτῇ
χώρᾳ ἐνεδίδοντο ἐπιόντι, οὐδέ τις ἐτράπετο ἐς ἀλκήν·
οὕτω καὶ Ἰνδοὶ πάντες ἐδεδούλωντο ἤδη τῇ γνώμῃ πρὸς
Ἀλέξανδρόν τε καὶ τῆς Ἀλεξάνδρου τύχης. Ὁ δὲ ἐπὶ Σάμ- 4
βον αὖ ἦγε τῶν ὀρείων Ἰνδῶν σατράπην ὑπ' αὐτοῦ κατα-
σταθέντα, ὃς πεφευγέναι αὐτῷ ἐξηγγέλλετο ὅτι Μουσι-
κανὸν ἀφειμένον πρὸς Ἀλεξάνδρου ἐπύθετο καὶ τῆς χώρας
τῆς ἑαυτοῦ ἄρχοντα· τὰ γὰρ πρὸς Μουσικανὸν αὐτῷ πο-
λέμια ἦν. Ὡς δὲ ἐπέλαζεν ἤδη τῇ πόλει Ἀλέξανδρος, 5
ἥντινα μητρόπολιν εἶχεν ἡ τοῦ Σάμβου χώρα (ὄνομα ἦν
τῇ πόλει Σινδόμανα), αἵ τε πύλαι αὐτῷ ἀνοίγονται προσ-
άγοντι καὶ οἱ οἰκεῖοι οἱ τοῦ Σάμβου τά τε χρήματα
ἀπηρίθμησαν καὶ τοὺς ἐλέφαντας μετὰ σφῶν ἄγοντες

---

ferendum. Aut enim scripsit Arrianus *ὀρείων*, aut *ὀρεινῶν*. Quorum prius recepi, quia altero longe frequentius est apud Arrianum. Dixit enim III, 8, 6 *τοὺς ὀρείους Ἰνδοὺς καλουμένους*. III, 17, 2 *οἱ δὲ ὄρειοι καλούμενοι Οὔξιοι*. III, 23, 10 *οἱ ὄρειοι τῶν βαρβάρων*. VII, 15, 2 *εἰσὶ δὲ ὄρειοι οἱ Κοσσαῖοι*. Contra II, 6, 6 *ἐπὶ τοὺς ὀρεινοὺς Κίλικας*. Ubi *ὀρείους* scribere non cunctatus essem, nisi vidissem aliis scriptoribus haud raro dictum esse *ὀρεινός* de *gentibus montanis*, ut Thucyd. II, 96. Xenoph. Anab. VII, 4, 11 (ubi nota var. lect. *ὀρίοις* pro *ὀρεινοῖς*). De *via montana* atque de *regione montana* eadem hac forma usus quoque est Arrianus de Exp. IV, 23, 2 et Hist. Ind. IV, 12.

5. *Σινδόμανα*] Sic edd. vett. „Ms. unus *Σινδίμονα*; alii cum Optimo *Σινδίμανα*, quod etiam adscripsit Vulcanius.“ *Gronov.* Apud Strabonem XV, p. 274, ed. ster. nomen huius urbis mire corruptum est. In scriptis legi monuit Casaubonus *Σινδολία*. In edd. modo scriptum est *Σινδοναλία*, modo *Σινδονάλια*. Equidem nihil definiam. — Ita quoque nomen regis ab aliis aliter pronunciatum esse iam annotavit Raderus ad Curt. IX, 8, 13. Diodorus XVII, 102 plane ut Strabo, vocat eum *Σάβον*. Plutarcho vit. Alex. c. LXIV audit *Σάββας*. Iustino XII, 10, 2 *Ambigerus*; Orosio I, 19 *Ambiras*.

οἰκεῖοι οἱ τοῦ Σάμβου] Ita omnes codd. Gronovii *οἱ οἰκεῖοι*

6 ἀπήντων. Οὐ γὰρ δὴ Ἀλεξάνδρῳ γε πολεμίως ἔχοντα Σάμβον φυγεῖν, ἀλλὰ Μουσικανοῦ τὴν ἄφεσιν δείσαντα.
7 Ὁ δὲ καὶ ἄλλην πόλιν ἐν τούτῳ ἀποστᾶσαν εἷλε, καὶ τῶν Βραχμάνων (οἳ δὴ σοφισταὶ τοῖς Ἰνδοῖς εἰσιν) ὅσοι αἴτιοι τῆς ἀποστάσεως ἐγένοντο, ἀπέκτεινεν· ὑπὲρ ὧν ἐγὼ τῆς σοφίας, εἰ δή τίς ἐστιν, ἐν τῇ Ἰνδικῇ ξυγγραφῇ δηλώσω.

XVII. Καὶ ἐν τούτῳ Μουσικανὸς αὐτῷ ἀφεστάναι ἐξήγγελτο· καὶ ἐπὶ τοῦτον μὲν ἐκπέμπει Πείθωνα τὸν
2 Ἀγήνορος σατράπην ξὺν στρατιᾷ ἀποχρώσῃ. Αὐτὸς δὲ τὰς πόλεις τὰς ὑπὸ Μουσικανῷ τεταγμένας [ἐπελθὼν]

τοῦ Σάβου. edd. vett. Minus apte, opinor. Nam οἱ οἰκεῖοι omnino vice fungitur substantivi. Itaque non minus recte articulus hic repetitus est quam in formulis quales sunt l. II, 6, 2 τῆς στρατιᾶς τῆς Δαρείου. III, 25, 6 τοὺς ξένους τοὺς Ἀνδρομάχου simill.

ἀπηρίθμησαν] Edd. vett. τά τε χρήματα ἀπηριθμήθη. „Sic omne Msstorum genus, proculdubio propagatum ex uno, in quo cum ultima vocis syllaba esset neglecta, ideo fortassis quod ibi versus finiret, sic suppletum fuit, ut neutrum plurale iungeretur verbo numeri singularis, quod ille vir doctus sed non bene cautus passim viderat ab Arriano fieri, ut σφάγια κατελήφθη (I, 5, 12); τμήματα διεκομίσθη (V, 8, 8); πλοῖα ξυνετμήθη (ibid.). Sed ea ratio locum hic habere non potuit, ubi praecedit alter nominativus οἱ οἰκεῖοι, aliud quid requirens. Legendum igitur ex uno, sed instar omnium, Optimo ἀπηρίθμησαν. Plane gemino exemplo VII, 8, 3 pro ἠχθέσθησαν. invenitur ἠχθέσθη. Nunc video ex V. C. etiam Vulcanio notam fuisse veram lectionem.“ *Gronov.* Cf. I, 26, 8 οὔτε τοὺς ἵππους παραδοῦναι τοῖς πεμφθεῖσιν, οὔτε ἀπαριθμῆσαι τὰ χρήματα. Quod Vulcanius suspicabatur ἀναρίθμητα, locum habere nequit.

7. ὑπὲρ ὧν — δηλώσω] Solvit quae promisit Arrianus, in Hist. Ind. c. XI, sq. ἐν μὲν αὐτοῖσιν οἱ σοφισταί εἰσι, πλήθει μὲν μείους τῶν ἄλλων, δόξῃ δὲ καὶ τιμῇ γεραρώτατοι.

C. XVII. Πείθωνα τὸν Ἀγήνορος] Ed. Bas. Πείθωνα τ. Ἀγήνωρος. Ceterae edd. ante Schmied. Πύθωνα τὸν Ἀγήνορος.

2. τὰς πόλεις — τεταγμένας [ἐπελθών]—] Participium quod uncis inclusum vides, habent edd. vett. et quattuor codd. Gronovii. Schmiederus, cum in cod. F. a Gronovio non esset conspectum, statim id reiecit. Neque iniuria, ut videtur. Vide enim praeter

τὰς μὲν ἐξανδραποδίσας αὐτῶν κατέσκαψεν, εἰς ἃς δὲ φρουρὰς εἰσήγαγε καὶ ἄκρας ἐξετείχισε. Ταῦτα δὲ δια- 3
πραξάμενος ἐπὶ τὸ στρατόπεδόν τε ἐπανῆκε καὶ τὸν στόλον. Ἔνθα δὴ Μουσικανός τε ξυλληφθεὶς ἄγεται πρὸς Πείθωνος, καὶ τοῦτον κρεμάσαι Ἀλέξανδρος κελεύει ἐν τῇ αὑτοῦ γῇ, καὶ τῶν Βραχμάνων ὅσοι αἴτιοι τῆς ἀποστάσεως τῷ Μουσικανῷ κατέστησαν. Ἀφίκετο δὲ αὐτῷ καὶ 4
ὁ τῶν Παττάλων τῆς χώρας ἄρχων (ὅ δὴ τὸ Δέλτα ἔφην εἶναι τὸ πρὸς τοῦ ποταμοῦ τοῦ Ἰνδοῦ ποιούμενον, μεῖζον ἔτι τοῦ Δέλτα τοῦ Αἰγυπτίου), καὶ οὗτος τήν τε χώραν αὑτοῦ ἐνεδίδου πᾶσαν καὶ αὑτόν τε καὶ τὰ αὑτοῦ ἐπέ-

---

exempla ad III, 25, 12 allata VI, 19, 4 *αὗται δὲ — αἱ μὲν αὐτῶν — αἱ δὲ — ξυνετρίβησαν.* VI, 22, 12 *εἶναι δὲ τὰ δένδρα ταύτῃ πήχεων τριάκοντα ἔστιν ἃ αὐτῶν.* Sed tamen etiam vulgata non ita comparata est ut statim possit eliminari. Qui enim dixit III, 24, 2 *ἐπελθὼν δὲ τὸ πολὺ μέρος τῆς χώρας — πολλοὺς μὲν ἀπέκτεινεν, τοὺς δέ τινας ἐς ἀλκὴν τετραμμένους* —. IV, 6, 10 *καὶ ἐπῆλθε πᾶσαν τὴν χώραν.* VI, 28, 2 *οὕτω τὴν πολλὴν τῆς Ἀσίας ἐπελθεῖν*: nonne etiam dixisse potest quod hoc loco legitur in editionibus et codd. vulgaribus? Arrianeum igitur cum utrumque sit, *ἐπελθών* in textum restitui, etsi uncis inclusum. Vide ann. ad I, 25, 7 et VI, 7, 1.

3. *πρὸς Πείθωνος*] Edd. vett. *πρὸ Πείθωνος.* „Quod mireris, hanc lectionem retinent omnes editi, cum Mssti omnes tueantur *πρὸς Πείθωνος*, idque verum sit et agnoscant interpretes, ac denique sic adscripsit etiam Vulcanius.“ *Gronov.* Pro *Πείθωνος*, quod recte exhibet ed. Bas., Vulcanius rursus dedit *Πύθωνος.* — Mox omnes edd. *κρεμᾶσαι.*

ὃ δὴ — ἔφην] Sic omnes codd. Gronovii, sic quoque ed. Basil. „Neque ferendus est Vulcanius (si modo ille in causa est, et non Stephanus, quum certe ex Latina interpretatione excusetur Vulcanius), dum sustinet hoc mutare in *ὅπου δή*, quod prae altero penitus sordet. Turbavit, credo, bonum virum, quod Arrianus maluerit articuli genus referri ad sequens, quam ad praecedens.“ *Gronov.* Vide quae narravit Arrianus V, 3, 12. — Nomen regis servatum est Curtio IX, 8, 28 *Hinc in proximam gentem Pathaliam* (?) *perventum est. Rex erat Moeris, qui urbe deserta in montes profugerat.*

5 τρεψε. Τοῦτον μὲν δὴ ἐπὶ τῇ αὐτοῦ ἀρχῇ ἐκπέμπει αὖ-
θις, παραγγείλας παρασκευάζειν ὅσα ἐς ὑποδοχὴν τῇ στρα-
6 τιᾷ· αὐτὸς δὲ Κρατερὸν μὲν τήν τε Ἀττάλου τάξιν ἄγοντα
καὶ τὴν Μελεάγρου καὶ Ἀντιγένους, καὶ τῶν τοξοτῶν ἔστιν
οὕς, καὶ τῶν ἑταίρων τε καὶ ἄλλων Μακεδόνων ὅσους ἐς
Μακεδονίαν ἀπομάχους ὄντας ἤδη ἔστελλε τὴν ἐπ' Ἀρα-
χώτων καὶ Ζαραγγῶν, ἔπεμπεν ἐς Καρμανίαν, καὶ τοὺς
7 ἐλέφαντας τούτῳ ἄγειν ἔδωκε· τὴν δὲ ἄλλην στρατιάν,
ὅση γε μὴ ξὺν αὐτῷ κατέπλει ὡς ἐπὶ θάλασσαν, Ἡφαιστίων
8 ἐπετάχθη. Πείθωνα δὲ τούς τε ἱππακοντιστὰς ἄγοντα
καὶ τοὺς Ἀγριᾶνας ἐς τὴν ἐπέκεινα ὄχθην τοῦ Ἰνδοῦ δια-
βιβάσας, οὐχ ᾗπερ Ἡφαιστίων τὴν στρατιὰν ἄγειν ἔμελλε,
τάς τε ἐκτετειχισμένας ἤδη πόλεις ξυνοικίσαι ἐκέλευσε·
καὶ εἰ δή τινα νεωτερίζοιτο πρὸς τῶν ταύτῃ Ἰνδῶν, καὶ
ταῦτα ἐς κόσμον καταστήσαντα ξυμβάλλειν οἱ ἐς τὰ Πάτ-

---

5. *παραγγείλας παρασκευάζειν ὅσα ἐς ὑποδοχὴν τῇ στρατιᾷ*] Construe *παρασκευάζειν τῇ στρατιᾷ ὅσα ἐς ὑποδοχήν*. Atque amat Arrianus talem verborum transpositionem, ut videre est ex his similibus VI, 23, 9 *ὅσα — ξυναγαγεῖν ἠδυνήθη ἐς ἐπισιτισμὸν τῇ στρατιᾷ*. VI, 23, 10 *σῖτόν τε κατακομίσαι — καὶ πρόβατα ἐς ἀγορὰν τῷ στρατῷ*. VI, 29, 11 *ἐδίδοτο — καὶ ἵππος κατὰ μῆνα ἐς θυσίαν τῷ Κύρῳ*. VII, 5, 6 *λέγεται δὲ γενέσθαι ἡ δόσις αὕτη τῇ στρατιᾷ*. Quamquam in aliis harum locutionum aliter potest dativi ratio explicari. Vide ann. ad VI, 3, 5. — Supra malim *ἐπὶ τὴν αὐτοῦ* s. *αὑτοῦ ἀρχήν* coll. VI, 29, 1 *καταπέμπει ἐπὶ τὴν ἀρχὴν τὴν ἑαυτοῦ*.

6. *ἔστελλε τὴν ἐπ' Ἀραχώτων καὶ Ζαραγγῶν*] Mirum est, in narratione tam simplici atque decora editores veteres a vero aberasse. In ed. Basil. legitur *ἔστελε καὶ τὴν ἐπαραχώτων* (sic) *καὶ Ζαράγγων*. Vulcanius scripsit *ἔστειλε κατὰ τὴν Ἀραχώτων καὶ Ζαράγγων*. Quod retinuit Blancardus. Gronovius in omnibus codd. vidit quod nobis in textum receptum est Schmiederum secutis, nisi quod hic pro vulg. *Ζαράγγων* de suo dedit *Δράγγων* (vid. ad III, 25, 13). Praepositionem *κατά*, quam Vulcanius sibi finxit ex eo quod in ed. Basil. legitur *καί*, ignorat quoque C. V. Vulcanii. Pro imperfecto *ἔστελλε* si quis malit *ἔστειλε*, is videat I, 18, 6 *Ἡγησίστρατος, ὅτῳ — ἐπετέτραπτο, πρόσθεν γράμματα — ἔπεμπεν*. II, 10, 7 *ὅτι Ἀλέξανδρος — ἐμβαλὼν — ἐξώθει ἤδη*.

7. *τὴν δὲ ἄλλην στρατιὰν — ἐπετάχθη*] Offendi in hac locutione, quamquam scio defendi eam posse. Similiter enim dixit II, 8, 7

ταλα. Ἤδη δὲ τρίτην ἡμέραν αὐτῷ τοῦ πλοῦ ἔχοντι 9
ἐξαγγέλλεται ὅτι [ὁ] τῶν Παττάλων ὕπαρχος ξυλλαβὼν τῶν Παατταλέων τοὺς πολλοὺς ἀποδεδρακὼς οἴχοιτο, ἀπολιπὼν τὴν χώραν ἔρημον· καὶ ἐπὶ τούτῳ πλείονι ἢ πρόσθεν σπουδῇ κατέπλει Ἀλέξανδρος. Ὡς δὲ ἀφίκετο ἐς τὰ 10
Πάτταλα, τήν τε πόλιν καὶ τὴν χώραν ἔρημον καταλαμβάνει τῶν ἐνοικούντων τε καὶ ἐπεργαζομένων. Ὁ δὲ κατὰ 11
δίωξιν τῶν φευγόντων ἐκπέμψας τῆς στρατιᾶς τοὺς κουφοτάτους, ἐπεί τινες αὐτῶν ξυνελήφθησαν, ἀποπέμπει τούτους παρὰ τοὺς ἄλλους, ἐντειλάμενος ἐπανιέναι θαῤῥοῦντας· εἶναι γὰρ αὐτοῖς τήν τε πόλιν οἰκεῖν ὡς πρόσθεν καὶ τὴν χώραν ἐργάζεσθαι· καὶ ἐπανῆλθον οἱ πολλοὶ αὐτῶν.

XVIII. Αὐτὸς δὲ Ἡφαιστίωνι προστάξας τειχίζειν ἐν τοῖς Παττάλοις ἄκραν ἀποπέμπει ἐς τὴν ἄνυδρον τῆς πλησίον

τοῖς πεζοῖς Κρατερὸς ἐπετέτακτο ἄρχειν, coll. VI, 20, 2 Ἡφαιστίων μὲν δὴ ἐτάχθη παρασκευάζειν. Nimirum ex praecedentibus cogitando addi potest verbum ἄγειν. Restat tamen aliquid scrupuli. Unde nescio an rectius statuas Arrianum scripsisse τῇ δὲ ἄλλῃ στρατιᾷ — ἐπετάχθη. Quomodo locutum vides eum VI, 21, 4 Νέαρχος μὲν δὴ ἐπιταχθεὶς τῷ ναυτικῷ προσέμενε. Cf. ann. ad I, 28, 5.

8. Πείθωνα δέ] Ed. Bas. Πύθωνα δέ. Mox omnes editiones Ἀγριάνας.

9. ὅτι [ὁ] τῶν Παττάλων ὕπαρχος] Articulum de meo inserui. Neque puto hoc temere a me factum esse, si quidem qui hic memoratur Pattalorum regulus idem est quem supra iam ad Alexandrum venisse eique se subiecisse narravit Arrianus. — Mox pro οἴχοιτο in ed. Schmiederi legitur οἴχετο. Unde prius quam ceteras editiones inspexissem, in mentem venit scribere ᾤχετο. Sed vulgata optime habet. cf. III, 21, 2 ἀπήγγειλαν ὅτι συνειληφότες εἶεν. IV, 30, 14 ἔμαθεν ὅτι πεφευγότες εἶεν.

10. τήν τε πόλιν — ἐπεργαζομένων] Vulcanius: *urbem incolis, agrum agricolis vacuum reperit.* Verbum ἐπεργάζεσθαι hoc loco nil videtur significare nisi simplex ἐργάζεσθαι. Vide enim quae narrantur Arriano Hist. Ind. XI, 9. Proprie autem οἱ ἐπεργαζόμενοι χώραν vocantur *qui agrum alienum colunt*, ut Pausan. X, 15, 1 ὅτε Φωκεῦσιν ἐπεργαζομένοις τοῦ θεοῦ τὴν χώραν ἐπέβαλλον χρημάτων ζημίαν, coll. Thucyd. I, 139 ἐπικαλοῦντες ἐπεργασίαν Μεγαρεῦσι τῆς γῆς τῆς ἱερᾶς.

C. XVIII. προσγενομένης αὐτοῖς] Ed. Basil. προσγενομένης

γῆς φρέατά τε ὀρύξοντας καὶ οἰκήσιμον τὴν χώραν κατα-
2 σκευάσοντας· καὶ τούτοις ἐπέθεντο τῶν προσχώρων τινὲς
βαρβάρων, καὶ ἔστι μὲν οὓς διέφθειραν αὐτῶν ἄφνω προσ-
πεσόντες, πολλοὺς δὲ καὶ σφῶν ἀποβαλόντες ἔφυγον εἰς
3 τὴν ἔρημον· ὥστε ἐπιτελεσθῆναι τοῖς ἐκπεμφθεῖσι τὰ ἔργα,
προσγενομένης αὐτοῖς καὶ ἄλλης στρατιᾶς ἣν Ἀλέξανδρος,
πυθόμενος τῶν βαρβάρων τὴν ἐπίθεσιν, ἐστάλκει μεθέ-
4 ξοντας τοῦ ἔργου. Περὶ δὲ τοῖς Παττάλοις σχίζεται τοῦ
Ἰνδοῦ τὸ ὕδωρ ἐς δύο ποταμοὺς μεγάλους· καὶ οὗτοι
ἀμφότεροι σώζουσι τοῦ Ἰνδοῦ τὸ ὄνομα ἔστε ἐπὶ τὴν
θάλασσαν· ἐνταῦθα ναύσταθμόν τε καὶ νεωσοίκους ἐποίει
5 Ἀλέξανδρος. Ὡς δὲ προυκεχωρήκει αὐτῷ τὰ ἔργα, ὁ δὲ
καταπλεῖν ἐπενόει ἔστε ἐπὶ τὴν ἐκβολὴν τοῦ ἐν δεξιᾷ ῥέ-

αὐτῆς. Vide ann. ad I, 27, 1. — De constructione *ἣν — ἐστάλκει μεθέξοντας* vide quae diximus ad I, 19, 7 et V, 21, 1.

4. *ἐς δύο ποταμούς*] „Mssti Florentini omnes cum editione Basileensi *ἐς ποταμούς*, absque *δύο*. Non tamen id ex suo V. C. advertit Vulcanius.“ *Gronov.* Vocem *δύο* primus inseruit Vulcanius, et suo iure, opinor: quamquam, num e vetere codice eam desumserit, an de suo adiecerit, ignoro. Secuti eum sunt omnes editores recentiores. Quomodo enim, nisi tale quid praecesserat, in sequentibus poni potuit *καὶ οὗτοι ἀμφότεροι* —? Ne quis vero quod omnium codicum Florentinorum vestigia dereliquimus, temeritatis nos incuset, is meminerit, non in omnibus obsequendum esse codicibus, cum ex aliis sane quam plurimis indiciis constet omnes, qui ad nos pervenerint, libros manu exaratos haud raro corruptae scripturae esse auctores. Id quod fusius demonstravimus in praef. ad t. I, p. XL sq. Ceterum in memoriam redeat, quae de Indo fluvio narravit Arrianus V, 3, 12 *καὶ ὅτι δίστομός ἐστιν ὁ Ἰνδός, καὶ αἱ ἐκβολαὶ αὐτοῦ ἀμφότεραι τεναγώδεις καθάπερ αἱ πέντε τοῦ Ἴστρου.*

νεωσοίκους ἐποίει] *Ibi Alexander portum et navalia exstrui iussit.* Graecis in talibus imperfectum usitatissimum. Cf. IV, 29, 13 *καὶ οὗτοι κεκομμένοι ἦσαν καὶ αὐτὸς ἐχώννυεν.* V, 20, 1 *ἐπειδὴ κεκόσμηντο — ὁ δὲ ἔθυεν* et mox §. 2. *Κρατερὸν μὲν ὑπελείπετο τὰς πόλεις ἅστινας ἔκτιζεν, ἀναστήσοντα.* VI, 15, 8 *καὶ ἐνταῦθα πόλιν τε ἐτείχιζεν ἄλλην καὶ νεωσοίκους ἐποίει.* Similiter etiam Arrianum semper observavimus dixisse *ἐπενόει*, nunquam *ἐπενόησε.* Vide inter alia I, 17, 5. I, 18, 6. II, 4, 7. IV, 4, 2. VI, 19, 12.

οντος ποταμοῦ ἐς τὴν θάλασσαν. Λεοννάτον μὲν δή, δοὺς 6
αὐτῷ τῶν τε ἱππέων ἐς χιλίους καὶ τῶν ὁπλιτῶν τε καὶ
ψιλῶν ἐς ὀκτακισχιλίους, κατὰ τὴν νῆσον τὰ Πάτταλα ἐκ-
πέμπει ἀντιπαράγειν τῷ στόλῳ· αὐτὸς δὲ τὰς μάλιστα 7
τῶν νεῶν ταχυναυτούσας ἀναλαβών, ὅσαι τε ἡμιόλιαι καὶ
τὰς τριακοντόρους πάσας καὶ τῶν κερκούρων ἔστιν οὕς,
ἔπλει κατὰ τὸν ποταμὸν τὸν ἐν δεξιᾷ. Οὐκ ἔχοντι δὲ 8
αὐτῷ ἡγεμόνα τοῦ πλοῦ, ὅτι πεφεύγεσαν οἱ ταύτῃ Ἰνδοί,
ἀπορώτερα τὰ τοῦ κατάπλου ἦν· χειμών τε ἐπιγίγνεται 9
ἐς τὴν ὑστεραίαν ἀπὸ τῆς ἀναγωγῆς καὶ ὁ ἄνεμος τῷ
ῥόῳ πνέων ὑπεναντίος κοῖλόν τε ἐποίει τὸν ποταμὸν καὶ
τὰ σκάφη διέσειεν, ὥστε ἐπόνησαν αὐτῷ αἱ πλεῖσται τῶν
νεῶν· τῶν δὲ τριακοντόρων ἔστιν αἳ καὶ πάντῃ διελύθη-

VI, 20, 2. VII, 1, 4. VII, 17, 4. Quibus adde formulas quales sunt *ὁπότε ἐτελεύτα* III, 22, 9. *οὐ ξὺν πόνῳ ἐνίκα* IV, 25, 1; coll. ann. ad I, 11, 6. I, 17, 1. VI, 17, 6 et Bernhard. Wiss. Synt. p. 373.

6. *ἀντιπαράγειν τῷ στόλῳ*] „*Qui ad Pattala insulam classem promoveat.* At Graeca volunt, *qui in insula Pattalis e regione classis procederet.* Sic alibi *ἀντιπαριέναι.*" *Gronovius.* Recte. Sic etiam dicitur de exercitu qui *contra hostem obvium ducitur*, ut III, 13, 2 *ἦγε δὲ ὡς ἐπὶ τὸ δεξιόν —, καὶ οἱ Πέρσαι ἀντιπαρῆγον.* Cf. V, 10, 5 *καὶ ὁ Πῶρος ἀντιπαρῄει*, ubi statim quoque sequitur substantivum *ἀντιπαραγωγή.* Adde V, 17, 1 *ἀντιπαρεξάγοντες τῇ ἐλάσει* et annot ad IV, 5, 3.

8. *ἀπορώτερα τὰ τοῦ κατάπλου ἦν*] Sic codd. F. et alii codd. Florr. *ἀπορώτερα τοῦ κατάπλου* edd. vett. Inepte. cf. II, 4, 15 *ὅτι καλῶς οἱ ἔχει τὰ τοῦ φαρμάκου.* IV, 17, 6 *ἄπορα πάντα τὰ τῆς φυγῆς ἐγένετο*, et quod plane geminum est II, 19, 10 *ὅτι ἀπορώτερα τὰ τῆς πολιορκίας ἐφαίνετο.* Plura cupientem relego ad ea quae dixi in annotat. ad I, 17, 10.

9. *ὥστε ἐπόνησαν*] Sic edd. vett. et quattuor codd. Gronovii. *ἐπεπονήκεισαν* cod. F. Quod tantum abest ut rectius habeat, ut omnino non possit defendi. Neque Schmiederus ausus est vulgatam mutare. Si exemplis opus est, vide haec simillima. I, 1, 16 *ὥστε οὐκ ἐδέξαντο.* III, 18, 12 *ὥστε — ἠναγκάσθησαν.* IV, 1, 6 *ὥστε — ξυναπέστησαν.* VI, 4, 9 *ὥστε — ἐπέστησαν.* V, 5, 5 *ὡς πολλὰς μὲν πονῆσαι τῶν νεῶν.* Librarius, qui plusquamperfectum intrudere volebat, fortasse habebat in mente talia qualia leguntur in Indicis c. XXIII, 8 *καὶ τῶν νεῶν ὅσαι πεπονήκεσαν —, ἐπε-*

σαν. Ἔφθασαν δὲ ἐποκείλαντες αὐτὰς πρὶν παντάπασι
10 διαπεσεῖν ἐν τῷ ὕδατι. Ἕτεραι οὖν ξυνεπήγνυντο. Καὶ
τῶν ψιλῶν τοὺς κουφοτάτους ἐκπέμψας ἐς τὴν προσω-
τέρω τῆς ὄχθης χώραν, ξυλλαμβάνει τινὰς τῶν Ἰνδῶν, καὶ
11 οὗτοι τὸ ἀπὸ τοῦδε ἐξηγοῦντο αὐτῷ τὸν πόρον. Ὡς δὲ
ἧκον ἵναπερ ἀναχεῖται ἐς εὖρος ὁ ποταμός, ὡς καὶ δια-

σκεύασαν. Sed ut in his plusquamperfecto opus est, ita nostro loco aoristus requiritur. Ac formam plusquamperfecti quae exit in *εισαν*, suspectam esse evincunt quae diximus ad IV, 19, 1.

κοῖλόν τε ἐποίει] „Eodem sensu *κοῖλος* usurpatur Polybio I, c. 60 *σφίσι δὲ δυσχερῆ γενόμενον τὸν ἀνάπλουν πρὸς ἀντίον τὸ πνεῦμα, κοίλης οὔσης καὶ τραχείας τῆς θαλάττης.*“ *Raphel.*

10 *τὸ ἀπὸ τοῦδε*] Primam vocem, quam primus omisit Vulcanius, cum Schmiedero restituimus ex auctoritate omnium codicum Gronovii et ed. Basil. Neque aliter scripturus fuissem, etiamsi omnes codices contrarium suasissent. Vide Arr. VII, 11, 11 *τό γε ἀπὸ τούτου — καλέσω.* VII, 23, 8 *καὶ τὸ ἀπὸ τοῦδε ὡς ἥρωα ἐγέραιρε.* Hist. Ind. XXXVI, 4 *ἐξηγήσεται τὸ ἀπὸ τοῦδε.* Cf. Herodot. I, 4 *τὸ δὲ ἀπὸ τούτου Ἕλληνας αἰτίους γενέσθαι.* I, 130 *ἦρχον τὸ ἀπὸ τούτου.* Xenoph. Hellen. IV, 5, 12 *καὶ τὸ ἀπὸ τούτου — ἔκοπτε καὶ ἔκαε.* Cyropaed. V, 2, 35 *εἰ μὲν γὰρ τὸ ἀπὸ τοῦδε νῖκαι ἔσονται.* VI. 2, 9 *τὸ ἀπὸ τοῦδε δίδωσιν.* Lucian. Icaromen. 1 et vv. hh. II, 1 *τὸ δὲ ἀπὸ τούτου.* Hermotim. c. 13 et Imagg. c. 5 *τὸ ἀπὸ τοῦδε ἀρξάμενος.* Atque huc traxerim Arriani VI, 21 2 *τὸ ἀπὸ Πλειάδων δύσεως ἔστε ἐπὶ τροπάς.* Eandem librorum discordiam notatam vidi ad Xenoph. Cyropaed. V, 1, 6. Cf. quoque ann. ad I, 27, 4.

11. *αἱ κῶπαι ἐν κλύδωνι χαλεπῶς ἀνεφέροντο*] „Vertendum: *remi aegre inter fluctus tollerentur in altum.* Nempe ut ab undarum violentia liberi possent recte usurpari atque duci, neque aut frangerentur, aut ab obruentibus fluctibus impedirentur temperare ictum. Arr. VI, 5, 4 *καὶ αἱ κῶπαι δὲ αὐτοῖς πλαγίοις ἐν ταῖς δίναις γενομένοις ξυνετρίβοντο, ὅσων γε ἐγκατελήφθησαν ὑπὸ τοῦ ὕδατος, οὐ φθασάντων αὐτὰς μετεωρίσαι.* Thucyd. p. 76 (I, 54) *τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλυδωνίῳ ἀναφέρειν.* Hic sensus quoque latet in verbis Polybii I, 62 *τῶν δὲ πληρωμάτων εὐχερῶς ἀναφερόντων τὸν κλύδωνα.* Plane hoc ipsum dicit Longus III, p. 117 *οἷον οὐκ εἰώθασι ναῦται δρᾶν εἰς καμάτων ἀμέλειαν, τοῦτο κἀκεῖνο δρῶντες, τὰς κώπας ἀνέφερον.*“ *Gronov.* Supra ed. Basil. *ἵνα περ*, et mox eadem *αὐτὸς αὐ*[illegible].

8. *ἐν ταῖς προσβάσεσι καὶ καταβαίνοντας*] Vulcanius, cui haec orationis varietas non videtur intellecta esse, scripsit *καὶ καταβάσεσι.* At, quod dedimus, non solum praestant edd. Venet. et Basil., verum etiam omnes codices quos consuluit Gronovius. Neque morabitur quemquam ista variatio, si perpenderit, participium *καταβαίνοντας* ad sequentem accusativum *τοὺς ἵππους* apte relatum esse, simulque intellexerit, saepe ita variatam Arriano exhiberi orationem. Praeter ann. ad I, 8, 14. IV, 25, 10 et VII, 6, 5 vide potissimum haec l. IV, 7, 8 *οὔτε τὸ σῶμα ὅτῳ καρτερὸν εἴη, οὔτε ὅστις γένει ἐπιφανής, οὔτε κατὰ πόλεμον εἰ δή τις διευτυχοίη.* VII, 15, 9 *οὔτε φόβου ἀναγκάζοντος, οὔτε κατ' ἐλπίδα ὠφελείας, μίσει τε κατεχομένους.* VII, 19, 12 *ὅτι — οὔτε τι ἄλλο ἐπιεικὲς ἢ ἐπὶ τιμῇ ἐπέπρακτο.*

καὶ ἅμα οὐ βεβαίῳ] Non inepte quidem Schmiederus ex auctoritate codicis F. dedit *καὶ ἅμα ἀβεβαίῳ.* Non ausi sumus tamen vulgatam mutare aeque rectam et a quattuor codd. Gron. atque edd. vett. suppeditatam. Ac iam propterea vulgatam tuiti sumus, quod negatione ipsa posita vis quaedam negativa locutioni

προχωρούσης δὲ τῆς ἡμέρας, ὑπὸ μήκους τῆς ὁδοῦ, εἰ 11
ὁδοιποροῦντες ἔτι ἐγκαταληφθεῖεν, ἐνταῦθα ἂν ἐταλαιπώρουν πρός τοῦ καύματός τε καὶ ἅμα δίψει ἀπαύστῳ συνεχόμενοι.

XXV. Τῶν δὲ δὴ ὑποζυγίων πολὺς ὁ φθόρος καὶ ἑκούσιος τῇ στρατιᾷ ἐγίγνετο· ξυνιόντες γάρ, ὁπότε ἐπιλείποι σφᾶς τὰ σιτία, καὶ τῶν ἵππων τοὺς πολλοὺς ἀποσφάζοντες καὶ τῶν ἡμιόνων τὰ κρέα ἐσιτοῦντο, καὶ ἔλεγον

---

inferri videtur, quae in ᾱ privativo non inest. Cf. I, 7, 5 καὶ Αἰτωλοὶ οὐ βέβαιοι ὄντες. III, 30, 1 ὅτι οὐ βεβαία — ἡ γνώμη ἐστίν. V, 26, 6 καὶ τὰ νῦν κατεχόμενα οὐ βέβαια ὄντα. Sic etiam non dixerim Latinorum *infirmus* plane eiusdem potestatis esse atque *non firmus:* quamquam quid inter utrumque intersit, cogitari melius, quam accurate verbis potest exprimi. Ceterum forma ἀβέβαιος, nisi aliis de causis vulgata praeferenda mihi videretur, non haberet in quo offenderes. Vide I, 15, 3 αὐτοί τε ἐξ ἀβεβαίου τε καὶ ἅμα κάτωθεν — ἀμυνόμενοι. I, 18, 13 ἐν ἀβεβαίῳ χωρίῳ.

9. πορείας ποιεῖσθαι] Ed. Bas. πορίας ποιεῖσθαι.

11. εἰ — ἐγκαταληφθεῖεν, ἐνταῦθα ἂν ἐταλαιπώρουν] Ed. Basil. ἐγκαταλειφθεῖεν. Similem orationis colorem vide in his Herodoti III, 51 ὁ δέ, ὅκως ἀπελαυνόμενος ἔλθοι ἐς ἄλλην οἰκίην, ἀπελαύνετ' ἂν καὶ ἀπὸ ταύτης. Cf. de hoc usu particulae ἂν Schweigh. ad Herod. III, 119. Schaef. ad Iulian. Orat. p. XVIII. Bornem. ad Xenoph. Anab. II, 3, 11. Herm. de part. ἂν I, 7, in Opuscc. t. IV, p. 20 sq. Bernh. Wiss. Synt. p. 374.

δίψει ἀπαύστῳ συνεχόμενοι] Schmiederus codicem F. secutus dedit δίψει — ἐχόμενοι. Eadem verba confusa notavimus ad IV, 5, 14. Ut vulgatam scripturam intactam relinquerem, effecit potissimum auctoritas Thucydidis, qui plane ita scripsit II, 49 τῇ δίψῃ ἀπαύστῳ ξυνεχόμενοι. Cf. Arr. IV, 9, 11 καὶ μεῖζον ἔτι, ἢ ὅτῳ τότε ξυνείχετο. Nec multum distat VI, 26, 2 δίψει κατεχόμενον. Mecum sentit qui in his Arriani verbis Thucydidis imitationem invenisse sibi visus est Popp. de Elocut. Thucyd. I, 1, p. 369.

C. XXV. πολὺς ὁ φθόρος] Edd. vett. cum tribus codd. Gronovii πολλῶν ὁ φθόρος. In uno codice adiectivum omnino non comparebat. Quod cum Schmiedero dedimus, exhibet cod. F. Atque hoc ut sensui, ita Arrianeo stilo commodissimum est. Sic dixit Arrianus I, 9, 10 καὶ ὁ φόνος πολύς. V, 14, 3 οὐ πλείονα τὸν φόνον. V, 18, 2 μείονα τὸν φόνον. — Infra ed. Basil. ἐπιλείπει.

2 δίψει ἀποθανεῖν αὐτοὺς ἢ ὑπὸ καμάτου ἐκλιπόντας· καὶ ὁ τὴν ἀτρέκειαν τοῦ ἔργου ἐξελέγξων ὑπό τε τοῦ πόνου οὐδεὶς ἦν καὶ ὅτι ξύμπαντες τὰ αὐτὰ ἡμάρτανον· καὶ Ἀλέξανδρον μὲν οὐκ ἐλελήθει τὰ γιγνόμενα, ἴασιν δὲ τῶν παρόντων ἑώρα τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλόν τι
3 ἢ τὴν ὡς γιγνωσκομένων ἐπιχώρησιν. Οὔκουν οὐδὲ τοὺς νόσῳ κάμνοντας τῆς στρατιᾶς οὐδὲ τοὺς διὰ κάματον ὑπολειπομένους ἐν ταῖς ὁδοῖς ἄγειν ἔτι ἦν εὐμαρῶς, ἀπορίᾳ τε τῶν ὑποζυγίων καὶ ὅτι τὰς ἁμάξας αὐτοὶ κατέκοπτον, ἀπόρους οὔσας αὐτοῖς ὑπὸ βάθους τῆς ψάμμου ἄγεσθαι,
4 καὶ ὅτι ἐν τοῖς πρώτοις σταθμοῖς διὰ ταῦτα ἐξηναγκάζοντο οὐ τὰς βραχυτάτας ἰέναι τῶν ὁδῶν, ἀλλὰ τὰς εὐπο-

---

2. *ὁ — ἐξελέγξων ὑπό τε τοῦ πόνου οὐδεὶς ἦν*] Edd. vett. *ὁ — ἐξελέγξων ὑπό τε τοῦ παντὸς οὐδεὶς ἦν.* „Quidquid sit, nihil sententiae in his verbis. Scribe *ἐξελέγξων ὑπό τε τοῦ πόνου.* Ita aut integre clareque habent Mssti, aut ad hanc lectionem alludunt.“ *Gronov.* Recte. Ad constructionem cf. V, 10, 2 *ἔγνω ἀδύνατος ὢν περάσαι ὑπὸ τοῦ πλήθους — καὶ ὅτι ἐπιθήσεσθαι ἔμελλον.* Vide ann. ad. IV, 25, 10. — Mox ed. Basil. *ἐλελήθη.*

ἴασιν δὲ — ἐπιχώρησιν] Transscripsit haec verba in Lexicon suum Suidas s. v. *ἐπιχώρησις*, et accurate quidem, nisi quod apud eum hodie legitur *ἐποίει* pro *ἑώρα* et *ἀνοίας* pro *ἀγνοίας*, quorum posterius non dubito quin futuro Suidae editori ex Arriano corrigendum sit. Eadem nomina saepe confusa reperimus. Cf. vv. ll. ad Demosth. de Cherson. p. 93, 15, R. — Pro *γιγνωσκομένων* ed. Bas. male scriptum exhibet *γιγνωσκομένην.*

3. *ἄγειν ἔτι ἦν εὐμαρῶς*] Verba proprie sic erant coniungenda: *ἔτι ἦν εὐμαρῶς ἄγειν* h. e. nec — *vehi amplius sine impedimento poterant.* De hac verbi *εἶναι* significatione vide ann. ad IV, 4, 12.

7. *οἷα δὴ νυκτὸς τὸ πολὺ τὰς πορείας ποιούμενοι*] Sic edd. vett. cum quattuor codd. Gronovii. *τὸ πολὺ τῆς πορείας* cod. F., unde recepit Schmiederus. Nec sane omnino damnanda videtur haec scriptura, sed tamen non ita est comparata, ut vulgatae lectioni statim debeat praeponi. Cui tuendae apta sunt haec VI, 24, 9 *ἀπορίᾳ γὰρ ὕδατος — μᾶλλόν τι ἦγε πρὸς ἀνάγκην τὰς πορείας ποιεῖσθαι.* Voces quae sunt *τὸ πολὺ* significant quod Latini dicunt *plerumque* s. *maximam partem*, ut III, 10, 5 *τὸ πολὺ ἐν ταῖς μάχαις σφαλερὰ ἡ νὺξ κατεφαίνετο.* III, 18, 9 *καὶ ταύτην δρόμῳ τὸ πολὺ ἦγε*, coll. ann. ad I, 19, 14. Ubi singularis *ἡ πορεία* po-

ρωτάτας τοῖς ζεύγεσι· καὶ οὕτως οἱ μὲν νόσῳ κατὰ τὰς 5
ὁδοὺς ὑπελείποντο, οἱ δὲ ὑπὸ καμάτου ἢ καύματος ἢ τῷ
δίψει οὐκ ἀντέχοντες· καὶ οὔτε οἱ ἄξοντες ἦσαν οὔτε οἱ
μένοντας θεραπεύσοντες· σπουδῇ γὰρ πολλῇ ἐγίγνετο ὁ 6
στόλος, καὶ ἐν τῷ ὑπὲρ τοῦ παντὸς προθύμῳ τὸ καθ'
ἑκάστους ξὺν ἀνάγκῃ ἠμελεῖτο· οἱ δὲ καὶ ὕπνῳ κάτοχοι 7
κατὰ τὰς ὁδοὺς γενόμενοι, οἷα δὴ νυκτὸς τὸ πολὺ τὰς
πορείας ποιούμενοι, ἔπειτα ἐξαναστάντες οἷς μὲν δύναμις
ἔτι ἦν, κατὰ τὰ ἴχνη τῆς στρατιᾶς ἐφομαρτήσαντες, ὀλίγοι
ἀπὸ πολλῶν ἐσώθησαν· οἱ πολλοὶ δὲ ὥσπερ ἐν πελάγει
ἐκπεσόντες τῇ ψάμμῳ ἀπώλοντο. Ξυνηνέχθη δὲ τῇ στρα- 8
τιᾷ καὶ ἄλλο πάθημα, ὃ δὴ οὐχ ἥκιστα ἐπίεσεν αὐτούς

---

situs est, ibi non tam *singula itinera* indicantur, quam *iter* in universum: ut III, 21, 11 *ἐνταῦθα ἀκούσας ὅτι νυκτὸς ποιεῖσθαι τὴν πορείαν ἐγνωσμένον εἴη τοῖς βαρβάροις.* VI, 4, 2 *ὅπως χρὴ τὴν πορείαν ποιεῖσθαι.* Consule praeterea quae de simili nominum in plurali positorum usu diximus in ann. ad VI, 15, 1.

ὕπνῳ κάτοχοι] Sic dixit Plutarchus in vita Crassi c. VIII *κάτοχος τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς.* Paulo aliter iam habent quae leguntur apud Arr. IV, 13, 9 *κάτοχον ἐκ τοῦ θείου γιγνομένην.*

ὥσπερ ἐν πελάγει ἐκπεσόντες τῇ ψάμμῳ ἀπώλοντο] „Vulcanius *in arenas tanquam vastum pelagus delati.* Dubito an sufficiat. Nimirum *ἐκπίπτειν* naves dicuntur, quae non tenent cursum vel propositum vel felicem sive ob adversos ventos, sive ob loci ignorantiam. Sic Diod. Sic. I, 31 *λανθάνουσιν ἑαυτοὺς ἐκπίπτοντες οἱ μὲν εἰς ἑλώδεις καὶ λιμνάζοντας τόπους, οἱ δ' ἐς χώραν ἔρημον* (cf. Xenoph. Anab. VII, 5, 12 *νεῶν πολλαὶ ὀκέλλουσι καὶ ἐκπίπτουσι.* Paulo plenius idem ibid. V, 2, 31 *ἐκπεσόντες ἐκ τῆς ὁδοῦ.* Vide Locell. ad Xenoph. Ephes. p. 239. E.). Sed vero *ἐκπίπτειν* proprie etiam dicuntur homines qui casu e navibus excidunt in mare; nec tantum homines, sed etiam quaecunque res in navibus sunt. Hinc simpliciter intelligo: *in arena, velut in pelago elapsi perierunt,* nempe arenis obruti, non secus ac mari. Eadem comparatio l. III, 3, 7 *οὐδὲ ἔστιν εἰδέναι ἵνα χρὴ πορεύεσθαι, καθάπερ ἐν πελάγει τῇ ψάμμῳ.*" *Gronov.* Notandum est, in edd. vett. legi addita praepositione *ἐν τῇ ψάμμῳ.* Praepositionem removit Schmiederus, iis permotus quae Gronovius ad V, 17, 3 annotaverat. Sed vellem hic accuratius indicasset quae sit codicum

9 τε καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια. Ὕεται γὰρ ἡ Γαδρω-
σίων γῆ ὑπ᾽ ἀνέμων τῶν ἐτησίων, καθαπεροῦν καὶ ἡ Ἰνδῶν
γῆ, οὐ τὰ πεδία τῶν Γαδρωσίων, ἀλλὰ τὰ ὄρη, ἵναπερ προσ-
φέρονταί τε αἱ νεφέλαι ὑπὸ τοῦ πνεύματος καὶ ἀναχέονται,
10 οὐχ ὑπερβάλλουσαι τῶν ὀρῶν τὰς κορυφάς. Ὡς δὲ ηὐλίσθη
ἡ στρατιὰ πρὸς χειμάῤῥῳ ὀλίγου ὕδατος, αὐτοῦ δὴ ἕνεκα
τοῦ ὕδατος ἀμφὶ δευτέραν φυλακὴν τῆς νυκτὸς, ἐμπλησθεὶς
ὑπὸ τῶν ὄμβρων ὁ χείμαῤῥος ὁ ταύτῃ ῥέων, ἀφανῶν τῇ
στρατιᾷ γεγενημένων τῶν ὄμβρων, τοσοῦτο ἐπῆλθε τῷ
ὕδατι, ὡς γύναια καὶ παιδάρια τὰ πολλὰ τῶν ἑπομένων
τῇ στρατιᾷ διαφθεῖραι, καὶ τὴν κατασκευὴν τὴν βασιλι-
κὴν ξύμπασαν ἀφανίσαι καὶ τῶν ὑποζυγίων ὅσα ἀπελεί-
11 πετο· αὐτοὺς δὲ μόλις καὶ χαλεπῶς ξὺν τοῖς ὅπλοις οὐδὲ

---

scriptura. Num enim propterea quod semel omissam videmus in eadem verborum structura praepositionem, Arrianus ubique eam omisisse putandus est? Saepe autem in his similibusque locutionibus praepositionem in altera enunciati parte omitti praeter alios animadverterunt Schaef. ad Iulian. Orat. p. XIX sq. et Bernhard. Wiss. Synt. p. 205. Ceterum cave putes construendum *ἐν πελάγει ἐκπεσόντες*. Coniunge potius *ἐν πελάγει — ἀπώλοντο*, ut *ἐκπεσόντες* absolute positum sit. Vide ann. ad III, 2, 8.

9. *προσφέρονται — ὑπὸ τοῦ πνεύματος*] Schmiederus e cod. F. *προσφέρονται — ἐκ τοῦ πνεύματος* rell. codd. cum edd. vett. Utramque praepositionem in tali verborum coniunctione recte habere posse concedes perlectis quae dicta sunt ad III, 12, 2 et VII, 3, 8. — Supra ed. Basil. *καθάπερ οὖν*.

10. *τοσοῦτο ἐπῆλθε*] „In omnibus editis praeter Venetam et Basileensem legitur *τοσοῦτον ἐπῆλθε*. Cui voci masculinum *τοσοῦτον* iungerem, non inveni. Vel scribendum est *τοσούτῳ tam multa aqua*, vel neutrum quod habent primae editiones, et revocavi, quod vertendum, quasi scripsisset *ἐπὶ τοσοῦτο ἦλθε τῷ ὕδατι*.“ *Schmied.* Forte factum puto ut in ed. Vulcaniana *ν* accesserit. Sed si omnes codd. Gronovii et edd. vett. id firmarent, non repudiaremus. Non meminerat, opinor, Schmiederus, *τοσοῦτον* alteram esse neutrius formam, Atticis scriptoribus valde dilectam. — Infra ed. Bas. *καὶ τούτων ὑποζυγίων*.

12. *ὁπότε ἐκ καύματος — ἐπιτύχοιεν*] Ed. Bas. *ἀπό τε — ἐπιτύχοιε* et *ἐκκαύματος* una voce. Quod cum non intelligeret quomodo diceretur Vulcanius, dedit *ἀπό τε καύματος — ἐπιτυχόντες*. Nobis cum Schmiedero

τούτοις πᾶσιν ἀποσωθῆναι· οἱ πολλοὶ δὲ καὶ πίνοντες, 12
ὁπότε ἐκ καύματός τε καὶ δίψους ὕδατι ἀθρόῳ ἐπιτύ-
χοιεν, πρὸς αὐτοῦ τοῦ ἀπαύστου ποτοῦ ἀπώλοντο. Καὶ 13
τούτων ἕνεκα Ἀλέξανδρος τὰς στρατοπεδείας οὐ πρὸς τοῖς ὕδασιν αὐτοῖς τὸ πολὺ ἐποιεῖτο, ἀλλὰ ἀπέχων ὅσον εἴκοσι σταδίους μάλιστα, ὡς μὴ ἀθρόους ἐμπίπτοντας τῷ ὕδατι αὐτούς τε καὶ τὰ κτήνη ἀπόλλυσθαι καὶ ἅμα τοὺς μάλιστα ἀκράτορας σφῶν ἐπεμβαίνοντας ἐς τὰς πηγὰς ἢ τὰ ῥεύματα διαφθείρειν καὶ τῇ ἄλλῃ στρατιᾷ τὸ ὕδωρ.

XXVI. Ἔνθεν δὴ ἔργον καλόν, εἴπερ τι ἄλλο τῶν Ἀλεξάνδρου, οὐκ ἔδοξέ μοι ἀφανίσαι, ἢ ἐν τῇδε τῇ χώρᾳ πραχθὲν ἢ ἔτι ἔμπροσθεν ἐν Παραπαμισάδαις, ὡς μετ-
εξέτεροι ἀνέγραψαν· ἰέναι μὲν τὴν στρατιὰν διὰ ψάμμου 2

---

recepta sunt quae praestant omnes codd. Gronovii. Atque editio Basileensis iamiam eo ferebat. Nimirum *ἀπό τε*, literis male distractis, sine dubio expressum est pro *ὁπότε* (cf. ann. ad III, 15, 4. III, 28, 12. IV, 13, 11. V, 7, 11. V, 8, 8. V, 23, 13). Verbo *ἐπιτύχοιεν* vero male detractum est *ν* finale, ut eadem editio nos condonavit formis *μάθοιε* III, 21, 8. *λάβοιε* III, 17, 3. *περιτυγχάνοιε* VI, 8, 3.

13. *τὰς στρατοπεδείας*] Semel hoc loco usurpavit Arrianus formam *στρατοπεδεία* de *castris*, fortasse secutus Xenophontem, de quo vide quae dixit Schneiderus in Add. et Corrig. ad Hist. Gr. p. 120 coll. Hist. Gr. IV, 1, 24. Sed etiam aliis scriptoribus hoc nomen in usu fuit. Cf. Polyb. XI, 30 *μεταξὺ τῆς αὐτοῦ καὶ τῶν πολεμίων στρατοπεδείας*. Diod. Sicul. XVII, 59 *παρεισπεσόντων εἰς τὴν στρατοπεδείαν τῶν Μακεδόνων*. XVII, 95 *στρατοπεδείαν περιβαλόμενος*. — Paulo infra ed. Bas. *ἀπώλυσθαι*.

C. XXVI. *ὡς μετεξέτεροι ἀνέγραψαν*] Ionicam hanc vocem quae est *μετεξέτεροι*, ut Herodoto, ita Hippocrati valde familiarem (vide Lex. Herodot. t. II, p. 102. Koen. ad Greg. Cor. p. 501) Arrianus hoc loco excepto non usurpavit. Ceterum Koenius cum ad Greg. Cor. l. l. scribebat: „non exspectaram apud Arr. Exp. Al. VI, 26," hoc non tam libere professurus fuisset, si cognita habuisset multa illa quae Arrianus ex Herodoto mutuatus est.

μόλις μὲν καὶ χαλεπῶς] Plane ita dixit VI, 25, 9 *μόλις μὲν καὶ χαλεπῶς ἀποσωθῆναι*. Cf. Dorv. ad Charit. p. 409, qui plura dixit de hac similibusque loquendi formulis.

2. *τὸ δὲ ἦν πρόσθεν τῆς ὁδοῦ*] Bornemannus ad Xenoph.

τε καὶ τοῦ καύματος ἤδη ἐπιφλέγοντος, ὅτι πρὸς ὕδωρ ἐχρῆν ἐξανύσαι (τὸ δὲ ἦν πρόσθεν τῆς ὁδοῦ) καὶ αὐτόν τε Ἀλέξανδρον δίψει κατεχόμενον μόλις μὲν καὶ χαλεπῶς, πεζὸν δὲ ὅμως ἡγεῖσθαι· ὥστε καὶ τοὺς ἄλλους στρατιώτας (οἷάπερ φιλεῖ ἐν τῷ τοιῷδε) κουφοτέρως φέρειν
3 τοὺς πόνους ἐν ἰσότητι τῆς ταλαιπωρήσεως· ἐν δὲ τούτῳ τῶν ψιλῶν τινας κατὰ ζήτησιν ὕδατος ἀποτραπέντας ἀπὸ τῆς στρατιᾶς εὑρεῖν ὕδωρ συλλελεγμένον ἔν τινι χαράδρᾳ οὐ βαθείᾳ, ὀλίγην καὶ φαύλην πίδακα· καὶ τοῦτο οὐ χαλεπῶς συλλέξαντας σπουδῇ ἰέναι παρ' Ἀλέξανδρον,
4 ὡς μέγα δή τι ἀγαθὸν φέροντας· ὡς δὲ ἐπέλαζον ἤδη, ἐμβαλόντας ἐς κράνος τὸ ὕδωρ προσενεγκεῖν τῷ βασιλεῖ·

Anab. IV, 3, 28 pro *πρόσθεν* scriptum malit *πρόσω*. Quam ob causam, ignoro. Nam nullo modo comparari possunt quae apud Xenoph. l. l. leguntur verba *μὴ πρόσω δὲ τοῦ ποταμοῦ προβαίνειν*. Nec prorsus simile est quod dixit Arrianus ipse in Indicis c. II, 8 *τὰ δὲ πρὸς ἕω Ἀλέξανδρος μὲν οὐκ ἐπῆλθε, τάδε πρόσω ποταμοῦ Ὑφάσιος*. Cum vulgata scriptura apte conferas Xen. Hist. Gr. IV, 1, 22 *παρήγγειλε παρεῖναι πρόσθεν τοῦ στρατοπέδου*. — Usum pronominis quod est *τὸ δέ* illustrent haec. III, 30, 12 *ἐπὶ Μαράκανδα ἦγε· τὰ δέ ἐστι βασίλεια*. V, 1, 1 *τὸ δὲ κτίσμα εἶναι*. VI, 11, 6 *τὸ δὲ ξυνέβη*. Tact. c. XLII *τὸ δέ μοι ἔστω τέλος*. Cf. Sieb. ad Pausan. II, 1, 6. Wyttenb. ad Iul. Orat. p. 172, ed. Lips. Krueg. ad Xen. Anab. IV, 2, 6. Adde Lucian. vv. hh. II, 42 *τὸ δ' ἦν πέλαγος*.

ὥστε καὶ τοὺς ἄλλους στρατιώτας] Voculam *καί*, quam edd. vett. et omnes fere codd. Gronovii ignorabant, inseruimus e cod. F. Schmiederum secuti. Vide ann. ad III, 10, 3. Praeterea recte scribi iussit Raphelius *ὥστε* pro vulg. *ὡς δέ*, quod ferri non potest. Similem orationis colorem habes in his l. I, 7, 4 *ὥστε (ὅπερ φιλεῖ ἐν τοῖς τοιοῖσδε) — εἴκαζον*.

3. *ὡς μέγα δή τι ἀγαθόν*] Simili verborum coniunctione usus dixit III, 29, 6 *πολὺ δή τι βαθύτερος*. IV, 25, 4 *πολὺ δή τι ἀλκιμώτατοι*. VI, 1, 5 *μικροῖς δή τισι*. Cf. Xenoph. Ephes. I, 1, 1 *μέγα δή τι χρῆμα*.

5. *πότον γενέσθαι*] Sic primus Vulcanius. *ποτόν* ed. Basil. Hoc nomine semel usus est Arrianus VI, 25, 10 *πρὸς αὐτοῦ τοῦ ἀπαύστου ποτοῦ ἀπώλοντο*. Illud haud raro nobis repertum, ut IV, 8, 3 *πόῤῥω τοῦ πότου προϊόντος*. IV, 10, 7 *ἐν πότῳ*. VII, 4, 10 *καὶ μετὰ τὸν πότον ἦκον οἱ γαμούμενοι*. VII, 14, 1 *καὶ πότοι αὐτῷ ἐγίγνοντο*. VII, 27, 3 *ἀπαλλαγῆναι ἐκ τοῦ πότου*. In quibus

τὸν δὲ λαβεῖν μὲν καὶ ἐπαινέσαι τοὺς κομίσαντας· λα-
βόντα δὲ ἐν ὄψει πάντων ἐκχέαι· καὶ ἐπὶ τῷδε τῷ ἔργῳ ἐς 5
τοσόνδε ἐπιῤῥωσθῆναι τὴν στρατιὰν ξύμπασαν, ὥστε εἰκά-
σαι ἄν τινα πότον γενέσθαι πᾶσιν ἐκεῖνο τὸ ὕδωρ τὸ πρὸς
Ἀλεξάνδρου ἐκχυθέν. Τοῦτο ἐγώ, εἴπερ τι ἄλλο, τὸ ἔργον 6
εἰς καρτερίαν τε καὶ ἅμα στρατηγίαν ἐπαινῶ Ἀλεξάνδρου.
Ξυνηνέχθη δέ τι καὶ τοιόνδε τῇ στρατιᾷ ἐν τῇ γῇ ἐκείνῃ. 7
Οἱ γὰρ ἡγεμόνες τῆς ὁδοῦ τελευτῶντες οὐκέτι μεμνῆσθαι
ἔφασκον τὴν ὁδόν, ἀλλ' ἀφανισθῆναι τὰ σημεῖα αὐτῆς
πρὸς τοῦ ἀνέμου ἐπιπνεύσαντος· καὶ οὐ γὰρ εἶναι ἐν τῇ 8
ψάμμῳ πολλῇ τε καὶ ὁμοίᾳ πάντῃ νενημένῃ, ὅτῳ τεκμη-
ριώσονται τὴν ὁδόν· οὔτ' οὖν δένδρα ξυνήθη παρ' αὐτὴν 9

---

omnibus locis est Latinorum *convivium*. Quam significationem si nostro loco retines, haud inepte Arrianus hoc dixisse putandus est: *ut coniecerit quispiam convivii loco fuisse omnibus aquam illam ab Alexandro effusam.*

6. *Τοῦτο ἐγώ, εἴπερ τι ἄλλο, τὸ ἔργον*] Similis verborum constructio est IV, 19, 9 *καὶ τοῦτο ἐγὼ Ἀλεξάνδρου τὸ ἔργον ἐπαινῶ.* Aliter eum loqui potuisse documento sunt haec l. I, 24, 3 *τῷ ἔργῳ τῷδε, εἴπερ τινὶ ἄλλῳ, εὐδοκίμησε.*

8. *ὁμοίᾳ πάντῃ νενημένῃ*] Sic recte ed. Basil. et Vulc. *νενεμένῃ* Blancardus primus, unde transiit in ed. Gronov. et Raphel. Meminit huius loci Toupius in Opp. critt. I, p. 233. Nec dubitandum est quin apud Suidam s. v. *κολωνός*, ubi vulgo legitur in fragmento Arriani *καθεώρων κολωνοὺς λίθων πολλαχοῦ τοῦ ὄρους νεμεμημένους* cum Toupio sit scribendum *νενημένους* s. *νενησμένους*, quam posteriorem formam vide apud Arr. VI, 24, 7, cui favet quoque qui VII, 3, 3 legitur aoristus *νησθῆναι.* Ex Gronovii annotatione ad VI, 24, 7 inserta: „Itaque infra c. 26 non repugnabo scribi oportere *πάντῃ νενημένῃ*, ut habet Mstus unus cum Augustano et ed. Basileensi; quomodo pro *νενησμένῃ* alios dixisse etiam annotatum est, ubi vulgo *νενημένῃ*,“ non sane scio, quid eruatur. Num omnes codices praebuere *νενημένῃ*, an fuit in nonnullis *νενεμένῃ* s. *νενησμένῃ*? Ceterum quod dedimus, ne quis minus probum habeat, conferatur Xenoph. Cyrop. V, 4, 16 *εὕρισκον θησαυροὺς ἄρτων νενημένων.* Thucyd. VII, 87 *τῶν νεκρῶν ἐπ' ἀλλήλοις ξυννενημένων.* Athenae. X, p. 437, A *ὅτι ῥίψας ἑαυτὸν ἐς πυρὰν νενημένην ἀπέθανε.*

9. *πρὸς τῶν ἄρκτων — τὴν μείζονα*] Eustathius ad Dionys. Perieg. p. 275 sensum potius, quam singula verba respiciens scri-

πεφυκότα, οὔτε τινὰ γήλοφον βέβαιον ἀνεστηκότα, οὐδὲ πρὸς τὰ ἄστρα ἐν νυκτὶ ἢ μεθ' ἡμέραν πρὸς τὸν ἥλιον μεμελετῆσθαι σφίσι τὰς πορείας, καθάπερ τοῖς ναύταις πρὸς τῶν ἄρκτων τὴν μὲν Φοίνιξι τὴν ὀλίγην, τὴν δὲ
10 τοῖς ἄλλοις ἀνθρώποις τὴν μείζονα. Ἔνθα δὴ Ἀλέξανδρον συνιέντα ὅτι ἐν ἀριστερᾷ ἀποκλίναντα ἄγειν ἀνα-
11 λαβόντα ὀλίγους ἅμα οἷ ἱππέας· ὡς δὲ καὶ τούτων οἱ ἵπποι ἐξέκαμνον ὑπὸ τοῦ καύματος, ἀπολιπεῖν καὶ τούτων τοὺς πολλούς· αὐτὸν δὲ ξὺν πέντε τοῖς πᾶσιν ἀφ-
12 ιππάσασθαι, καὶ εὑρεῖν τὴν θάλασσαν· διαμησάμενόν τε αὐτὸν ἐπὶ τοῦ αἰγιαλοῦ τὸν κάχληκα [καὶ] ἐπιτυχεῖν ὕδατι γλυκεῖ καὶ καθαρῷ καὶ οὕτω μετελθεῖν τὴν στρα-

---

bit: Ἀῤῥιανὸς δὲ ἐν τοῖς περὶ Ἀλεξάνδρου φησὶν ὅτι Φοίνικες μὲν πρὸς τὴν ὀλίγην ἄρκτον μελετῶσι τὰς πορείας, οἱ δὲ ἄλλοι ἄνθρωποι πρὸς τὴν μείζω. Attamen haec verba ab Eustathio ita adscripta confirmarunt quam de distinguendis huius enunciati singulis verbis sententiam habui. Nimirum colon vulgo post *πρὸς τῶν ἄρκτων* positum sequentia a praegressis ita disiungebat, ut nullo modo cohaerere viderentur. Sed perperam hoc factum est. Signo isto deleto et commate post *ὀλίγην* posito praepositio *πρός*, ut par est, pertinet ad accusativos *τὴν ὀλίγην* et *τὴν μείζονα.* Vulcanius, qui verborum nexum non intellexit, scripturam editionis Basileensis, quam firmant omnes codd. Gronovii, mutavit scribendo *τοῖς μὲν Φοίνιξι τὴν ὀλίγην, τοῖς δ' ἄλλοις — τὴν μείζονα.* Qua mutatione, ut vides, non opus est. Hoc enim dixit Arrianus: *neque ex astris noctu, aut ex sole interdiu itineris rationem sese observare, quemadmodum nautae* (navium cursum colligerent) *ex ursis, et Phoenices quidem ex minori, reliqui homines ex maiori.* De constructione confer quae dicta sunt in ann. ad. II, 21, 9.

10. *Ἔνθα δὴ — ἱππέας*] Haec est scriptura editionis Basileensis, ab omnibus codicibus Gronovii confirmata. Vulcanius ex coniectura, ut videtur, post *ἀριστερᾷ* inseruit *δεῖ* (cf. Lob. ad Phryn. p. 772) et post *ἱππέας* verbum *προκεχωρηκέναι.* Non male quidem, nisi quod pro *προκεχωρηκέναι* scriptum oportebat *προχωρῆσαι*; sed vulgatum mutare nefas foret. Quamquam negari non potest, verba minus concinne composita esse. Si quid video, quae dixit Arrianus, ita erant ordinanda: *ἔνθα δὴ Ἀλέξανδρον συνιέναι* (sc. *τὴν πορείαν*) *καὶ ἐν ἀριστερᾷ — ἄγειν κ. τ. λ.* Hoc enim certum mihi est, particulam *ὅτι* non esse causalem ut ad *συνιέντα* referendam,

τιὰν πᾶσαν, καὶ ἐς ἑπτὰ ἡμέρας ἰέναι παρὰ τὴν θάλασσαν ὑδρευομένους ἐκ τῆς ἠιόνος. Ἔνθεν δὲ (ἤδη γάρ τι 13
γιγνώσκειν τὴν ὁδὸν τοὺς ἡγεμόνας) ἐπὶ τῆς μεσογαίας ποιεῖσθαι τὸν στόλον.

XXVII. *Ὡς δὲ ἀφίκετο ἐς τῶν Γαδρωσίων τὰ βασίλεια, ἀναπαύει ἐνταῦθα τὴν στρατιάν· καὶ Ἀπολλοφάνην μὲν παύει τῆς σατραπείας, ὅτι οὐδενὸς ἔγνω ἐπιμεληθέντα τῶν προεπηγγελμένων. Θόαντα δὲ σατραπεύειν τῶν ταύτῃ* 2
ἔταξε· τούτου δὲ νόσῳ τελευτήσαντος, Σιβύρτιος τὴν σατραπείαν ἐκδέχεται· ὁ αὐτὸς δὲ καὶ Καρμανίας σατράπης ἦν, νεωστὶ ἐξ Ἀλεξάνδρου ταχθείς· τότε δὲ τούτῳ μὲν Ἀραχώτων τε καὶ τῶν Γαδρωσίων ἄρχειν ἐδόθη·

---

sed *ὅτι — ἄγειν* positum esse quasi praecesserit verbum *λέγουσι* vel simile quid. De quo constructionis genere vide quae disputarunt Passov. ad Parthen. Erott. p. 65. Fritzsch. Qu. Lucc. p. 172 sq. Iacobs. in vv. ll. Diar. schol. Darmst. 1828, p. 1093 et ibid. 1829, p. 819 insertis. Cf. Hist. Ind. VI, 6 *ὥστε ἀπὸ τῶνδε ἔξεστι τεκμηριοῦσθαι — ὅτι ἐοικὸς εἶναι ὕεσθαι τὰ Αἰθιόπων ὄρεα.* Pro *ἅμα οἱ* edd. habent *ἅμά οἱ.*

[*καὶ*] *ἐπιτυχεῖν*] Vocem, quam uncis inclusam vides, Schmiederus dedit e cod. F. Ignorant eam ut edd. vett., ita codd. quattuor Gronovii. Nec sane valde ea desideratur. Construe *διαμησάμενόν τε — ἐπιτυχεῖν — καὶ οὕτω μετελθεῖν.* Et facile particula ista poterat oriri ex vocis antecedentis syllaba finali.

εἰς ἑπτὰ ἡμέρας] Ita edd. vett. cum quattuor codd. Gronovii. *ἐν ἑπτὰ ἡμέραις* Schmiederus ex auctoritate codicis F. Minus apte, opinor. Quamvis enim multis locis apud Arrianum legatur dativus temporis addita praepositione *ἐν* (vid. ann. ad III, 20, 2), tamen ne unum quidem novi locum, ubi in tali verborum coniunctione qualis nostro loco obtinet, dativum usurparit. Nam quod afferat quispiam l. IV, 22, 12 *ἐξεῖλον γὰρ αὐτὴν ἐν τριάκοντα ἡμέραις προσκαθήμενοι,* id, re paulo accuratius considerata, huc non pertinere intelligitur. Verba enim *ἐν τριάκοντα ἡμέραις* referenda sunt ad *ἐξεῖλον.* Nostro loco verba *ἐς ἑπτὰ ἡμέρας* significant quod Latine dixeris *septem circiter dies.* Cf. IV, 30, 1 *ἐχώννυτο — ἐς τρεῖς ἡμέρας — τὸ χῶμα.* Diod. Sicul. XVII, 106 *ἐφ' ἑπτὰ μὲν ἡμέρας προῄει.*

C. XXVII. 2. *Σιβύρτιος*] „Ita recte constitutum fuit primo id nomen ab Freinshemio in notis Curtianis IX, 10, 20 et Indice Cur-

3 *Καρμανίαν δὲ ἔσχε Τληπόλεμος ὁ Πυθοφάνους. Ἤδη τε ἐπὶ Καρμανίας προὐχώρει ὁ βασιλεὺς καὶ ἀγγέλλεται αὐτῷ Φίλιππον τὸν σατράπην τῆς Ἰνδῶν γῆς, ἐπιβου-*
4 *λευθέντα πρὸς τῶν μισθοφόρων, δόλῳ ἀποθανεῖν· τοὺς δὲ ἀποκτείναντας ὅτι οἱ σωματοφύλακες τοῦ Φιλίππου οἱ Μακεδόνες, τοὺς μὲν ἐν αὐτῷ τῷ ἔργῳ, τοὺς δὲ καὶ*
5 *ὕστερον λαβόντες ἀπέκτειναν. Ταῦτα δὲ ὡς ἔγνω, ἐκπέμπει γράμματα ἐς Ἰνδοὺς παρὰ Εὔδημόν τε καὶ Ταξίλην, ἐπιμελεῖσθαι τῆς χώρας τῆς πρόσθεν ὑπὸ Φιλίππῳ τεταγμένης, ἔστ' ἂν αὐτὸς σατράπην ἐκπέμψαι ἐπ' αὐτῆς.*
6 *Ἤδη δ' ἐς Καρμανίαν ἥκοντος Ἀλεξάνδρου, Κρατερὸς*

---

tii. Libri namque scripti omnes haerent in duplici sibilo *Σισύρτιος*. Habes id nomen in proverbio *Κλεισθένην ὁρῶ*. Vide Suidam." *Gronov.* Intactum reliquerunt hoc nomen librarii V, 6, 2 *Σιβυρτίῳ τῷ σατράπῃ τῆς Ἀραχωσίας.*

4. *τοὺς δὲ ἀποκτείναντας*] Edd. vett. cum quattuor codd. Gronovii *τοὺς μὲν ἀποκτείναντας.* Quod dedimus, suppeditavit cod. F. Neque aliter scripturus fuissem, etiamsi omnes codices adversarii exstitissent. cf. II, 3, 12 *Ἀλέξανδρος δὲ ὡς ἀπόρως μὲν εἶχεν —, ἄλυτον δὲ περιιδεῖν οὐκ ἤθελε.* VII, 23, 6 *τοὺς δὲ Πέρσας, τοὺς μὲν τοξότας, τοὺς δὲ καὶ μεσάγκυλα ἔχοντας.* Adde ann. ad I, 22, 9.

5. *τῆς χώρας τῆς πρόσθεν*] „Vox tertia typorum lapsu in Gronoviana exciderat; nunc restituta est." *Schmied.* — Supra ed. Bas. *παρ' Εὔδαιμον.*

ἔστ' ἂν αὐτὸς ἐκπέμψαι] Non multum abfuit quin scriberem *ἔστ' ἂν — ἐκπέμψῃ,* locis fretus quales sunt IV, 3, 11 *κελεῦσαι φυλάττεσθαι, ἔστ' ἂν ἀπαλλάττηται.* VI, 14, 4 *ξυστρατεύοντας ἕξειν, ἔστ' ἂν διαπολεμηθῇ.* VI, 22, 5 *τό τε ναυτικὸν ὑπομένειν, ἔστ' ἂν περιπλεύσῃ τὴν χώραν.* Non tamen damnaverim optativum, ut in oratione obliqua positum; damnaverim formam *ἐκπέμψαι* pro *ἐκπέμψειε* positam, coll. ann. ad III, 28, 12. Num autem *ἔστ' ἂν* recte constructum sit cum optativo, in dubio relinquam. Arrianus quidem dixit II, 23, 5 *ταύτας δὲ ἐκέλευσεν ἐποκέλλειν —, ἔστε τὸ ἐποκεῖλαι ἄπορον γίγνοιτο.* Reperi tamen apud Xenophontem Hist. Gr. V, 4, 47 *ἐκέλευσε φυλάττειν ἕως ἂν ἔλθοι.* Cyropaed. VIII, 1, 44 nuper editum est *ἀνέμενεν αὐτούς, ἔστε ἐμφάγοιέν τι* pro vulg. *ἔστ' ἂν ἐμφάγοιεν.* Et sic quoque Anab. V, 5, 2, ubi nunc expressum legitur *ἐπιμεῖναι κελεύσαντες, ἔστε βουλεύσαιντο,* unus

ἀφικνεῖται, τήν τε ἄλλην στρατιὰν ἅμα οἷ ἄγων καὶ τοὺς ἐλέφαντας, καὶ Ὀρδάνην τὸν ἀποστάντα καὶ νεωτερίσαντα
συνειληφώς. Ἐνταῦθα δὲ Στασάνωρ τε ὁ Ἀρείων καὶ ὁ 7
Ζαραγγῶν σατράπης ἧκε· καὶ ξὺν αὐτοῖς Φαρισμάνης ὁ Φραταφέρνου τοῦ Παρθυαίων καὶ Ὑρκανίων σατράπου
παῖς. Ἧκον δὲ καὶ οἱ στρατηγοὶ οἱ ὑπολειφθέντες ἅμα 8
Παρμενίωνι ἐπὶ τῆς στρατιᾶς τῆς ἐν Μηδίᾳ, Κλέανδρός τε καὶ Σιτάλκης καὶ Ἡράκων, τὴν πολλὴν τῆς στρατιᾶς
καὶ οὗτοί γε ἄγοντες. Τοὺς μὲν δὴ ἀμφὶ Κλέανδρόν τε 9
καὶ Σιτάλκην, πολλὰ ἐπικαλούντων αὐτοῖς τῶν τε ἐγχωρίων καὶ τῆς στρατιᾶς αὐτῆς, ὡς ἱερά τε πρὸς αὐτῶν

---

vel alter codex habet ἔστ' ἂν βουλεύσαιντο. Vide Herm. ad Viger. p. 786 et 792.

6. καὶ Ὀρδάνην] Edd. vett. Ὀρδώνην. „Hunc quoque notavit Freinshemius in Curtianis IX, 10, 19, ut qui a Curtio *Ozines* vocetur; sed Mssti tum Optimus, tum alii appellant Ὀρδάνην.“ Gronov. — Supra edd. omnes ἅμα οἱ.

7. Ζαραγγῶν] Edd. vett. Ζαράγγων. Schmiederus de suo dedit Δράγγων. At cf. VI, 17, 6 et ann. ad III, 25, 13.

ὁ Φραταφέρνου — παῖς] Nusquam fere in hac loquendi formula, nisi ubi totius orationis ratio flagitat, nomen quod est παῖς Arriano additum videmus. Vide mihi I, 16, 5 Ἀρβουπάλης ὁ Δαρείου τοῦ Ἀρταξέρξου παῖς. II, 16, 3 κατὰ Λάβδακον τὸν Πολυδώρου τοῦ Κάδμου παῖδα. III, 19, 5 Ὀξάθρην τὸν Ἀβουλίτου τοῦ Σούσων σατράπου παῖδα. III, 19, 8 ὁ Ὤχου παῖς τοῦ πρὸ Δαρείου βασιλεύσαντος Περσῶν. VII, 4, 1 Ἀβουλίτην δὲ καὶ τὸν τούτου παῖδα Ὀξάθρην. In quibus locis omnibus nomen illud appositum est, ut ne obscurior fieret oratio. Deinde additum videmus, quando duo orationis membra opposita sunt, ut I, 25, 12 καὶ Ἀλεξάνδρου μὲν παῖδα, ἀδελφὸν δὲ Κρατεροῦ. II, 13, 10 Στράτων ὁ Γηροστράτου παῖς — ὁ δὲ Γηρόστρατος αὐτός. VII, 6, 7 Ὀξυάρτου μὲν παῖς, Ῥωξάνης δὲ ἀδελφός. Quemadmodum etiam Herodotum vidimus locutum I, 107 Κυαξάρης ὁ τοῦ Ἀστυάγους παῖς, τῆς δὲ Κύρου μητρὸς ἀδελφός. Sine idonea causa scripsit Arrianus II, 14, 2 ἐπειδὴ Ἄρσης ὁ υἱὸς Ἀρταξέρξου ἐβασίλευσεν. III, 18, 17 σατράπην δὲ κατέστησε Φρασαόρτην τὸν Ῥεομίθρου παῖδα.

9. Τοὺς μὲν δὴ ἀμφὶ Κλέανδρον] Vertunt: *E quibus Cleandrum et Sitalcen accusatos ab indigenis.* Atque pertinet sane hic locus ad eos, ubi vulgo putant, hac circumscriptione nil nisi simplex

σεσυλημένα καὶ θήκας παλαιὰς κεκινημένας καὶ ἄλλα
ἄδικα ἔργα ἐς τοὺς ὑπηκόους τετολμημένα καὶ ἀτάσθαλα,
10 ταῦτα ὡς ἐξηγγέλθη, τοὺς μὲν ἀπέκτεινεν, ὡς καὶ τοῖς
ἄλλοις δέος εἶναι, ὅσοι σατράπαι ἢ ὕπαρχοι ἢ νομάρχαι
ἀπολείποιντο, τὰ ἴσα ἐκείνοις πλημμελοῦντας πείσεσθαι·
11 καὶ τοῦτο, εἴπερ τι ἄλλο, κατέσχεν ἐν κόσμῳ τὰ ἐξ Ἀλεξ-
άνδρου δορυάλωτα ἢ ἑκόντα προσχωρήσαντα, τοσαῦτα
μὲν πλήθει ὄντα, τόσον δὲ ἀλλήλων ἀφεστηκότα, ὅτι οὐκ
ἐξῆν ὑπὸ τῇ Ἀλεξάνδρου βασιλείᾳ ἀδικεῖσθαι τοὺς ἀρχο-

---

nomen proprium indicari. At vereor ut recte ita statuatur. Ubique enim in eiusmodi locutionibus memorantur homines, quibuscum verisimile est coniunctos fuisse plures alios sive amicos, sive comites, sive milites. Sic I, 10, 7 ἐξῄτει τοὺς ἀμφὶ Δημοσθένην καὶ Λυκοῦργον, ubi hac locutione indicantur qui a partibus stetere Demosthenis et Lycurgi. III, 28, 16 εἵποντο δὲ αὐτῷ οἵ τε ἀμφὶ Σπιταμένην καὶ Ὀξυάρτην h. e. Spitamenes et Oxyartes una cum ceteris ducibus inferioribus. Neque aliter censeo explicandos esse locos quales sunt IV, 22, 3 ταῦτα δὲ ὡς ἐπράχθη τοῖς ἀμφὶ Κρατερόν. IV, 24, 11 οἱ ἀμφὶ Κρατερὸν σὺν τῇ στρατιᾷ et centenos alios. Quid mirum vero, si aliis locis circumscriptione, aliis simplici nomine proprio usum videmus scriptorem? Quomodo dixit Arrianus I, 6, 6 τότε δὲ προσάγοντας ἤδη τοὺς ἀμφὶ Ἀλέξανδρον οὐκ ἐδέξαντο coll. VI, 21, 7 ὡς προσάγοντα ἐπύθοντο Ἀλέξανδρον. III, 8, 2 κατιδόντες τοὺς ἀμφ' Ἀλέξανδρον ἐπάγοντας ἔφευγον —. Καὶ Ἀλέξανδρος. Nam si de duce sermo in proelio versante, necesse etiam est ut milites cogitentur eum comitantes, si de militibus, fieri non potest quin dux adsit iis praefectus. Inde etiam dici potuit quod habes ut alibi, ita II, 3, 14 ἀπηλλάγη δ' οὖν αὐτός τε καὶ οἱ ἀμφ' αὐτόν. III, 11, 1 Δαρεῖος δὲ καὶ ὁ ξὺν Δαρείῳ στρατὸς — ἔμειναν. Num autem usquam repereris οἱ ἀμφὶ τὸν δοῦλον, οἱ ἀμφὶ τὸν στρατιώτην simil.? Nec tamen nisi in talibus substitui posset simplex nomen sive δοῦλος, sive στρατιώτης cet. Et verum iam ex parte sensit Matthiaeus Gr. Gr. ub. p. 1160 sq., noluit tamen a vulgari grammaticorum sententia ita discedere, ut quidquam veri negaret in ea inesse.

10. ταῦτα ὡς ἐξηγγέλθη] Constructionem paulo perversiorem esse libenter concedo. Sed omnino non potest intelligi quid dicere voluerit Arrianus, nisi mutaveris vulgarem verborum distinctionem. Etenim in edd. vulgaribus ante verba ταῦτα ὡς ἐξ-

μένους ὑπὸ τῶν ἀρχόντων. Ἡράκων δὲ τότε μὲν ἀφείθη 12
τῆς αἰτίας· ὀλίγον δὲ ὕστερον ἐξελεγχθεὶς πρὸς ἀνδρῶν
Σουσίων σεσυληκέναι τὸ ἐν Σούσοις ἱερόν, καὶ οὗτος
ἔδωκε δίκην. Οἱ δὲ ξὺν Στασάνορι καὶ Φραταφέρνῃ 13
πλῆθός τε ὑποζυγίων παρ' Ἀλέξανδρον ἄγοντες ἦλθον
καὶ καμήλους πολλάς, ὡς ἔμαθον ὅτι τὴν ἐπὶ Γαδρωσίων
ἄγει, εἰκάσαντες ὅτι τὰ αὐτὰ ἐκεῖνα πείσεται αὐτῷ ἡ
στρατιὰ ἃ ἤδη ἔπαθε. Καὶ οὖν καὶ ἐν καιρῷ μὲν [καὶ] 14
οὗτοι ἀφίκοντο, ἐν καιρῷ δὲ οἱ κάμηλοί τε καὶ τὰ ὑπο-

ηγγέλθη punctum erat positum. Hoc deleto et commate posito post ἀτάσθαλα hoc dicere voluisse Arrianum facile intelligas: *Ex iis, qui Cleandrum et Sitalcem comitati essent — cum haec essent nunciata, — alios quidem cum Sitalce et Cleandro interfici iussit —.* (12) *Heracon autem tum temporis criminationem subterfugit.* Simile constructionis genus illustravimus ad II, 1, 5. — Infra ed. Basil. τὰ ἴσα.

11. τόσον δὲ ἀλλήλων ἀφεστηκότα] Ed. Bas. τοσόν δέ, ut suspiceris scribendum esse τοσόνδε, praesertim cum similiter dixerit VI, 11, 11 ἐς τοσόνδε Ἀρβήλων ἀπέχον. Quod tamen si restitueris, desideratur particula δέ, quae referatur ad praegressum τοσαῦτα μέν. Nihil autem impediret quominus scriberetur τοσόνδε δ' ἀλλήλων, nisi sciremus Arrianum ab usurpandis Ionicis formis non ubique cavisse (vid. ann. ad IV, 27, 2). Neque omnino hac pronominis forma abstinuisse videtur Xenophon. Legitur enim in eius libro de Vectigall. IV, 32 ὅσῳ περ ἂν πλείους ἐργάζωνται, τόσῳ πλείονα. Cf. Cyrop. I, 6, 26 ὅσῳ ἂν οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι —, τόσῳ ἂν μᾶλλον φυλασσοίμην: ubi tamen nescio an rectius scribatur τοσῷδ' ἂν μᾶλλον, quo ducit nos vetus scriptura τόσῳ δ' ἄν.

12. ἀφείθη τῆς αἰτίας] Cf. Thucyd. I, 69 αἰτία γὰρ φίλων ἀνδρῶν ἐστιν ἁμαρτανόντων, κατηγορία δὲ ἐχθρῶν ἀδικησάντων, ubi vide ann. Goelleri. Vide Arr. III, 27, 3 ἀλλ' Ἀμύντας γε ἀπολογησάμενος καρτερῶς ἀφίεται τῆς αἰτίας.

13. οἱ δὲ ξὺν Στασάνορι] Ed. Basil. οἱ δὲ σὺν Στασάνορι. Non minus recte.

14. [καὶ] οὗτοι ἀφίκοντο] Nolui omnino damnare particulam ante pronomen οὗτοι positam, quam praebent edd. vett. et quattuor codd. Gronovii. Reiecit eam Schmiederus codici F. obsecutus. Cf. ann ad IV, 1, 1.

κατ' ἴλας τε] Haud indignum est memoratu, in toto de Exp.

ζύγια· διένειμε γὰρ ξύμπαντα Ἀλέξανδρος, τοῖς μὲν ἡγεμόσι κατ' ἄνδρα, τοῖς δὲ κατ' ἴλας τε καὶ ἑκατοστύας, τοῖς δὲ κατὰ λόχους, ὅπως τὸ πλῆθος τῶν ὑποζυγίων τε καὶ καμήλων αὐτῷ ξυνέβαινεν.

XXVIII. Ἤδη δέ τινες καὶ τοιάδε ἀνέγραψαν, οὐ πιστὰ ἐμοὶ λέγοντες, ὡς συζεύξας δύο ἁρμαμάξας κατακείμενος ξὺν τοῖς ἑταίροις καὶ καταυλούμενος τὴν διὰ Καρμανίας ἦγεν, ἡ στρατιὰ δὲ αὐτῷ ἐστεφανωμένη τε καὶ παίζουσα εἵπετο· προὔκειτο δὲ αὐτῇ σῖτά τε καὶ ὅσα ἄλλα ἐς τρυφήν, παρὰ τὰς ὁδοὺς συγκεκομισμένα πρὸς
2 τῶν Καρμανίων. Καὶ ταῦτα πρὸς μίμησιν τῆς Διονύσου βακχείας ἀπεικάσθη Ἀλεξάνδρῳ, ὅτι καὶ ὑπὲρ ἐκείνου λόγος ἐλέγετο, καταστρεψάμενον Ἰνδοὺς Διόνυσον οὕτω

Alexandri opere non reperiri nisi formam ἴλη et quae inde deducuntur formae ἰλάρχης et ἰλαρχία. In Tactitis autem, ut c. XX. c. XXI cet. solas reperisse me testor formas εἴλη, εἰλάρχης et εἰλαρχία. Num haec inconstantia scribis, an Arriano ipsi adscribenda? Relego eruditum lectorem ad vv. ll. ad Herod. I, 73. I, 117 et I, 202 enotatas. — Infra pro ξυνέβαινεν ed. Bas. habet ξυνέβαινε.

C. XXVIII. κατακείμενος — καὶ καταυλούμενος] Edd. vett. et omnes codd. Gronovii carent particula καί. Dedimus eam e C. V. Vulcanii. Et Gronovius iam coniecerat pro καταυλούμενος scribendum esse καὶ αὐλούμενος. Non inepte. Facile enim fieri potuisse, ut ante praepositionem κατά particula καί sive male intruderetur, sive omitteretur, demonstratum nobis est in ann. ad IV, 23, 9. IV, 26, 13. VII, 9, 2. De duobus sive pluribus participiis omisso καί compositis vide ann. ad VI, 22, 8. Verbo καταυλεῖν usus est Alciphr. Epp. II, 1, 14 σὺ διὰ νυκτὸς ὅλης αὐτὸν καταυλεῖς. Philostr. Imagg. I, 21, fin. καὶ ὁ αὐλὸς ἐν τῷ πνεῖν, καὶ ἡ πηγὴ ἐν τῷ καταυλεῖσθαι. Illustravit hoc verbum Perizon. ad Ael. vv. hh. IX, 8, fin. καὶ κρούων τύμπανα, καὶ καταυλούμενος δὲ τὸν βίον κατέστρειψεν.

σῖτά τε] Edd. vett. cum duobus codd. Gronovii σῖτός τε. Cod. F. cum duobus reliquis codd. Gronovii et V. C. Vulcanii σῖτά τε. Et recepit hanc nominis formam Schmiederus. Ut mihi probata sit ea, quam frustra alibi quaesivi apud Arrianum, effecit auctoritas Xenophontis et Herodoti, ut qui saepe ea usi sint. Cf. Herodot. IV, 128. V, 34. VII, 21. Xenoph. Anab. II, 3, 27 coll. Krueg. ad Anab. VII, 1, 33. — Supra ed. Bas. πέζουσα pro παίζουσα.

τὴν πολλὴν τῆς Ἀσίας ἐπελθεῖν· καὶ Θρίαμβόν τε αὐ-
τὸν ἐπικληθῆναι τὸν Διόνυσον, καὶ τὰς ἐπὶ ταῖς νίκαις
ταῖς ἐκ πολέμου πομπὰς ἐπὶ τῷ αὐτῷ τούτῳ θριάμβους.
Ταῦτα δὲ οὔτε Πτολεμαῖος ὁ Λάγου, οὔτε Ἀριστόβουλος ὁ 3
Ἀριστοβούλου ἀνέγραψαν, οὐδέ τις ἄλλος ὅντινα ἱκανὸν ἂν
τις ποιήσαιτο τεκμηριῶσαι ὑπὲρ τῶν τοιῶνδε· καί μοι ὡς οὐ
πιστὰ ἀναγεγράφθαι ἐξήρκεσεν· ἀλλ' ἐκεῖνα ἤδη Ἀριστο- 4
βούλῳ ἑπόμενος ξυγγράφω, θῦσαι ἐν Καρμανίᾳ Ἀλέξανδρον
χαριστήρια τῆς κατ' Ἰνδῶν νίκης, καὶ ὑπὲρ τῆς στρατιᾶς,
ὅτι ἀπεσώθη ἐκ Γαδρωσίων, καὶ ἀγῶνα διαθεῖναι μου-
σικόν τε καὶ γυμνικόν· κατατάξαι δὲ καὶ Πευκέσταν ἐς 5
τοὺς σωματοφύλακας, ἤδη μὲν ἐγνωκότα σατράπην κατα-
στῆσαι τῆς Περσίδος, ἐθέλοντα δὲ πρὸ τῆς σατραπείας

2. *πρὸς μίμησιν τῆς Διονύσου βακχείας*] Cf. Plut. Vit. Alex. c. LXVII *πολλὴ δὲ μοῦσα συρίγγων καὶ αὐλῶν ᾠδῆς τε καὶ ψαλμοῦ καὶ βακχείας γυναικῶν κατεῖχε πάντα τόπον. Τῷ δ' ἀτάκτῳ καὶ πεπλανημένῳ τῆς πορείας παρείπετο καὶ παιδιὰ βακχικῆς ὕβρεως, ὡς τοῦ θεοῦ παρόντος αὐτοῦ καὶ συμπαραπέμποντος τὸν κῶμον. Λέγεται δὲ μεθύοντα αὐτὸν θεωρεῖν ἀγῶνας χορῶν.* Rem tetigit Diodorus Sic. XVII, 106 *καὶ Διονύσῳ κῶμον ἤγαγεν, ἑορτάζων καὶ μέθῃ καὶ πότοις χρώμενος κατὰ τὴν ὁδοιπορίαν.* His narrationibus permotus scripsisse fertur Cratinus comicus *Διονυσαλέξανδρον*, de quo consule cl. Meinekii Quaestt. scenn. Spec. I, p. 24.

3. *ὡς οὐ πιστὰ ἀναγεγράφθαι ἐξήρκεσεν*] Vulgo legebatur *ἐξήρκεσαν*. At vide quae de hac grammatica forma diximus in praef. ad tom. I, p. XXI sq. Sic etiam nunc non dubito quin II, 19, 3 scribendum sit *ὅσα — ἐπιβληθέντα ἐπὶ μέγα τὴν φλόγα ἐξάψειν ἔμελλεν* pro vulg. *ἔμελλον*.

4. *ἀλλ' ἐκεῖνα*] Sic Vulcanius primus. *ἀλλὰ ἐκεῖνα* edd. Venet. ac Basileensis.

5. *καταλέξαι δὲ καὶ*] Hanc scripturam tuentur quattuor codd. Gronovii cum edd. vett. Schmiederus codicem F. secutus excudi iussit *κατατάξαι δὲ καί*. Alterutrum pro glossemate habendum est. Utroque enim verbo Arrianum sine ullo discrimine usum videmus, quamquam, si exemplorum numerum reputas, verbo *καταλέξαι* superior locus concedendus est. Vide VII, 6, 6 *κατελέγησαν ἐς αὐτὸ τῶν βαρβάρων*. VII, 11, 5 *ἡ στρατιὰ — ἐς λόχους καταλεγομένη* (pro quo dixit *καταλοχίζειν* VII, 6, 5. VII, 24, 2.). VII, 23, 4 *κατέλεγεν αὐτοὺς ἐς τὰς Μακεδονικὰς τάξεις*, et quod nostro simili-

μηδὲ ταύτης τῆς τιμῆς καὶ πίστεως ἀπείρατον εἶναι ἐπὶ
6 τῷ ἐν Μαλλοῖς ἔργῳ· εἶναι δὲ αὐτῷ ἑπτὰ εἰς τότε σωμα-
τοφύλακας, Λεοννάτον Ἀντέου, Ἡφαιστίωνα τὸν Ἀμύν-
τορος, Λυσίμαχον Ἀγαθοκλέους, Ἀριστόνουν Πεισαίου,
τούτους μὲν Πελλαίους· Περδίκκαν δὲ Ὀρόντου, ἐκ τῆς
Ὀρέστιδος· Πτολεμαῖον δὲ τὸν Λάγου καὶ Πείθωνα Κρα-
τεύα, Ἐορδαίους· ὄγδοον δὲ προσγενέσθαι αὐτοῖς Πευκέ-
7 σταν, τὸν Ἀλέξανδρον ὑπερασπίσαντα. Ἐν τούτῳ δὲ καὶ
Νέαρχος περιπλεύσας τὴν Ὠρῶν τε καὶ Γαδρωσίων γῆν
καὶ τῶν Ἰχθυοφάγων, κατῆρεν ἐς τῆς Καρμανίας τὰ πρὸς

---

mum est II, 12, 2 *ἐς τοὺς σωματοφύλακας κατέλεξε Μένητα.* Contra verbum *κατατάξαι*, hoc loco excepto, bis tantum reperi III, 16, 17 *τοὺς μὲν ἵππους ἐς τὴν ἑταιρικὴν κατέταξεν Ἀλέξανδρος.* IV, 27, 3 *ὡς καταταχθέντες ἐς τὴν ἄλλην στρατιάν.* Diodorus Siculus, quod sciam, ubique dixit *καταλέξαι*, ut XV, 66 *καταλέξας — ἐς τὴν πολιτείαν.* XVII, 80 *εἰς ἓν κατέλεξε σύστημα.* — Infra ed. Bas. *ἐν Μαλοῖς.*

6. *Λεοννάτον Ἀντέου*] Ed. Basil. *Λεόννατον*? vide ann. ad VI, 9, 7. „Photio in Excerptis *τῶν μετὰ Ἀλέξανδρον* vocatur *Λεοννάτος ὁ Ἄντους*, ubi vertunt *Anthaei*, nescio qua auctoritate. Hoc in loco vertunt *Antei* uterque interpres, et sic citat Freinshemius in notis Curtianis V, 1, 41. Quod si *Ἀντέου* verum est, opinarer vertendum *Anteae*, ab *Ἀντέας*. Sed facile persuadear scripsisse *Ἀτέου*. Videtur enim *Ἀτέας* nomen fuisse Macedonicum ex vicino Scythico, quod ipsum nomen in Plutarcho *Ἀντέας* scribitur, ut omnino alterutrum sit verum et interpositum quippe *ν*, ut saepe fit.“ *Gronov.* Non habeo fere quod addam. Hoc tantum moneo, apud Photium p. 69, a, 12 ex codd. quattuor scripsisse Bekkerum *Ἄνθους* pro vulg. *Ἄντους*. An autem qui hoc loco vocatur Leonnati pater, vere sic vocatus fuerit, iure dubitari potest collatis iis quae dicta sunt in ann. ad III, 5, 7.

Ἀριστόνουν Πεισαίου] Cf. Hist. Ind. XVIII, 5 *Ἀριστόνους ὁ Πεισαίου*, ubi tamen Gronovius testatur se in *omnibus omnino codicibus* scriptum vidisse *Ἀριστόνους ὁ Νεισαίου.* — De scriptura nominis *Ὀρόντης* vide ann. ad I, 14, 3.

Πείθωνα Κρατεύα, Ἐορδαίους] Photus l. l. *Πίθων ὁ Κρατεύα* ex emendatione Bekkeri, cum vulgo legebatur *Πίθων ὁ τοῦ Κρατέα.* De formis *Πείθων, Πίθων* et *Πύθων* diximus in ann. ad VI, 7, 4. Genitivum *Κρατεύα*, quem Arriano donavi pro vulgato *Κρατεᾶ* (sic), quod inauditum mihi videbatur, reperi apud Galen. de Med.

θάλασσαν ᾠκισμένα· ἔνθεν δὲ ἀνελθὼν σὺν ὀλίγοις Ἀλεξ- 8
άνδρῳ ἀπήγγειλε τὰ ἀμφὶ τὸν περίπλουν τὸν γενόμενον
αὐτῷ κατὰ τὴν ἔξω θάλασσαν. Τοῦτον μὲν δὴ καταπέμ- 9
πει αὖθις ἐκπεριπλεύσοντα ἔστ' ἐπὶ τὴν Σουσιανῶν τε
γῆν καὶ τοῦ Τίγρητος ποταμοῦ τὰς ἐκβολάς· ὅπως δὲ 10
ἐπλεύσθη αὐτῷ τὰ ἀπὸ τοῦ Ἰνδοῦ ποταμοῦ ἐπὶ τὴν θά-
λασσαν τὴν Περσικὴν καὶ τὸ στόμα τοῦ Τίγρητος, ταῦτα
ἰδίᾳ ἀναγράψω, αὐτῷ Νεάρχῳ ἑπόμενος, ὡς καὶ τήνδε
εἶναι ὑπὲρ Ἀλεξάνδρου Ἑλληνικὴν ξυγγραφήν. Ταῦτα μὲν 11
δὴ ἐν ὑστέρῳ ἔσται τυχόν, εἰς ὅτε θυμός τέ με καὶ ὁ

Simpl. VI, 144, E. — Pro Ἐορδαίους in ed. Basil. vidi Ἐορδέους Cf. ann. ad I, 7, 6. Hist. Ind. XVIII, 5 Stephau. Byzant. s. v. Ἐορδαῖαι.

7. τὸν Ἀλεξάνδρου ὑπερασπίσαντα] Cum genitivo constructum verbum ὑπερασπίσαι h. l. exhibuerunt cod. F. et duo alii codd. Gronovii. In reliquis codd. et in edd. vett. legitur τὸν Ἀλεξάνδρῳ ὑπερασπίσαντα, quod servavit Schmiederus, fortasse, ut infelicem suam commendaret coniecturam: τὸν Ἀλεξάνδρου (sc. υἱόν) τὸν Ἀλεξάνδρῳ ὑπερασπίσαντα (!). Genitivum ab hoc verbo pendentem nemo sollicitavit VI, 11, 14 καὶ ὑπερασπίσαι κειμένου. Et huc pertinet Suidae glossa ὑπερασπίζω· γενικῇ. Unde non dubitavi VI, 11, 12 pro vulgato ὑπὲρ τῶν ὑπερασπισάντων ἐν τῷ κινδύνῳ Ἀλεξάνδρῳ scribere Ἀλεξάνδρου. Dativus enim librario facile poterat subrepere propter praecedentes dativos τῷ κινδύνῳ. Cum accusativo illud verbum construi contendit Grammaticus Bekkeri Anecdd. p. 178, 25: ὑπερασπίζειν· αἰτιατικῇ· Ἀῤῥιανὸς· καὶ ἐπὶ τούτῳ Λεονᾶτος ὁ ὑπερασπίσας Ἀλέξανδρον. Et constructum sane reperitur cum accusativo, at non in Expeditione ad quam respexisse puto grammaticum illum (vd. VI, 10, 1, 4. VII, 5, 8), sed in Indicis, ut XIV, 4 ὑπερήσπισαν κειμένους. XIX, 8 ὑπερήσπισαν αὐτὸν πεσόντα. Eadem constructione usus dixit Dionys. Halic. Antiqq. VII, 26 τὸν Μάρκιον ὑπερασπιοῦντες, et Diod. Sic. XVII, 99 ὑπερήσπισε τὸν βασιλέα.

8. ἀνελθών] *Inde cum paucis ad Alexandrum profectus. Vulc.* Recte. De hac huius verbi significatione iam monuit Locella ad Xenoph. Ephes. p. 272 sq. Cf. Arr. Hist. Ind. XXXIII, 4 ἐς τὸ πρόσω ἀνῆλθον.

9. ἔστ' ἐπὶ τὴν — γῆν] Ed. Basil. ἔστε ἐπί. Fortasse rectius. Vide ann. ad V, 6, 4 et V, 28, 5. — Infra pro αὐτῷ Νεάρχῳ ed. Basil. Αὐτονεάρχῳ.

11. εἰς ὅτε θυμός τε — ἄγῃ ταύτῃ] Ed. Basil. εἰς ὅτε — ἄγει.

12 *δαίμων ἄγῃ ταύτῃ. Ἀλέξανδρος δὲ Ἡφαιστίωνα μὲν σύν τε τῇ πλείστῃ μοίρᾳ τῆς στρατιᾶς καὶ τοῖς ὑποζυγίοις καὶ τοὺς ἐλέφαντας ἅμα οἷ ἔχοντα τὴν παρὰ θάλασσαν ἀπὸ τῆς Καρμανίας ὡς ἐπὶ τὴν Περσίδα ἄγειν ἐκέλευσεν, ὅτι χειμῶνος ὥρᾳ γιγνομένου αὐτῷ τοῦ στόλου τὰ πρὸς τῇ θαλάσσῃ Περσίδος ἀλεεινά τε ἦν καὶ τῶν ἐπιτηδείων ἀφθόνως ἔχοντα.*

XXIX. *Αὐτὸς δὲ ξὺν τοῖς κουφοτάτοις τῶν πεζῶν καὶ ξὺν τοῖς ἑταίροις τῶν ἱππέων καὶ μέρει τινὶ τῶν τοξοτῶν ᾔει τὴν ἐπὶ Πασαργάδας τῆς Περσίδος· Στασάνορα*
2 *δὲ καταπέμπει ἐπὶ τὴν ἀρχὴν τὴν ἑαυτοῦ. Ὡς δὲ ἐπὶ τοῖς ὅροις ἦν τῆς Περσίδος, Φρασαόρτην μὲν οὐ κατέλαβε σατραπεύοντα ἔτι (νόσῳ γὰρ τετελευτηκὼς ἐτύγχανεν, ἐν*
3 *Ἰνδοῖς ἔτι Ἀλεξάνδρου ὄντος)· Ὀρξίνης δὲ ἐπεμέλετο τῆς*

Vulcanius primus *εἰσότε — ἄγῃ*. Coniunctivum in hac verborum coniunctione necessarium esse vides, non video quomodo construatur coniunctivus cum particula *εἰς ὅτε*, nisi statuas talem constructionem non plus habere offensionis, quam quod saepe reperitur *πρίν* cum coni. constructum. Fortasse scribendum *εἰσόκε*. Totum enim locum Homerici esse coloris quis est quin videat? Cf. Hom. Odyss. IX, 302 *ἕτερός με — θυμὸς ἔρυκε*. Forma *εἰς ὅτε* in edd. vulgg. et codd. fere omnibus legitur Xenoph. Cyrop. V, 1, 24, ubi tamen hodie expressum est *ἕως ὅτε — ἡμᾶς ἀπέστρειψεν*. Ceterum vide Lobeck. ad Phrynich. p. 46.

12. *ἅμα οἷ ἔχοντα*] Edd. omnes *ἅμά οἱ*. — Mox ed. Basil. *παραθάλασσαν*.

ἀλεεινά τε ἦν] Sic cod. F. cum uno alio. *ἐλεεινά τε ἦν* edd. vett. et reliqui codd. Gronovii. „Ipsa Graeca voce sic utitur Strabo lib. III, p. 150 de Hispania: *χώρας ἑσπερίου καὶ ἀλεεινῆς οὔσης*. Unde et Aristotelis nomine liber de Mundo p. 41 *ἀὴρ λαμπρότερος γίγνεται καὶ ἀλεεινός*, et Heliodorus in principio agnoscit *εὐωχίας ἀλεεινὰ λείψανα*. Ita quoque calidae erant iliae partes, non quod mari vicinae essent, sed primo, quod longius a Tauro et reliqua montana plaga et hinc frigidiore ac magis ventosa abessent; deinde quod propiores meridiem cui erant expositae, infestarentur ab ardentibus notis, ut ipsum notum fatentem inducit Lucianus in dialogo inter Zephyrum et Notum, quem illustrat quoque Diodorus Siculus III, 48.“ *Gronov.* Adiectivum *ἀλεεινός*

Περσίδος, οὐ πρὸς Ἀλεξάνδρου κατασταθείς, ἀλλ' ὅτι οὐκ ἀπηξίωσεν αὐτὸν ἐν κόσμῳ Πέρσας διαφυλάξαι Ἀλεξάνδρῳ, οὐκ ὄντος ἄλλου ἄρχοντος. Ἦλθε δὲ ἐς 4
Πασαργάδας καὶ Ἀτροπάτης ὁ Μηδίας σατράπης, ἄγων Βαρυάξην ἄνδρα Μῆδον συνειλημμένον, ὅτι ὀρθὴν τὴν κίδαριν περιθέμενος βασιλέα προσεῖπεν αὐτὸν Περσῶν τε καὶ Μήδων, καὶ ξὺν τούτῳ τοὺς μετασχόντας αὐτῷ τοῦ νεωτερισμοῦ τε καὶ τῆς ἀποστάσεως. Τού- 5
τους μὲν δὴ ἀπέκτεινεν Ἀλέξανδρος· ἐλύπησε δὲ αὐτὸν ἡ παρανομία ἡ ἐς τὸν Κύρου τοῦ Καμβύσου τάφον, ὅτι διορωρυγμένον τε καὶ σεσυλημένον κατέλαβε τοῦ Κύρου τὸν τάφον, ὡς λέγει Ἀριστόβουλος· εἶναι γὰρ ἐν 6
Πασαργάδαις ἐν τῷ παραδείσῳ τῷ βασιλικῷ Κύρου ἐκείνου τάφον· καὶ περὶ αὐτὸν ἄλσος πεφυτεῦσθαι δένδρων

---

iam Pollux (V, 108) notavit ut epitheton regionis. Cf. Xenoph. Cyrop. VIII, 6, 22 *αὕτη γὰρ ἀλεεινὴ ἡ χώρα.* De *cubili* dixit Arrianus Cyneget. c. IX *οὐδὲν δὲ οἷον εὐνὴ μαλθακὴ καὶ ἀλεεινή.*

C. XXIX. 3. *ὅτι οὐκ ἀπηξίωσεν αὐτόν*] Ed. Vulc. et Blanc. *αὐτός.* „Haec gratia linguae Graecae si non ab Vulcanio, certe per editionem eius incepta propagatur sic sordidissime, et propagabitur, nisi nunc testemur ed. Basil. et Mss. Florr. omnes, etiam Optimum legere *αὐτόν.* An non plane eodem modo I, 12, 7 *οὐκ ἀπαξιώσας ἐμαυτὸν φανερὰ καταστῆσαι τὰ Ἀλεξάνδρου ἔργα* —?" *Gronov.* Recte. Sed pro *αὐτόν* scriptum oportebat *αὑτόν*, quod reposui. De usu et significatione verbi *ἀπαξιῶσαι* diximus ad I, 17, 10.

4. *Ἀτροπάτης ὁ Μηδίας σατράπης*] Ed. Basil. *Ἀτροβάτης ὁ Μηδείας σατράπης.* De qua scripturae discrepantia egimus in ann. ad III, 8, 7 et VII, 13, 4.

Βαρυάξην] „De quo quid suspicetur Freinshemius, videre licet in Curtianis IX, 10, 19." *Gronov.*

βασιλέα προσεῖπεν αὐτόν] De verbo *προσειπεῖν* cum significatione *appellandi*, *vocandi* dixit Locella ad Xenoph. Ephes. p. 157 et monuit nuperrime quoque Bernhard. ad Dionys. Perieg. p. 929.

6. *ἄλσος πεφυτεῦσθαι*] Non damnaverim quod exhibent edd. vett. et duo codd. Gronovii *ἐμπεφυτεῦσθαι.* Potior tamen mihi visa est quae commendatur scriptura a cod. F. et reliquis codd. Florr. Utrumque verbum alibi apud Arrianum frustra quaesivi.

παντοίων, καὶ ὕδατι εἶναι κατάῤῥυτον, καὶ πόαν βαθεῖαν
7 πεφυκέναι ἐν τῷ λειμῶνι· καὶ αὐτὸν δὲ τὸν τάφον τὰ
κάτω λίθου τετραπέδου ἐς τετράγωνον σχῆμα πεποιῆσθαι·
ἄνωθεν δὲ οἴκημα ἐπεῖναι λίθινον ἐστεγασμένον, θυρίδα
ἔχον φέρουσαν ἔσω στενήν, ὡς μόλις ἂν ἑνὶ ἀνδρὶ οὐ με-
8 γάλῳ πολλὰ κακοπαθοῦντι παρελθεῖν· ἐν δὲ τῷ οἰκήματι
πύελον χρυσῆν κεῖσθαι, ἵνα τὸ σῶμα τοῦ Κύρου ἐτέθαπτο,
καὶ κλίνην παρὰ τῇ πυέλῳ· πόδας δὲ εἶναι τῇ κλίνῃ χρυ-
σοῦς σφυρηλάτους, καὶ τάπητα ἐπιβλημάτων Βαβυλωνίων,

---

7. *λίθου τετραπέδου — πεποιῆσθαι*] Haec est scriptura quattuor codd. quos contulit Gronovius. Et huc tendit quoque ed. Basileensis, in qua expressum *λίθει τετραπέου* (sic). Vulcanius scripsit *λίθῳ τετραπέδῳ*. In cod. F. reperit Gronovius *λίθου τετραπόδου*: quod probatum est Schmiedero, vereor ut recte. Gronovius, ut scripturam a cod. F. commendatam defenderet, ad h. l. adscripsit haec: „Quum enim ita scripturam hanc describant, ut sepulchrum ab ima parte saxo quadrato sit structum, tanquam ipsi terrae immunito fundamento, ex restitutione Optimi libri discimus nihil tale fuisse, sed ipsum hoc sepulchrum in ima parte constitisse ex lapide quem quattuor pedes sustinerent, sane ad quadratam formam. Huic uni lapidi omnis videtur fabrica institisse, ut ipse torus insistebat similiter pedibus aureis.“ Quae quamvis satis ingeniose disputata tamen non potuerunt me inducere ad credendum, *λίθον τετράποδον* bene dici posse de lapide quattuor pedibus instructo (iam enim forma *τετράποδος* rarissime reperitur dicta pro *τετράπους*, ut apud Polyb. I, 29, si vera est lectio); et, si hoc credam, quis est qui ex Arriani verbis eruat, singulo cuidam lapidi, quem quattuor sustinebant pedes, totum sepulchrum fuisse impositum? Vulgatam scripturam si tuearis, satis apertum est quod dixit Arrianus: *sepulchrum ipsum ab inferiore parte lapide quadrato exstructum quadrangularem habuisse formam.* Neque aliter intellexit hunc locum C. O. Muell. in libro inscripto: Handb. der Archaeol. d. Kunst, p. 270. Formas *ἑξαπέδου* et *ἑξαπόδου* confusas vide apud Herod. II, 149. *Λίθοι τετράπεδοι* memorantur Diod. Sic. XX, 95 *κατέβαλε τὸν στερεώτατον τῶν πύργων, ᾠκοδομημένον ἐκ λίθων τετραπέδων.* — Vocabulum quod est *οἴκημα* illustrarunt Valck. ad Amm. p. 176. ad Herodot. II, 5. Iacobs ad Achill. Tat. p. 956.

θυρίδα ἔχον φέρουσαν ἔσω στενήν] Cod. F. *φέρουσαν ἐς στενόν.* Quod vel Schmiederus non ausus est recipere. Vulgatam firmis-

καὶ καυνάκας πορφυροῦς ὑποστρώματα· ἐπεῖναι δὲ καὶ
κάνδυς καὶ ἄλλους χιτῶνας τῆς Βαβυλωνίου ἐργασίας·
καὶ ἀναξυρίδες Μηδικαὶ καὶ στολαὶ ὑακινθινοβαφεῖς [λέγει] 9
ὅτι ἔκειντο, αἱ μὲν πορφύρας, αἱ δὲ ἄλλης χρόας, καὶ
στρεπτοὶ καὶ ἀκινάκαι καὶ ἐνώτια χρυσοῦ τε καὶ λίθων
κολλητά· καὶ τράπεζα ἔκειτο. Ἐν μέσῳ δὲ τῆς κλίνης ἡ 10
πύελος ἔκειτο ἡ τὸ σῶμα τοῦ Κύρου ἔχουσα· εἶναι δὲ
ἐντὸς τοῦ περιβόλου πρὸς τῇ ἀναβάσει τῇ ἐπὶ τὸν τάφον
φερούσῃ οἴκημα σμικρὸν τοῖς Μάγοις πεποιημένον, οἳ δὴ

---

simam reddunt verba Strabonis l. XV. p. 321, ed. ster. *ἐνταῦθα δὲ καὶ τὸν Κύρου τάφον εἶδεν ἐν παραδείσῳ, πύργον οὐ μέγαν, τῷ δάσει τῶν δένδρων ἐναποκεκρυμμένον, κάτω μὲν στερεόν, ἄνω δὲ στέγην ἔχοντα καὶ σηκόν, στενὴν τελέως ἔχοντα τὴν εἴσοδον*: cum Strabo ex eodem quo Arrianus fonte hauserit, ex historia Aristobuli. Nec, si omnes codd. faverent scripturae codicis F., vulgata mutari posset. Nam sepulchrum ipsum tam angustum fuisse, ut vix unus aliquis progredi potuerit, quis erit qui credat?

8. *ἐτέθαπτο*] Sic edd. vett. cum quattuor codd. Gronovii. *ἔθαπτο* Schmiederus e cod. F. Id quod sane mirandum! Similiter peccarunt editores veteres cum uno cod. Flor. III, 12, 1 *ἐκόσμητο* exhibentes pro *ἐκεκόσμητο* s. *κεκόσμητο*.

Καὶ καυνάκας — ὑποστρώματα] Sive Vulcanius sive Stephanus dedit *καὶ καυνάκας — ὑποστρώννυσθαι*. Sed *ὑποστρώματα* non solum servarunt edd. Venet. et Basil., ut testatur Schmiederus, verum etiam omnes codices quos inspexit Gronovius. Ex V. C. Vulcanius in margine videtur adscripsisse lectionem *ὑποστρωμάτων*. „Itaque intelligendum tapetem Babylonico opere variegatum et caunacas purpureas lecto pro culcita fuisse. Etenim recte procedit oratio *καυνάκας πορφυροῦς εἶναι τῇ κλίνῃ ὑποστρώματα.*" *Gronov.*

τῆς Βαβυλωνίου ἐργασίας] De duplici forma feminini *Βαβυλώνιος* et *Βαβυλωνία* monuit iam Locella ad Xenoph. Ephes. p. 194, qui meminit quoque huius loci. Similia adiectiva indicavimus in ann. ad IV, 28, 12 et VI, 1, 1. Contra adiectivum *ἐγκάρσιος*, quod Schneiderus in Lexico s. v. ut commune tantum memorat, apud Arrianum ubique trium est generum, ut II, 1, 8 *τριακόντοροι ἐγκάρσιαι*. V, 7, 10 *σανίδες ἐγκάρσιαι*. V, 24, 1 *ὡς πλείστας κατέστησεν ἐγκαρσίας*.

9. [*λέγει*] *ὅτι ἔκειντο*] Quid est quod edd. et quattuor codd. Gronovii habeant verbum prius, a cod. F. neglectum indeque a

ἐφύλασσον τὸν Κύρου τάφον ἔτι ἀπὸ Καμβύσου τοῦ Κύ-
11 *ρου, παῖς παρὰ πατρὸς ἐκδεχόμενοι τὴν φυλακήν. Καὶ τούτοις πρόβατόν τε ἐς ἡμέραν ἐδίδοτο ἐκ βασιλέως, καὶ ἀλεύρων τε καὶ οἴνου τεταγμένα καὶ ἵππος κατὰ μῆνα*
12 *ἐς θυσίαν τῷ Κύρῳ. Ἐπεγέγραπτο δὲ ὁ τάφος Περσικοῖς γράμμασι. Ἐδήλου δὲ Περσιστὶ τάδε, Ω ΑΝΘΡΩΠΕ, ΕΓΩ ΚΥΡΟΣ ΕΙΜΙ Ο ΚΑΜΒΥΣΟΥ, Ο ΤΗΝ ΑΡΧΗΝ ΠΕΡΣΑΙΣ ΚΑΤΑΣΤΗΣΑΜΕΝΟΣ ΚΑΙ ΤΗΣ ΑΣΙΑΣ ΒΑΣΙΛΕΥΣΑΣ. ΜΗ ΟΥΝ ΦΘΟΝΗΣΗΣ ΜΟΙ ΤΟΥ*
13 *ΜΝΗΜΑΤΟΣ. Ἀλέξανδρος δὲ (ἐπιμελὲς γὰρ ἦν αὐτῷ, ὁπότε ἕλοι Πέρσας, παριέναι ἐς τοῦ Κύρου τὸν τάφον) τὰ μὲν ἄλλα καταλαμβάνει ἐκπεφορημένα, πλὴν τῆς πυέ-*

Schmiedero improbatum? Num est pro glossemate habendum? Equidem non ausus quod bene defendi potest statim exterminare, quia cod. F. non habeat, uncis iussi includi. Similis orationis color in his inest l. VII, 3, 4 *οἱ δὲ — καὶ βασιλικὴν ἐσθῆτα λέγουσιν ὅτι ἔφερον.* De constructione variata diximus ad IV, 8, 5.

αἱ μὲν πορφύρας] Sic dedi pro vulgato *αἱ δὲ πορφύρας*, nescio an rectius. cf. VI, 26, 4. Num forte Arrianus scripsit *αἱ μὲν πορφυραῖ —*? Sed nolo quidquam mutatum.

11. *καὶ ἀλεύρων*] Sic edd. vett. et quattuor codd. Gronovii. *ἀλεύρου* Schmiederus e cod. F. Parum consulte, puto. Vide mihi Herodot. VII, 119 *ἄλευρα καὶ ἄλφιτα.* Propius etiam accedit Xenophon Anab. I, 10, 18 *τὰς ἁμάξας μεστὰς ἀλεύρων καὶ οἴνου.* III, 4, 31 *ἐπιτήδεια πολλὰ εἶχον, ἄλευρα, οἶνον, κριθάς.*

12. *ἐπεγέγραπτο — γράμμασι*] Paulo aliter orationem adornavit II, 5, 4 *καὶ ἐπίγραμμα ἐπεγέγραπτο αὐτῷ, Ἀσσύρια γράμματα.* Praeterea cf. Luciani vv. hh. I, 7 *στήλην χαλκοῦ πεποιημένην, Ἑλληνικοῖς γράμμασιν ἐπιγεγραμμένην —, λέγουσαν.*

ἐδήλου δέ] Edd. vett. *καὶ ἐδήλου.* Quod dedimus Schmiederum secuti, exhibent, ut videtur, omnes codd. Gronovii. Utraque scriptura habet quo se tueatur. Vide ann. ad V, 4, 5.

Ο — ΚΑΤΑΣΤΗΣΑΜΕΝΟΣ] Strabo, qui l. XV, 3, p. 321, ed. ster. ex eodem Aristobulo hoc epigramma attulit, habet *κτησάμενος*, quod non minus placet. Conferri quoque potest Plutarchus, qui vit. Alex. c. LXIX sepulchri titulum ita exhibet: *ὦ ἄνθρωπε, ὅστις εἶ καὶ ὅθεν ἥκεις, ὅτι μὲν γὰρ ἥξεις, οἶδα· ἐγὼ Κῦρος εἰμὶ ὁ Πέρσαις κτησάμενος τὴν ἀρχήν. Μὴ οὖν τῆς ὀλίγης ταύτης γῆς φθονήσῃς, ἣ τοὐμὸν σῶμα περικαλύπτει.* Adde Eustath. ad.

λου καὶ τῆς κλίνης· οἱ δὲ καὶ τὸ σῶμα τοῦ Κύρου ἐλω- 14
βήσαντο, ἀφελόντες τὸ πῶμα τῆς πυέλου, καὶ τὸν νεκρὸν ἐξέβαλον· αὐτὴν δὲ τὴν πύελον ἐπειρῶντο εὔογκον σφίσι ποιήσασθαι καὶ ταύτῃ εὔφορον, τὰ μὲν παρακόπτοντες, τὰ δὲ ξυνθλῶντες αὐτῆς· ὡς δὲ οὐ προὐχώρει αὐτοῖς
τοῦτο τὸ ἔργον, οὕτω δὴ ἐάσαντες τὴν πύελον ἀπῆλθον. 15
Καὶ λέγει Ἀριστόβουλος αὐτὸς ταχθῆναι παρ' Ἀλεξάνδρου κοσμῆσαι ἐξ ὑπαρχῆς τῷ Κύρῳ τὸν τάφον· καὶ τοῦ μὲν σώματος ὅσαπερ ἔτι σῶα ἦν, καταθεῖναι ἐς τὴν πύελον, καὶ τὸ πῶμα ἐπιθεῖναι· ὅσα δὲ λελώβητο αὐτῆς,
κατορθῶσαι· καὶ τὴν κλίνην ἐντεῖναι ταινίαις, καὶ τἄλλα 16
ὅσα ἐς κόσμον ἔκειτο, κατ' ἀριθμόν τε καὶ τοῖς πάλαι

Dionys. Perieg. v. 1069 ὦ ἄνθρωπε, ἐγὼ Κῦρος εἰμί, ὁ τὴν ἀρχὴν τοῖς Πέρσαις κτησάμενος καὶ τῆς Ἀσίας βασιλεύσας· μὴ οὖν φθονήσῃς μοι τοῦ μνήματος. Paulo infra pro Arrianeo βασιλεύσας apud Strabonem legitur βασιλεύς, minus concinne.

ΜΗ ΟΥΝ ΦΘΟΝΗΣΗΣ] Edd. vett. *ΦΘΟΝΕΙ*. „In omnibus Msstis inveni ut et Vulcanius in Augustano φθονήσῃς, prout habet quoque Plutarchus et Eustathius ad Dionysii Perieg. Et videntur eruditiores id tempus in ore et usu habere maluisse.“ *Gronov.* Φθονήσῃς habet quoque Strabo l. l.

14. ἐξέβαλον] Aoristum, qui solus recte habere mihi videtur, de meo dedi pro vulgato ἐξέβαλλον. Cf. I, 23, 3. VI, 6, 7. Ceterum in cod. F. vidit Gronovius ἔξω ἔβαλλον. Quae scriptura satis inepta est.

τὰ δὲ ξυνθλῶντες αὐτῆς] „Liber Optimus notanda varietate τὰ ἔξω καὶ θλῶντες αὐτῆς.“ *Gronov.* Sane notanda est haec scripturae varietas, sed propterea tantum, quod ea nihil potest perversius excogitari. Schmiederus vulgatam servavit.

15. ταχθῆναι παρ' Ἀλεξάνδρου] Sic cod. F. cum duobus aliis codd. Gronovii. Unde recepit Schmiederus. πρὸς Ἀλεξάνδρου edd. vett. cum duobus rell. codd. Gronovii. Quod hoc loco altera scriptura inferius duxerim. Noli cum his conferre quae dicta sunt ad II, 2, 5. V, 14, 8. Vide ann. ad III, 11, 2 et V, 12, 7.

ἐξ ὑπαρχῆς] Commendant hanc scripturam iidem codices Gronovii tres. ἐξ ἀπαρχῆς cett. codd. cum edd. vett. Minus apte. Formulam quae est ἐξ ὑπαρχῆς docte illustravit Wyttenb. ad Plut. Opp. Morall. p. 40, E. t. I. p. 260, ed. Lips.

16. κατ' ἀριθμόν τε καὶ τοῖς —] Particulam καὶ Arriano redo-

ὅμοια ἀποθεῖναι, καὶ τὴν θυρίδα δὲ ἀφανίσαι, τὰ μὲν
αὐτῆς λίθῳ ἐνοικοδομήσαντα, τὰ δὲ πηλῷ ἐμπλάσαντα·
17 καὶ ἐπιβαλεῖν τῷ πηλῷ τὸ σημεῖον τὸ βασιλικόν. Ἀλέξ-
ανδρος δὲ ξυλλαβὼν τοὺς Μάγους τοὺς φύλακας τοῦ
τάφου ἐστρέβλωσεν, ὡς κατειπεῖν τοὺς δράσαντας· οἱ δὲ
οὐδὲν οὔτε σφῶν οὔτε ἄλλου κατεῖπον στρεβλούμενοι,
οὐδὲ ἄλλῃ πῃ ξυνηλέγχοντο ξυνειδότες τῷ ἔργῳ· καὶ ἐπὶ
τῷδε ἀφείθησαν ἐξ Ἀλεξάνδρου.

XXX Ἔνθεν δὲ ἐς τὰ βασίλεια ᾔει τῶν Περσῶν, ἃ
δὴ πρόσθεν κατέφλεξεν αὐτός, ὥς μοι λέλεκται ὅτε οὐκ
ἐπῄνουν αὐτὸ ἔργον· ἀλλ' οὐδ' Ἀλέξανδρος ἐπανελθὼν
2 ἐπῄνει. Καὶ μὲν δὴ καὶ κατὰ Ὀρξίνου πολλοὶ λόγοι ἐλέ-
χθησαν πρὸς Περσῶν, ὃς ἦρξε Περσῶν ἐπειδὴ Φρασαόρτης
ἐτελεύτησε· καὶ ἐξηλέγχθη Ὀρξίνης ἱερά τε ὅτι σεσύληκε

---

narunt omnes quos consuluit Gronovius codices. Omissa est in edd. vett. Non inepte Gronovius: *et alia quae ornatum facerent, tanto etiam numero et pretio ac fuerant, reponeret.*

17. *οἱ δὲ οὐδὲν οὔτε σφῶν*] Ed. Basil. *οἱ δὲ σφῶν οὔτε, οὔτε.* Edd. Vulc. et Blancard. *οἱ δὲ οὔτε σφῶν, οὔτε.* Quod dedimus, firmant omnes codd. Gronovii. Similiter peccatum vide VI, 15, 10. De usu et constructione verbi *κατειπεῖν* vide ann. ad IV, 13, 13.

C. XXX. *ὅτε οὐκ ἐπῄνουν*] Ed. Basil. *ὅτι οὐκ ἐπῄνει.* Edd. Vulc. Blanc. Gron. Raph. Schmied. *ὅτι οὐκ ἐπῄνουν.* „Multi ex antiquis libris habent *ὅτε.* Quod cum in V. C. deprehenderet quoque Vulcanius, ita correxit versionem: *concremarat, ut a me dictum est quando et factum improbavi.*" *Gronov.* Easdem particulas confusas vide III, 3, 1. Rem tetigit Arrianus III, 18, 17 sq.

4. *ἐς τρόπον τὸν Περσικόν*] Edd. vett. *τὰ ἐς τρόπον.* „Illud *τά* est prorsus supervacuum, nec a me in ullo scripto inventum; prout etiam Vulcanius notavit in V. C. deesse. Itaque securus delevi." *Gronov.*

5. *ὡς τὰ παρὰ σφίσι πρεσβεύοντι*] Verbum *πρεσβεύειν* hoc loco significat *praeferre, potius habere*, ut IV, 8, 10 *πρεσβεύειν μὲν τὰ τοῦ Φιλίππου, καταβάλλειν δὲ τὸν Ἀλέξανδρον.* Simile quoque est quod dixit VII, 11, 14 *ὅσοι κατ' ἀξίωσιν ἤ τινα ἄλλην ἀρετὴν πρεσβευόμενοι.* Pro quo scripsit VII, 6, 5 *ὅσοι κατ' ἀξίωσιν ἢ τῇ*

καὶ τάφους βασιλικούς, καὶ Περσῶν πολλοὺς ὅτι οὐ ξὺν
δίκῃ ἀπέκτεινε· τοῦτον μὲν δὴ οἷς ἐτάχθη ὑπὸ Ἀλεξάνδρου
ἐκρέμασαν. Σατράπην δὲ Πέρσαις ἔταξε Πευκέσταν τὸν 3
σωματοφύλακα, πιστόν τέ οἱ ἐς τὰ μάλιστα τιθέμενος,
τά τε ἄλλα καὶ ἐπὶ τῷ ἐν Μαλλοῖς ἔργῳ, ἵνα προεκινδύ-
νευσέ τε καὶ συνεξέσωσεν Ἀλέξανδρον, καὶ ἄλλως τῷ βαρ-
βαρικῷ τρόπῳ τῆς διαιτης οὐκ ἀξύμφορον· ἐδήλωσε δὲ 4
ἐσθῆτά τε εὐθὺς ὡς κατεστάθη σατραπεύειν Περσῶν, μόνος
τῶν ἄλλων Μεκεδόνων μεταβαλὼν τὴν Μηδικήν, καὶ φωνὴν
τὴν Περσικὴν ἐκμαθὼν καὶ τἄλλα ξύμπαντα ἐς τρόπον
τὸν Περσικὸν κατασκευασάμενος. Ἐφ᾽ οἷς Ἀλέξανδρός
γε ἐπῄνει αὐτὸν καὶ οἱ Πέρσαι ὡς τὰ παρὰ σφίσι πρὸ 5
τῶν πατρίων πρεσβεύοντι ἔχαιρον.

ἄλλῃ ἀρετῇ ὑπερφέροντες ἦσαν. **De loco Arriani in Epict. IV, 8** *τὴν τοῦ τέκτονος πρόληψιν πρεσβεύομεν* **in Lexico s. v. egit Schneiderus.**

ΑΡΡΙΑΝΟΥ
ΑΝΑΒΑΣΕΩΣ ΑΛΕΞΑΝΔΡΟΥ
ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

Ὡς δὲ ἐς Πασαργάδας τε καὶ ἐς Περσέπολιν ἀφίκετο Ἀλέξανδρος, πόθος καταλαμβάνει αὐτὸν καταπλεῦσαι κατὰ τὸν Εὐφράτην τε καὶ κατὰ τὸν Τίγρητα ἐπὶ τὴν θάλασσαν τὴν Περσικήν, καὶ τῶν τε ποταμῶν ἰδεῖν τὰς ἐκβολὰς τὰς

C. I. 2. *τήν τε Ἀραβίαν τὴν πολλὴν*] Recte animadvertit Schmiederus, verba *τὴν Ἀραβίαν τὴν πολλήν* opposita quasi habere, quae facile possunt cogitando addi, verba *μοῖρά τις τῆς Ἀραβίας:* parvam enim Arabiae partem iam tum subegisse Alexandrum, quum Tyrum oppugnabat. Conferri iubet I, 3, 2 *ἐπὶ δὲ Σαυρομα-τῶν μοῖραν· ἐπὶ δὲ Σαυρομάτας τοὺς πολλούς.* Adde, si placet, VII, 19, 11 *ἦν δὲ αὐτῷ τοῦ ναυτικοῦ ἡ παρασκευὴ ὡς ἐπὶ Ἄραβας τοὺς πολλούς.*

τῆς Ἀσίας πάσης] „Vox postrema abest ab Optimo codice, quod mireris, solo; quae sicut omitti poterat, ita si rite perpendas, dubites an non potius deleri debeat vox *Ἀσίας.* Non enim sic *Ἀσίας* dominus futurus erat, sed *πάσης*, nempe *οἰκουμένης.* Et certe sic in Indicis (c. III, 6) satis speciose viri docti suspectam fecerunt eandem vocem.“ *Gronov.* Unde Schmiederus: „Si lectio sana, inquit, Africam Arrianus Asiae annumeraret, duas tantum, non tres ponens magnas orbis continentes, id quod esset contra auctoritatem omnium geographorum et contradiceret sibi ipse. cf. III, 30, 15. Ego vocem suspectam uncis inclusi, quam librarius ex sequentibus adscribendam crediderit.“ Quod scripsit Arrianus, ambiguum sane est. An autem bene dici possit *τῆς πάσης*, pro *τῆς οἰκουμένης πάσης*, iure dubites. cf. ann. ad V, 26, 2. Ac statuamus, Arrianum sic potuisse scribere: quomodo Alexander recte vocetur rex *universae terrae cultae*, cum statim addatur, eum, Asia et Africa subacta, voluisse quoque in Europam transgredi, ut eius septentrionalem partem atque occidentalem in potestatem suam redigeret?

ἐς τὸν πόντον καθάπερ τοῦ Ἰνδοῦ, καὶ τὴν ταύτῃ θάλασσαν. Οἱ δὲ καὶ τάδε ἀνέγραψαν, ὅτι ἐπενόει Ἀλέξανδρος 2
περιπλεῦσαι τήν τε Ἀραβίαν τὴν πολλὴν καὶ τὴν Αἰθιόπων γῆν, καὶ τὴν Λιβύην τε καὶ τοὺς Νομάδας ὑπὲρ τὸν Ἄτλαντα τὸ ὄρος, ὡς ἐπὶ Γάδειρα ἔσω ἐς τὴν ἡμετέραν θάλασσαν, καὶ τὴν Λιβύην τε καταστρεψάμενος καὶ Καρχηδόνα οὕτω δὴ τῆς Ἀσίας πάσης δικαίως ἂν βασιλέα καλεῖσθαι· τοὺς γάρ τοι Περσῶν καὶ Μήδων βασιλέας, 3
οὐδὲ τοῦ πολλοστοῦ μέρους τῆς Ἀσίας ἐπάρχοντας, οὐ σὺν δίκῃ καλεῖν σφᾶς μεγάλους βασιλέας. Ἔνθεν δὲ οἱ 4
μὲν λέγουσιν ὅτι ἐς τὸν πόντον τὸν Εὔξεινον ἐσπλεῖν ἐπενόει ἐς Σκύθας τε καὶ τὴν Μαιῶτιν λίμνην· οἱ δὲ ὅτι ἐς Σικελίαν τε καὶ ἄκραν Ἰαπυγίαν· ἤδη γὰρ καὶ ὑποκινεῖν αὐτὸν τὸ Ῥωμαίων ὄνομα προχωροῦν ἐπὶ μέγα. Ἐγὼ δέ, 5

Scriptorem nostrum vero bene novisse tres continentes orbis iam ex iis clarum fit quae dixit IV, 7, 8 *οὐδὲ εἰ τὴν Λιβύην τις πρὸς τῇ Ἀσίᾳ (καθάπερουν ἐπενόει ἐκεῖνος) ἐκπεριπλεύσας κατάσχοι, οὐδὲ εἰ τὴν Εὐρώπην ἐπὶ τῇ Ἀσίᾳ τε καὶ Λιβύῃ τρίτην.* Igitur, vulgata scriptura servata, Arrianum credamus currente stilo Asiam tantum memorasse, ubi etiam Africae pars fuisset memoranda. Nisi forte statuas, Alexandrum, Africa subacta, eodem iure *Asiae* regem, ut a terra potiore, vocatum se voluisse, quo Napoleon, quamvis universam fere Europam in potestatem suam redegisset, tamen Francogallorum imperator vocabatur. Accedit quod rex Persarum *rex Asiae* vocatus (vid. Xenoph. Hist. Gr. III, 5, 13) iam a Cambysis inde temporibus *Africae partem* in potestate sua habebat. Unde Arrianus hoc videtur voluisse dicere: Iam Persarum reges, quamquam *minori Asiae atque Africae parte* subacta, tamen *Asiae reges* vocari consueverunt. Quod cum parum apte videret factum, Alexander constituit *universam Asiam atque Africam* sibi subiicere, ut vere nominare posset *totius Asiae rex* h. e. *ὁ μέγας βασιλεύς*. Ceterum cf. VII, 15, 4 *Λιβύων πρεσβεῖαι ἐνετύγχανον ἐπαινούντων τε καὶ στεφανούντων ἐπὶ τῇ βασιλείᾳ τῆς Ἀσίας.*

4. *οἱ μὲν λέγουσιν*] Ultima voce caret ed. Basil. Addidit eam Vulcanius. — In formula quae est *κατ᾽ ἄκραν Ἰαπυγίαν* articulum omitti solere iam docuit Dukerus ad Thucyd. VI, 30.

5. *οὔτε ἔχω ἀτρεκῶς ξυμβαλεῖν*] Orationis colorem forsitan duxerit Arrianus ab Herodoto, qui dixit I, 57 *ἥντινα δὲ γλῶσσαν — εσαν οἱ Πελασγοί, οὐκ ἔχω ἀτρεκέως εἰπαι.* VIII, 8 *ὅτεῳ μὲν δὴ*

ὁποῖα μὲν ἦν Ἀλεξάνδρου τὰ ἐνθυμήματα, οὔτε ἔχω ἀτρε-
6 κῶς ξυμβαλεῖν, οὔτε μέλει ἔμοιγε εἰκάζειν· ἐκεῖνο δὲ καὶ αὐτὸς ἄν μοι δοκῶ ἰσχυρίσασθαι, οὔτε μικρόν τι καὶ φαῦλον ἐπινοεῖν Ἀλέξανδρον, οὔτε μεῖναι ἂν ἀτρεμοῦντα ἐπ' οὐδὲν τῶν ἤδη κεκτημένων, οὐδὲ εἰ τὴν Εὐρώπην τῇ Ἀσίᾳ προσέθηκεν, οὐδ' εἰ τὰς Βρεττανῶν νήσους τῇ Εὐρώπῃ, ἀλλὰ ἔτι ἂν ἐπέκεινα ζητεῖν τι τῶν ἠγνοημένων, εἰ καὶ
7 μὴ ἄλλῳ τῳ, ἀλλὰ αὐτόν γε αὑτῷ ἐρίζοντα. Καὶ ἐπὶ τῷδε ἐπαινῶ τοὺς σοφιστὰς τῶν Ἰνδῶν, ὧν λέγουσιν ἔστιν οὓς καταληφθέντας ὑπ' Ἀλεξάνδρου ὑπαιθρίους ἐν λειμῶνι, ἵναπερ αὐτοῖς διατριβαὶ ἦσαν, ἄλλο μὲν οὐδὲν ποιῆσαι πρὸς τὴν ὄψιν αὐτοῦ τε καὶ τῆς στρατιᾶς, κρούειν δὲ

τρόπῳ τὸ ἐνθεῦτεν ἤδη ἀπίκετο ἐς τοὺς Ἕλληνας, οὐκ ἔχω εἶπαι ἀτρεκέως. Cf. Arr. V, 4, 11 οὐκ ἔχω ἀτρεκῶς — ξυμβαλεῖν. Adverbium ἀτρεκῶς, ut adiect. ἀτρεκής et substant. ἀτρέκεια ab Attico loquendi more abhorrere iam monuimus in praef. ad t. I, p. XLIX.

6. τῶν ἤδη κεκτημένων] Sic edd. vett. cum quattuor codd. Gronovii. „Egregie et hoc loco ille Optimus ἐκτημένων, de quo supra.“ *Gronov.* Vide ann. ad V, 26, 10. Facile autem fieri potuit, ut κ a librario omitteretur, „cum κ et η in codicibus saepe adeo similia sint, ut sola orationis series doceat, utra litera scripta sit.“ Sunt haec verba Bastii ad Greg. Cor. p. 112.

τὰς Βρεττανῶν νήσους] De scriptura vocis Βρεττανοί vide Bernhard. ad Dion. Perieg. p. 588 et ante eum Siebel. ad Pausan. I, 33, 4. Cf. Eustath. ad Dionys. Perieg. v. 284 ὅτι Βρεττανοί διὰ δύο τ ὡς ἐπιπολύ. — Infra ed. Bas. αὐτῷ ἐρίζοντα.

7. ὑπαιθρίους] Eadem huius adiectivi forma reperitur Hist Ind. XI, 7. XLIII, 5. Vide Lobeck. ad Phryn. p. 251 sq. et post eum Sieb. ad Pausan. II, 2, 7. — Mox ed. Basil. ἵνα περ. Secuti sunt recentiores editores.

8. ὅ τι νοοῖ αὐτοῖς τὸ ἔργον] Gronovii verba ad h. l.: „Quum mox dicatur οὕτινος αὐτοῖς τὸ ἔργον, et ipse testor me sic legisse in omnibus scriptis codicibus, indicandum censui ab Vulcanio adscriptum in ora: V. C. ὅ τι νοοῖ αὐτοῖς τὸ ἔργον. Nam particula καί, quam Vulcaniana editio his verbis praemittit, ignorata editioni Basileensi, ignorata omnibus Msstis, etiam a me omissa est“: nimia festinantia sunt conscripta, ut quae iis dicere voluerit,

τοῖς ποσὶ τὴν γῆν ἐφ᾽ ἧς βεβηκότες ἦσαν. Ὡς δὲ ἤρετο 8
Ἀλέξανδρος δι᾽ ἑρμηνέων ὅ τι νοοῖ αὐτοῖς τὸ ἔργον, τοὺς
δὲ ἀποκρίνασθαι ὧδε· Ὦ βασιλεῦ Ἀλέξανδρε, ἄνθρωπος
μὲν ἕκαστος τοσόνδε τῆς γῆς κατέχει ὅσονπερ τοῦτό ἐστιν
ἐφ᾽ ὅτῳ βεβήκαμεν· σὺ δὲ ἄνθρωπος ὢν παραπλήσιος 9
τοῖς ἄλλοις, πλήν γε δὴ ὅτι πολυπράγμων καὶ ἀτάσθαλος,
ἀπὸ τῆς οἰκείας τοσαύτην γῆν ἐπεξέρχῃ, πράγματα ἔχων
τε καὶ παρέχων ἄλλοις· καὶ οὖν καὶ ὀλίγον ὕστερον ἀπο-
θανὼν τοσοῦτον καθέξεις τῆς γῆς ὅσον ἐξαρκεῖ ἐντεθά-
φθαι τῷ σώματι.

II. Κἀνταῦθα ἐπήνεσε μὲν Ἀλέξανδρος τούς τε λόγους αὐτοὺς καὶ τοὺς εἰπόντας, ἔπρασσε δὲ ὅμως ἄλλα καὶ

---

non nisi coniectura assequi liceat. Particula *καί*, quam Gronovius in ed. Vulcaniana se reperisse ait, frustra ibi quaesivi. Legitur autem in ed. Blancardi. Minus apte. Quod attinet vero ad verba *ὅ τι νοοῖ αὐτοῖς τὸ ἔργον*, quorum vestigia in solo V. C. invenit Vulcanius, non dubito quin genuina ea sint et ab Arriani manu profecta, licet omnes codd. Gronovii amplectantur lectionem *οὗτινος αὐτοῖς τὸ ἔργον.* Quo durior enim vulgata verborum compositio, eo facilior elegantiorque constructio est, si alteram scripturam praeferas. Et accedit ipsius Arriani auctoritas, qui dixit II, 26, 9 *καὶ Ἀλέξανδρος ἤρετο — ὅ τι νοοῖ ὁ οἰωνός.* VII, 18, 8 *ἐρομένου ὅ τι νοοῖ τὸ σημεῖον.*

9. *παραπλήσιος τοῖς ἄλλοις*] Porsonus in Adversarr. p. 175, ed. Lips. legendum censuit *παραπλησίως.* Causam huius mutationis equidem non video. Quod ibidem idem vir clarissimus coniecit *οἴως μ᾽ ὑπῆλθες* apud Soph. Philoct. v. 995, Herm. a nemine, quod sciam, receptum est pro vulgato *οἷός μ᾽ ὑπῆλθες*, longe elegantiore.

πράγματα ἔχων τε καὶ παρέχων] Vulcanius: *tibi pariter atque aliis negotium facessens.* Hanc proverbialem loquendi formulam, quam hodie nemo non habet cognitam, docte illustravit Berglerus ad Alciphr. Epp. I, 30, p. 174, ed. Wagn. Cf. Xenoph. Hist. Gr. IV, 5, 19 *πράγματα εἶχόν τε καὶ παρεῖχον τοῖς ἐν τῷ ἄστει.* V, 1, 24 *πράγματα δ᾽ ἔχοντες καὶ παρέχοντες.*

C. II. *τούς τε λόγους αὐτούς*] Ita codd. Gronovii omnes, quos secutus est Schmiederus. *τούτους τοὺς λόγους* edd. vett., minus concinne neque ex Arriani ingenio. Similiter dixit V, 22, 4 *τοὺς Καθαίους αὐτούς τε καὶ ὅσα ὅμορα σφίσιν.*

2 τἀναντία οἷς ἐπήνεσεν. Ἐπεὶ καὶ Διογένην τὸν ἐκ Σινώπης θαυμάσαι λέγεται ἐν Ἰσθμῷ, ἐντυχὼν τῷ Διογένει κατακειμένῳ ἐν ἡλίῳ, ἐπιστὰς ξὺν τοῖς ὑπασπισταῖς καὶ τοῖς πεζεταίροις καὶ ἐρόμενος εἴ του δέοιτο· ὁ δὲ Διογένης ἄλλου μὲν ἔφη δεῖσθαι οὐδενός, ἀπὸ τοῦ ἡλίου δὲ ἀπελ-
3 θεῖν ἐκέλευσεν αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ. Οὕτω τοι οὐ πάντη ἔξω ἦν τοῦ ἐπινοεῖν τὰ κρείττω Ἀλέξανδρος,
4 ἀλλ' ἐκ δόξης γὰρ δεινῶς ἐκρατεῖτο· ἐπεὶ καὶ ἐς Τάξιλα αὐτῷ ἀφικομένῳ καὶ ἰδόντι τῶν σοφιστῶν Ἰνδῶν τοὺς γυμνοὺς πόθος ἐγένετο ξυνεῖναί τινα οἱ τῶν ἀνδρῶν τού-
5 των, ὅτι τὴν καρτερίαν αὐτῶν ἐθαύμασε· καὶ ὁ μὲν πρεσβύτατος τῶν σοφιστῶν, ὅτου ὁμιληταὶ οἱ ἄλλοι ἦσαν, Δάνδαμις ὄνομα, οὔτε αὐτὸς ἔφη παρ' Ἀλέξανδρον ἥξειν οὔτε τοὺς ἄλλους εἴα· ἀποκρίνασθαι γὰρ λέγεται, ὡς Διὸς

---

2. *ἐντυχὼν τῷ Διογένει*] Recepimus cum Schmiedero hanc lectionem e cod. F. et duobus aliis codd. Florr. pro *ἐντυχὼν αὐτῷ*, quod habent edd. vett. et duo reliqui codd. Gronovii. Repetitum nomen proprium neminem morabitur perlectis quae dicta sunt in ann. ad I, 11, 6.

τοῖς πεζεταίροις] Ed. Basil. cum omnibus codd. Gronovii. *τοῖς ἀσσετέροις* edd. Vulc. et Blancard. Ceterum cf. III, 30, 7 *Ἀλέξανδρος δὲ ἰδὼν τὸν Βῆσσον, ἐπιστήσας τὸ ἅρμα ἤρετο.* — Pro *ἐρόμενος* in ed. Basil. legitur *ἐρώμενος*.

3. *δεινῶς ἐκρατεῖτο*] Ed. Basil. *δεῖν ὡς ἐκρατεῖτο*. Rem tetigimus in ann. ad VI, 13, 12. De Diogene vide quae fuse narravit Plut. vit. Alex. c. XIV.

5. *ὡς — εἴη, εἴπερ οὖν — Ἀλέξανδρος*] Vulcanius locum sic interpretatus: *se enim etiam Iovis filium esse perinde atque Alexander*, ambiguum reliquit verborum sensum. Verum iam vidit Raphelius. „An se Iovis filios, inquit, perhiberi voluerint hi sophistae, nescio. Si constaret, ipsos se humano sanguine ortos credidisse, acerrima videri queat insectatio senis huius, exprobrantis Alexandro vanam divinae stirpis persuasionem, quod Alexander non magis esset Iove natus, quam ipse, qui se hominem agnosceret.“ Pro *εἴπερ οὖν* in edd. vidi aut *εἴπερ οὖν* aut *εἴ περ οὖν*. Cf. Iac. praef. ad Ael. hist. animall. p. XXIV. sq.

ὅτι οὔτε δέοιτό του τῶν παρ' Ἀλεξάνδρου — καὶ ἅμα ὁρᾶν] Tota horum verborum compositio tam perversa est atque incommoda, ut hic Arrianum negligentiae incusare cogamur. Primum

υἱὸς καὶ αὐτὸς εἴη, εἴπερ οὖν καὶ Ἀλέξανδρος· καὶ ὅτι 6
οὔτε δέοιτό του τῶν παρ᾽ Ἀλεξάνδρου (ἔχειν γάρ οἱ εὖ τὰ παρόντα), καὶ ἅμα ὁρᾶν τοὺς ξὺν αὐτῷ πλανωμένους τοσαύτην γῆν καὶ θάλασσαν ἐπ᾽ ἀγαθῷ οὐδενὶ, μήτε πέρας τι αὐτοῖς γινόμενον τῶν πολλῶν πλανῶν· οὔτ᾽ οὖν ποθεῖν 7
τι αὐτὸς ὅτου κύριος ἦν Ἀλέξανδρος δοῦναι, οὔτ᾽ αὖ δεδιέναι ὅτου κρατοίη ἐκεῖνος ἐς τὸ εἴργεσθαι· ζῶντι μὲν 8
γάρ οἱ τὴν Ἰνδῶν γῆν ἐξαρκεῖν, φέρουσαν τὰ ὡραῖα· ἀποθανόντα δὲ ἀπαλλαγήσεσθαι οὐκ ἐπιεικοῦς ξυνοίκου τοῦ σώματος· οὔκουν οὐδὲ Ἀλέξανδρον ἐπιχειρῆσαι βιάσασθαι, 9
γνόντα ἐλεύθερον ὄντα τὸν ἄνδρα· ἀλλὰ Κάλανον γὰρ ἀναπεισθῆναι τῶν ταύτῃ σοφιστῶν, ὅντινα μάλιστα δὴ αὐτοῦ ἀκράτορα Μεγασθένης ἀνέγραψεν· αὐτούς τε τοὺς σοφιστὰς λέγειν κακίζοντας τὸν Κάλανον, ὅτι ἀπολιπὼν

---

enim particula οὔτε non habet quod ei respondeat, quamquam minime omnium ignoro, verba καὶ ἅμα ὁρᾶν ita esse collocata, ut ad eam sint referenda. Accurate tamen si voluisset scribere Arrianus, dictum oportebat ὅτι οὐδενὸς δέοιτο — καὶ ἅμα ὅτι ὁρῴη. Nimirum offendit quoque h. l. transitus a tempore finito ad infinitivum, alias quidem haud infrequens apud Arrianum (vid. ann. ad IV, 8, 5). Deinde nisi scripseris μηδὲ γινόμενον pro vulg. μήτε, neque haec pars enunciati accurate composita videatur. Quibus difficultatibus missis hoc dicere voluisse credamus Arrianum: *neque se ulla earum rerum egere quas Alexander ei possit largiri simulque videre se milites tantum terrarum atque maris pervagari — neque finem statui multis eorum erroribus.*

7. οὔτ᾽ αὖ δεδιέναι] „*neque contra* quidquam *timere, cuius ille* (Alexander) *potestatem habeat impediendi.* Hoc est, de iis rebus se non metuere quae sibi ab Alexandro possint eripi. Vel vitam ipsam si amitteret, tantum abesse, ut propterea se miserum putet fore, ut multo tunc sibi melius futurum speret, liberato a molestissimo corporis contubernio. Conveniunt haec Stoicae doctrinae, ex qua Epictetus in Dissert. lib. I, c. 25, p. 96 τί ἔτι φοβούμεθα.“ *Raphel.* Conf. Plat. Phaedon. p. 66, A et passim alibi.

8. ἀποθανόντα δὲ] Edd. vett. cum duobus codd. Gronovii habent ἀποθανόντι δέ. Quod nos cum Schmiedero dedimus, tuentur cod. F. et duo reliqui codices.

9. οὔκουν οὐδέ] Sic scripsimus pro vulgato οὐκοῦν οὐδέ. Vide ann. ad III, 24, 4. — Quod in fine capitis positum est ὁ δέ, ex

τὴν παρὰ σφίσιν εὐδαιμονίαν ὁ δὲ δεσπότην ἄλλον ἢ τὸν
θεὸν ἐθεράπευε.

III. *Ταῦτα ἐγὼ ἀνέγραψα, ὅτι καὶ ὑπὲρ Καλάνου
ἐχρῆν εἰπεῖν ἐν τῇ περὶ Ἀλεξάνδρου ξυγγραφῇ· μαλακι-
σθῆναι γάρ τι τῷ σώματι τὸν Κάλανον ἐν τῇ Περσίδι γῇ,
2 οὔπω πρόσθεν νοσήσαντα· οὔκουν οὐδὲ δίαιταν διαιτᾶσθαι
θέλειν ἀῤῥώστου ἀνδρός, ἀλλὰ εἰπεῖν γὰρ πρὸς Ἀλέξαν-
δρον, καλῶς αὐτῷ ἔχειν ἐν τῷ τοιῷδε καταστρέψαι, πρὶν
τινος ἐς πεῖραν ἐλθεῖν παθήματος ὅ τι περ ἐξαναγκάσῃ
3 αὐτὸν μεταβάλλειν τὴν πρόσθεν δίαιταν· καὶ Ἀλέξανδρον
ἀντειπεῖν μὲν αὐτῷ ἐπὶ πολύ· ὡς δ' οὐχ ἡττησόμενον
ἑώρα, ἀλλὰ ἄλλως ἂν ἀπαλλαγέντα, εἰ μή τις ταύτῃ ὑπει-*

---

more Arriani factum esse tibi persuadebis revocatis in memoriam quae annotata sunt ad V, 20, 1. — Paulo supra ed. Basil. *αὐτοῦ* pro *αὑτοῦ*. Mox in eadem editione male omissa est particula *τε* et *κακίζοντα* scriptum pro *κακίζοντας*.

C. III. *καταστρέψαι*] Plenius Diodorus Siculus XV, 17 *Λεπτίνης μὲν γὰρ κατέστρεψε τὸν βίον*. XVII, fin. *πεμπταίᾳ κατέστρεψε τὸν βίον*. Plura cumulare taedet post egregias curas Schaeferi ad Lamb. Bos. Ellips. p. 60, ed. Lips. Moneo tantum, hoc uno loco Arrianum dixisse *καταστρέψαι* de *moriente*, cum alias ei placuerit *τελευτῆσαι*, ut I, 5, 7. I, 25, 3. III, 25, 6. IV, 14, 5. V, 24, 9. VII, 18, 5 cet.

ὅ τι περ ἐξαναγκάσῃ αὐτόν] Ed. Bas. *ἐξαναγκάσει*. Coniunctivum in eadem fere verborum coniunctione vide II, 16, 10 *ἔδοξε σφίσι ποιεῖν ὅ τι περ ἐπαγγέλλῃ Ἀλέξανδρος*: quamquam dixit II, 15, 9 *ὡς ἐγνωκότων Τυρίων πράσσειν ὅ τι ἂν ἐπαγγέλλῃ Ἀλέξανδρος*. Cf. ann. ad VI, 28, 11.

3. *ὅπῃ ἀπήγγελλεν αὐτός*] Edd. vett. particulam *ὅπῃ* male ignorant. Omnes codices alicuius pretii, ut ait Gronovius, plenius legunt, quomodo dedimus Schmiederum secuti. Notatu dignum est, in editione Schmiederi legi *ἀπήγγελεν*, quod ita scriptum invenerat in annotatione Gronovii ad h. l. At edd. ante Gronovium omnes recte habent *ἀπήγγελλεν*. Si quis de imperfecti usu dubius haereat, is legat ann. ad I, 17, 1 coll. I, 6, 2 *παρήγγελλε σιγῇ ἔχειν*. Aoristum verbi *ἀγγέλλειν* secundum non esse admittendum demonstravimus ad II, 15, 9.

κελεῦσαι νησθῆναι] Edd. vett. cum duobus codd. Gronovii *ἀφθῆναι*. In uno vidit Gronovius *ἀφῆναι*. Sed veram scripturam

κάθοι, οὕτω δὴ ὅπη ἀπήγγελλεν αὐτὸς, κελεῦσαι νησθῆναι
αὐτῷ πυράν, καὶ ταύτης ἐπιμεληθῆναι Πτολεμαῖον τὸν
Λάγου τὸν σωματοφύλακα. Οἱ δὲ καὶ πομπήν τινα προ- 4
πομπεῦσαι αὐτοῦ λέγουσιν ἵππους τε καὶ ἄνδρας, τοὺς
μὲν ὡπλισμένους, τοὺς δὲ θυμιάματα παντοῖα τῇ πυρᾷ
ἐπιφέροντας· οἱ δὲ καὶ ἐκπώματα χρυσᾶ καὶ ἀργυρᾶ καὶ
ἐσθῆτα βασιλικὴν λέγουσιν ὅτι ἔφερον· αὐτῷ δὲ παρα- 5
σκευασθῆναι μὲν ἵππον, ὅτι βαδίσαι ἀδυνάτως εἶχεν ὑπὸ
τῆς νόσου· οὐ μὴν δυνηθῆναί γε οὐδὲ τοῦ ἵππου ἐπι-
βῆναι, ἀλλὰ ἐπὶ κλίνης γὰρ κομισθῆναι φερόμενον, ἐστε-
φανωμένον τε τῷ Ἰνδῶν νόμῳ καὶ ᾄδοντα τῇ Ἰνδῶν γλώσσῃ·
οἱ δὲ Ἰνδοὶ λέγουσιν ὅτι ὕμνοι θεῶν ἦσαν καὶ αὐτῶν οἱ

---

suppeditavit cod. F. cum uno alio codd. Gronovii et V. C. Vulcanii. „Doctius et quaesitius verbum *νησθῆναι*, quam ut a scriba oriri potuerit; et tum supra iam a nobis Arriano confirmatum (vid. ann. ad VI, 26, 8), tum inprimis Herodoto in hac phrasi gratum, qui lib. I, c. 19 *νήσας πυρὴν μεγάλην*, quod Hesychius exponit *σωρεύσας*.“ *Gronov.* Verba Herodoti leguntur I, 50, ubi hodie scriptum *νηήσας*. Vulgata *ἀφθῆναι* iam propterea contemnenda, quod in sequentibus demum de incenso rogo sermo.

4. *προπομπεῦσαι αὐτοῦ λέγουσι*] Post *προπομπεῦσαι* in edd. vett. legebatur particula *καί*, quam cum Schmiedero delevimus ex auctoritate omnium quos inspexit Gronovius codicum. De re cf. Athen. X, p. 437, A *Χάρης δ' ὁ Μιτυληναῖος περὶ Καλάνου εἰπὼν — φησὶν ὅτι καὶ ἐπὶ τῷ μνήματι αὐτοῦ διέθηκεν Ἀλέξανδρος γυμνικὸν ἀγῶνα καὶ μουσικὸν ἐγκωμίων.* Eadem fere narrat quoque Aelian. varr. histt. II, 41.

5. *κομισθῆναι φερόμενον*] „Plane, ut contraria vice Anton. Liberal. fab. I. *καὶ τὸ μὲν σῶμα κομίσαντες ἔφερον, ὅπως κηδεύσωσιν.*“ *Gronov.* Paulo supra ed. Bas. notatione vitiosa *χρυσὰ καὶ ἀργυρά.*

ὅτι ὕμνοι — καὶ αὐτῶν οἱ ἔπαινοι] Sic cod. F. *καὶ αὐτοὶ οἱ ἔπαινοι* edd. vett. cum rell. codd. Gronovii. Minus recte. Nimirum hoc dictum voluit Arrianus: *Indi autem narrant carmina in deorum honorem decantata et ipsorum* (h. e. sapientum) *laudes continere.* Huc spectare videntur quae narrat Arrianus Hist. Ind. X, 1 *λέγεται δὲ καὶ τάδε, μνημεῖα ὅτι Ἰνδοὶ τοῖς τελευτήσασιν οὐ ποιέουσι, ἀλλὰ τὰς ἀρετὰς γὰρ τῶν ἀνδρῶν ἱκανὰς ἐς μνήμην τίθενται τοῖσιν ἀποθανοῦσι, καὶ τὰς ᾠδὰς αἳ αὐτοῖσιν ἐπᾴδονται.*

6 ἔπαινοι. Καὶ τὸν μὲν ἵππον τοῦτον ὅτου ἐπιβήσεσθαι
ἔμελλε, βασιλικὸν ὄντα τῶν Νυσαίων, πρὶν ἀναβῆναι ἐπὶ
τὴν πυράν, Λυσιμάχῳ χαρίσασθαι, τῶν τινι θεραπευόντων
αὐτὸν ἐπὶ σοφίᾳ· τῶν δὲ δὴ ἐκπωμάτων ἢ στρωμάτων
ὅσα ἐμβληθῆναι ἐς τὴν πυρὰν κόσμον αὐτῷ τετάχει Ἀλέξ-
7 ανδρος, ἄλλα ἄλλοις δοῦναι τῶν ἀμφ᾽ αὐτόν. Οὕτω δὴ
ἐπιβάντα τῇ πυρᾷ κατακλιθῆναι μὲν ἐν κόσμῳ, ὁρᾶσθαι
δὲ πρὸς τῆς στρατιᾶς ξυμπάσης· Ἀλεξάνδρῳ δὲ οὐκ
ἐπιεικὲς φανῆναι τὸ θέαμα, ἐπὶ φίλῳ ἀνδρὶ γιγνόμενον·
ἀλλὰ τοῖς γὰρ ἄλλοις θαῦμα παρασχέσθαι, οὐδέν τι πα-
8 ρακινήσαντα ἐν τῷ πυρὶ τοῦ σώματος. Ὡς δὲ τὸ πῦρ ἐς
τὴν πυρὰν ἐνέβαλον οἷς προστεταγμένον ἦν, τάς τε σάλ-
πιγγας φθέγξασθαι λέγει Νέαρχος (οὕτως ἐξ Ἀλεξάνδρου
προστεταγμένον) καὶ τὴν στρατιὰν ἐπαλαλάξαι πᾶσαν,

---

6. *τῶν Νυσαίων*] Ed. Basil. *Νυσσαίων*. Ed. Vulc. *Νυσαίων*. Edd. ante Schmiederum rell. omnes *Νησαίων*. Vide ann. ad V, 1, 1. Eadem librorum inconstantia in scribendo nomine *Νυσαῖος* notata est ad Athenae. X, p. 435, F.

τῶν τινι θεραπευόντων] Sumsit fortasse hanc loquendi figuram Arrianus ex Herodoto, apud quem satis frequentem eam esse demonstrarunt Wessel. et Valck. ad Herod. VIII, 90. Cf. Arr. II, 26, 7 *τῶν τις σαρκοφάγων ὀρνίθων*. VII, 22, 5 *τῶν τις ναυτῶν*. VII, 24, 4 *τῶν τινα οὐκ ἠμελημένων Μακεδόνων*. Sic. Ael. vv. hh. IX, 38 *τῶν τις Τρώων παρελθών*. Vide Iacobs. ad Ael. hist. animall. t. II, p. 133. Hemsterh. ad Lucian. t. I, p. 294, ed. Bip. Ex his, puto, quae Siebelisius in praef. ad Paus. t. I, p. XX de hac Ionica, quam vocant, anastrophe monuit, partim augenda, partim corrigenda sunt.

7. *παρακινήσαντα — τοῦ σώματος*] Sic ed. Basil. cum omnibus codd. Gronovii. *παρακινήσαντος* Vulcanius primus, quem secutus est Blancardus. Non suo iure uterque. In errorem inducti sunt remoto loco genitivi *τοῦ σώματος*, qui pendet ab *οὐδέν τι*. Apte conferas II, 10, 9 *καὶ τι καὶ τοῖς γένεσι, τῷ τε Ἑλληνικῷ καὶ Περσικῷ, φιλοτιμίας*. Plura diximus in ann. ad II, 27, 9. — De usu et constructione verbi *ἐπιβῆναι* vide quae disputata sunt ad V, 10, 2.

8. *οὕτως ἐξ Ἀλεξάνδρου προστεταγμένον*] Sic cod. F. cum uno alio cod. Gronovii. *οὕτως Ἀλέξανδρον προστεταγμένον* ed. Basil. *οὕτως ὑπ᾽ Ἀλ. προστεταγμένοι* ed. Vulc. et Blanc. cum tribus codd.

ὁποῖόν τι καὶ ἐς τὰς μάχας ἰοῦσα ἐπηλάλαξε· καὶ τοὺς ἐλέφαντας συνεπηχῆσαι τὸ ὀξὺ καὶ πολεμικόν, τιμῶντας Κάλανον. Ταῦτα καὶ τοιαῦτα ὑπὲρ Καλάνου τοῦ Ἰνδοῦ 9
ἱκανοὶ ἀναγεγράφασιν, οὐκ ἀχρεῖα πάντα ἐς ἀνθρώπους, ὅτῳ γνῶναι ἐπιμελές, ὅτι ὡς καρτερόν τέ ἐστι καὶ ἀνίκητον γνώμη ἀνθρωπίνη ὅ τι περ ἐθέλοι ἐξεργάσασθαι.

IV. Ἐν τούτῳ δὲ Ἀλέξανδρος Ἀτροπάτην μὲν ἐπὶ τὴν αὐτοῦ σατραπείαν ἐκπέμπει, παρελθὼν ἐς Σοῦσα· Ἀβουλίτην δὲ καὶ τὸν τούτου παῖδα Ὀξάθρην, ὅτι κακῶς ἐπεμελεῖτο τῶν Σουσίων, συλλαβὼν ἀπέκτεινε. Πολλὰ μὲν 2
δὴ πεπλημμέλητο ἐκ τῶν κατεχόντων τὰς χώρας, ὅσαι δορύκτητοι πρὸς Ἀλεξάνδρου ἐγένοντο, ἔς τε τὰ ἱερὰ καὶ τάφους καὶ αὐτοὺς τοὺς ὑπηκόους, ὅτι χρόνιος ὁ εἰς Ἰνδοὺς στόλος ἐγεγένητο τῷ βασιλεῖ, καὶ οὐ πιστὸν ἐφαίνετο

Gronovii. Quae lectio quamquam non omnino spernenda, tamen non poterat me movere, ut alteri praeponeretur. Vid. ad IV, 2, 6.

9. *ἐς ἀνθρώπους ὅτῳ γνῶναι ἐπιμελές*] Similiter Arr. VII, 5, 4 *ἑκάστοις ὅστις — ἐπεδείκνυτο*, et Xenophon Cyrop. III, 3, 67 *ἱκετεύουσι πάντας, ὅτῳ ἐπιτυγχάνοιεν.* Vide Krueg. ad Anab. I, 1, 5 *ὅστις δ' ἀφικνοῖτο —, πάντας —.* De usu et significatione vocum *ἀχρεῖος* et *ἄχρηστος* quae Doederleinius disputavit in Lectt. Homerr. Spec. I. Diario schol. Darmst. inserto, 1828, II, p. 891 sq., speciosiora, quam veriora sunt.

ὅτι ὡς καρτερόν] Pleonasticae locutionis *ὡς ὅτι* plane gemina vide exempla apud Schaef. et Bast. ad Greg. Corinth. p. 52. Similia sunt *οἷον ὡς* (de quo vide Schaef. ad Epist. Crit. p. 277. Bernhard. ad Dionys. Perieg. p. 857) et *ὅτι ἐπεί* (quod tetigit Bernhard. ad Dionys. p. 989).

ὅτι — γνώμη ἀνθρωπίνη] „Edidi ut verissime edendum legendumque vidit postea ipse Vulcanius, quum in ipsius et Basileensi editione ultimae voces acciperentur quasi tertius casus cum ι subscripto. Quam praeclare *γνώμη ἀνθρωπίνη* dicitur *καρτερὸν καὶ ἀνίκητον*, videlicit *χρῆμα* (!E.), ut V, 27, 17 *καλὸν ἡ ἐν τῷ εὐτυχεῖν σωφροσύνη.*" *Gronov.*

C. IV. *ὅτι κακῶς ἐπεμελεῖτο*] Ed. Basil. *ἐπιμελεῖτο.* In imperfecto si quis offenderit, is videat ann. ad III, 6, 12.

2. *ὅσαι δορύκτητοι*] Edd. ante nos omnes *δορύκτηται*, ortum, puto, quia praecessit feminini forma *ὅσαι.* Num autem *δορίκτητος*, an *δορύκτητος* rectius scribatur, equidem non definiam. Formam

ἀπονοστήσειν αὐτὸν ἐκ τοσῶνδε ἐθνῶν καὶ τοσῶνδε ἐλεφάντων, ὑπὲρ τὸν Ἰνδόν τε καὶ Ὑδάσπην καὶ τὸν Ἀκεσίνην καὶ Ὕφασιν φθειρόμενον.
3 *Καὶ αἱ ἐν Γαδρωσίοις δὲ αὐτῷ ξυμφοραὶ ξυνενεχθεῖσαι ἔτι μᾶλλον ἐπῆραν τοὺς ἐν ταύτῃ σατραπεύοντας καταφρονῆσαι αὐτοῦ τῆς οἴκοι ἀπονοστήσεως.*
4 *Οὐ μὴν ἀλλὰ καὶ αὐτὸς Ἀλέξανδρος ὀξύτερος λέγεται γενέσθαι ἐν τῷ τότε ἐς τὸ πιστεῦσαί τε τοῖς ἐπι-*

δορύκτητος vidi apud Dionys. Halic. Antiqq. VIII, 10. *δορυάλωτος* apud Arr. VI, 27, 11. VII, 6, 1. Xenoph. Hist. Gr. V, 2, 5. Ceterum vide quae de hac re disputarunt cl. Lobeck. ad Soph. Aiac. v. 210. Wessel. ad Diod. Sic. XII, 83. Schweighaeus. ad Appian. t. III, p. 159. Blomf. ad Sept. c. Theb. v. 155 et ad Agamemn. v. 115.

ἀπονοστήσειν] Futurum habent edd. vett. et quattuor codd. Gronovii. *ἀπονοστῆσαι* Schmiederus dedit primus, codicem F. secutus. Aoristum si ponere voluisset Arrianus, non dubito quin additurus fuisset particulam *ἄν*. Quomodo scripsit II, 25, 7 *πιστεύων μήποτε ἂν ἁλῶναι*. V, 15, 11 *οὐδὲ ἠξίου τολμῆσαι ἂν ὤσασθαι*, coll. ann. ad IV, 1, 4. Vulgatae scripturae tuendae apta sunt quae leguntur I, 13, 4 *οὐ δοκῶ τολμήσειν*. Praeterea vide Lobeck. post Phrynich. p. 748 sq.

ὑπὲρ τὸν Ἰνδὸν — φθειρόμενον] „Voces *Ὕφασιν φθειρόμενον* natae mihi videntur ex nomine *Ὑδραώτην*. Hyphasin enim transgressus non erat Alexander, quod pluribus locis noster confirmat, etiam mox c. 10, 12; et Hydraotes ex iis, quos traiecit, fluviis deest, quum hic pro Hyphasi eius nomen ponendum fuisset. Verbum autem *φθειρόμενον* si vertis *interfectum*, sententia est inepta. Ergo praesens pro futuro positum credendum est, et verte *interiturum*. — *Schmied.*" Quod Schmiederus de Hydraote et Hyphasi monuit, in medio relinquam. Moneo tantum, hic Arrianum loqui ex sententia barbararum gentium, quibus probabile videri poterat, Alexandrum, si Indum et Hydaspen transiisset, etiam Hyphasin esse transiturum. In explicando autem verbo *φθειρόμενον* mire se iactat vir optimus, cum tamen vere iam observarit Berglerus ad Alciphr. I, 13, p. 83, ed. Wagn., *φθείρεσθαι* haud raro dici Graecis scriptoribus de eo, *qui vagatur cum damno suo*. Cf. Abresch. ad Aeschyl. p. 207. Lennep. ad Phalar. p. 351 (383, ed. Lips). Blomf. Glossar. ad Aeschyl. Perss. v. 457. Pflugk. ad Eurip. Helen. p. 79. Huc traham quae leguntur apud Lucian. Asin. c. 56 *οὐ φθείρῃ ἀπ᾽ ἐμοῦ, ἔφη, καὶ τῆς ἐμῆς οἰκίας*. Neque plane dis-

καλουμένοις, ὡς πιθανοῖς δὴ ἐν παντὶ οὖσι, καὶ ἐπὶ τὸ τιμωρήσασθαι μεγάλως τοὺς καὶ ἐπὶ μικροῖς ἐξελεγχθέντας, ὅτι καὶ τὰ μεγάλα ἂν ἐδόκουν αὐτῷ τῇ αὐτῇ γνώμῃ ἐξεργάσασθαι. Ὁ δὲ καὶ γάμους ἐποίησεν ἐν Σούσοις ἑαυτοῦ τε καὶ τῶν ἑταίρων· αὐτὸς μὲν τῶν Δαρείου θυγατέρων τὴν πρεσβυτάτην Βαρσίνην ἠγάγετο, ὡς λέγει Ἀριστόβουλος, καὶ ἄλλην πρὸς ταύτῃ, τῶν Ὤχου θυγατέρων

---

crepant quae dixit Appian. bell. civv. I, 9 *φθειρομένου δὲ κατ᾽ ὀλίγον εἰς ἀπορίαν καὶ ὀλιγανδρίαν.*

3. *καταφρονῆσαι*] Ante hoc verbum in edd. vett. et quattuor codd. inserta legebatur particula *καί*, quam recte explosit Schmiederus praeeunte codice F. Eiusdem corruptelae plura iam vidimus exempla, ut IV, 26, 13. VI, 26, 12 cet.

4. *τοὺς καὶ ἐπὶ μικροῖς ἐξελεγχθέντας*] Particula *καὶ*, quam praebent omnes codd. Gronovii et ed. Basil., primum omissa est a Vulcanio. Neque restituerunt eam editores ante Schmiederum. Contra articulus *τούς* desideratur in editione Basileensi. — De forma *μικρός* minus frequenti apud Arrianum vide ann. ad V, 3, 6.

5. *Ὁ δέ*] Similiter dixit III, 19, 7 *ὁ δὲ ἔτι μᾶλλον ἦγε σπουδῇ.* V, 24, 3 *ταῖς δὲ αἱ ἅμαξαι ἐμποδὼν ἦσαν.* Cf. quae dicta sunt ad VI, 26, 2. — Mox pro *ἑαυτοῦ* ed. Basil. *αὐτοῦ.* Forsitan rectius scripseris *αὑτοῦ* pro vulg. *ἑαυτοῦ.*

Βαρσίνην ἠγάγετο] „Darii filiae non Barsine, sed Statira nomen fuisse ceteri tradunt: Diodorus Sicul. XVII, 107. Curtius III, 5. Iustin. XII, 10. Plut. vit. Alex. c. 70. At Barsinen, Artabazi filiam et Memnonis coniugem facit idem scriptor, quae vidua Damasci capta ante nuptias regis consuetudinem cum rege habuerit. Ex ea natum fuisse filium, nomine Herculem, scribit Diodorus XX, 28. Curt. X, 6. Iustin. XI, 10 et XIII, 2. Verum aliud et singulare latet in Arriano. Manuarii nostri libri pro *Βαρσίνην* legunt *Ἀρσίνην*, unde promptum est eruere germanam lectionem, quae haec est, *Ἀρσινόην.* Auctor huius emendationis Photius, cuius verba sunt: *ἐπιτελεῖ δὲ καὶ γάμους αὑτοῦ τε καὶ τῶν ἑταίρων λαμπρούς, αὐτὸς μὲν τὴν πρεσβυτάτην τῶν Δαρείου παίδων, Ἀρσινόη αὐτῆς ὄνομα, ἀγόμενος.“* *Blancard.* Ad quae Schmiederus annotavit haec: „Speciosa est, inquit, ea emendatio, quam recipere tamen nolui, quia Gronovius nullam ex codicibus variantem notavit, et nomen Barsine Persicum est, non Graecum, ut Arsinoe.“ Si, quae habet Photius, vera sunt, Arriano relinquenda est forma nominis quae

τὴν νεωτάτην Παρύσατιν· ἤδη δὲ ἦν αὐτῷ ἠγμένη καὶ ἡ
6 Ὀξυδάρτου τοῦ Βακτρίου παῖς Ῥωξάνη. Δρύπετιν δὲ
Ἡφαιστίωνι δίδωσι Δαρείου παῖδα, καὶ ταύτην ἀδελφὴν
τῆς αὑτοῦ γυναικός· ἐθέλειν γάρ οἱ ἀνεψιοὺς τῶν παίδων
7 γενέσθαι τοὺς Ἡφαιστίωνος παῖδας. Κρατερῷ δὲ Ἀμα-
στρίνην τὴν Ὀξυάρτου τοῦ Δαρείου ἀδελφοῦ παῖδα, Περ-
δίκκᾳ δὲ τὴν Ἀτροπάτου τοῦ Μηδίας σατράπου παῖδα
8 ἔδωκε· Πτολεμαίῳ δὲ τῷ σωματοφύλακι καὶ Εὐμενεῖ τῷ
γραμματεῖ τῷ βασιλικῷ τὰς Ἀρταβάζου παῖδας, τῷ μὲν
9 Ἀρτακάμαν, τῷ δὲ Ἄρτωνιν. Νεάρχῳ δὲ τὴν Βαρσίνης
τε καὶ Μέντορος παῖδα· Σελεύκῳ δὲ τὴν Σπιταμένους τοῦ

---

est *Βαρσίνη*. Ex diversa enim huius nominis pronunciatione orta videtur. Cf. ann. ad V, 22, 5. VI, 15, 1, cet.

6. *τῆς αὑτοῦ γυναικός*] Vulgo minus recte *τῆς αὐτοῦ γυναικός*.

7. *Ἀμαστρίνην*] Verior nobis visa est haec vocis notatio, quae reperitur apud Phot. p. 68, b, 12, ed. Bekk., quam vulgata *Ἀμαστρινήν*. „Solitum fuit, ut eadem, cuius nomen terminabatur in i s, etiam terminaretur in i n e, ut dedi exempla ad Ammian. Marcellin. XVI, 7. Itaque nec corruptum id nomen dici debet, nec mutari potest.“ *Gronovius*. — Infra ed. Basil. *Μηδείας*, de qua forma vide ann. ad VII, 13, 4.

καὶ Εὐμενεῖ] Ita constanter notatur hoc nomen apud Arrianum. Schaeferus apud Plutarchum t. II, p. 466 sq. Coraen secutus ubique dedit *Εὐμένους, Εὐμένει, Εὐμένη*. Eandemque rationem secutus est Bekkerus apud Photium l. l., Perizonius apud Ael. vv. hh. III, 23 et Wesselingius apud Diod. Sicul. XIX, 39. 40 cet. Similiter etiam Bekkerus ubique scribi iussit apud Photium *Κράτερος* pro vulg. *Κρατερός*. Cf. Schaef. ad Plutarchi vitt. t. V, p. 259. Num autem recte hoc factum putas? Grammaticos veteres certe haec duo nomina a ceteris nominibus propriis quae nata sunt ex adiectivis, diserte excepisse nota res est. Et vulgo sic pronunciata fuisse ista nomina, ut accentus esset in ultima syllaba, iamiam inde clarum fit, quod in codd. et edd. vett. ubique fere syllaba illa notata reperitur. Quidni enim etiam scripsere *Διογενής, Εὐπειθής, Ἐραστός* —, sed *Διογένης, Εὐπείθης* cet.? Tutius igitur visum est intacta relinquere quae solis veterum grammaticorum testimoniis nituntur neque certo sciri possunt, quam pro libito temere immutare quia minus commoda videantur.

8. *τῷ μὲν Ἀρτακάμαν, τῷ δὲ Ἄρτωνιν*] Pro *Ἄρτωνιν* apud Phot.

Βακτρίου παῖδα. ὡσαύτως δὲ καὶ τοῖς ἄλλοις ἑταίροις
τὰς δοκιμωτάτας Περσῶν τε καὶ Μήδων παῖδας, ἐς ὀγ-
δοήκοντα. Οἱ γάμοι δὲ ἐποιήθησαν νόμῳ τῷ Περσικῷ· 10
θρόνοι ἐτέθησαν τοῖς νυμφίοις ἐφεξῆς καὶ μετὰ τὸν πότον
ἧκον αἱ γαμούμεναι, καὶ παρεκαθέζοντο ἑκάστη τῷ ἑαυ-
τῆς· οἱ δὲ ἐδεξιώσαντό τε αὐτὰς καὶ ἐφίλησαν· πρῶτος
δὲ ὁ βασιλεὺς ἦρξεν· ἐν τῷ αὐτῷ γὰρ πάντων ἐγίγνοντο
οἱ γάμοι· καὶ τοῦτο εἴπερ τι ἄλλο ἔδοξε δημοτικόν τε 11
καὶ φιλέταιρον πρᾶξαι Ἀλέξανδρον· οἱ δε παραλαβόντες
ἀπῆγον τὴν ἑαυτοῦ ἕκαστος· προῖκας δὲ ξυμπάσαις ἐπέδω-
κεν Ἀλέξανδρος. Καὶ ὅσοι δὲ ἄλλοι ἠγμένοι ἦσαν Μακε- 12

---

1. l. legitur *Ἀρτώνην*, nescio an rectius. Praeterea dedi *Ἀρτακάμαν*, mutata notatione, pro vulg. *Ἀρτακαμᾶν*, editionem Basileensem secutus atque Photium. Totum tamen hoc nomen suspectum est. Alibi enim *Ἀρτακάμας* viri nomen est, ut apud Xenoph. Anab. VII, 8, 25. Cyropaed. II, 1, 5. Quibus adde quae de his nuptiis narrat Plutarchus in vit. Eumen. c. I *Βαρσίνην γὰρ τὴν Ἀρταβάζου πρώτην ἐν Ἀσίᾳ γνοὺς ὁ Ἀλέξανδρος, ἐξ ἧς υἱὸν ἔσχεν Ἡρακλέα, τῶν ταύτης ἀδελφῶν Πτολεμαίῳ μὲν Ἀπάμαν, Εὐμένει δὲ Βαρσίνην ἐξέδωκεν, ὅτε καὶ τὰς ἄλλας Περσίδας διένειμε καὶ συνῴκισε τοῖς ἑταίροις.* Vide Hasium ad h. l. apud Schaef. ann. crit. t. V, p. 196.

9. *Νεάρχῳ δὲ — Σελεύκῳ δὲ*] Pleniorem reddidit hunc locum Gronovius ope codicis F. Verba enim *Βαρσίνης τε — Σελεύκῳ δέ* male omissae sunt in edd. vett. et quattuor codd. Gronovii. „Et potest *Barsine* fuisse nomen variarum feminarum, prout certe statui oportet, et tum Mentori, tum Memnoni fuisse hoc nomine coniugem prout de Memnone scribit Plutarchus (vit. Alex. c. 21. E.), quem citavit Freinshemius in Curtianis ad III, 13, 14." *Gronov.*

10. *μετὰ τὸν πότον*] Hanc scripturam notasse se testatur Gronovius e duobus codicibus. Nec discedunt edd. Basil. et Vulcan. *κατὰ τὸν πότον* solus Blancardus, typorum lapsu, ut suspicatus iam est Gronovius.

11. *ἔδοξε — Ἀλέξανδρον*] Sic omnes codd. Gronovii. *Ἀλέξανδρος* edd. vett. Cf. III, 16, 3 *ὅτι ἐδόκει τὴν ἐπὶ Σούσων ἥξειν — Ἀλέξανδρον.* Vide ann. ad III, 18, 19. — Infra ed. Basil. *προίκας*, ut supra eadem *πράξαι.*

12. *καὶ τούτοις — Ἀλεξάνδρῳ ἐδόθησαν*] Vulgata fuit *Ἀλεξάνδρου.* Quae quamvis ferri possit, tamen minus expedita est neque Arria-

δόνες τῶν Ἀσιανῶν τινας γυναικῶν, ἀπογραφῆναι ἐκέλευσε καὶ τούτων τὰ ὀνόματα, καὶ ἐγίγνοντο ὑπὲρ τοὺς μυρίους· καὶ τούτοις δωρεαὶ Ἀλεξάνδρῳ ἐδόθησαν ἐπὶ τοῖς γάμοις.

V. Καὶ τὰ χρέα ἐπιλύσασθαι τῆς στρατιᾶς ὅσοις χρέα ἦν, ἐν καιρῷ οἱ ἔδοξε· καὶ κελεύει ἀπογράφεσθαι ὁπόσον
2 ὀφείλει ἕκαστος, ὡς ληψομένους. Καὶ τὰ μὲν πρῶτα ὀλίγοι ἀπέγραψαν σφῶν τὰ ὀνόματα, δεδιότες ἐξ Ἀλεξάνδρου μὴ πεῖρα αὕτη εἴη καθειμένη, ὅτῳ οὐκ ἀποχρῶσα ἡ μισθοφορὰ τῶν στρατωτῶν ἐστι καὶ ὅτῳ πολυτελὴς ἡ
3 δίαιτα· ὡς δὲ ἐξήγγελτο ὅτι οὐκ ἀπογράφουσι σφᾶς οἱ πολλοί, ἀλλ' ἐπικρύπτουσιν ὅτῳ τι εἴη συμβόλαιον, τὴν μὲν ἀπιστίαν τῶν στρατιωτῶν ἐκάκισεν· οὐ γὰρ χρῆναι οὔτ' οὖν τὸν βασιλέα ἄλλο τι ἢ ἀληθεύειν πρὸς τοὺς ὑπηκόους, οὔτε τῶν ἀρχομένων τινὰ ἄλλο τι ἢ ἀληθεύειν

---

neo stilo conveniens. Unde mutatione facillima dedi Ἀλεξάνδρῳ, nisi forte praestat scribi ὑπ' Ἀλεξάνδρου. Coniecturam nostram firmant qualia leguntur II, 3, 14 ὅπως ἐπράχθη τῷ Ἀλεξάνδρῳ. III, 21, 16 πρὶν ὀφθῆναι Ἀλεξάνδρῳ. IV, 9, 6 ὅτι ἡ θυσία ἐξελείφθη Ἀλεξάνδρῳ. Similiter peccatum esse a librariis observavimus in ann. ad I, 27, 6.

C. V. 3. *οὐ γὰρ χρῆναι οὔτ' οὖν*] Particulae *οὔτ' οὖν* sic compositae nescio quid habent offensionis. Nec tamen mutare quidquam ausim, cum plane gemina duo possim affere ex Arriano exempla. Unum legitur in Expedit. VII, 14, 4 *ὡς οὐ πρέποντα οὔτ' οὖν βασιλεῖ, οὔτε Ἀλεξάνδρῳ*. Alterum in Hist. Ind. XXXVI, 4 *οὐκέτι θέλω τὸ πρόσω οὔτ' οὖν κινδυνεύειν, οὔτ' οὖν ταλαιπωρέεσθαι*. Paulo aliter iam habent quae scripsit Arrianus VI, 26, 8 *οὔτ' οὖν δένδρα ξυνήθη — πεφυκότα, οὔτε τινὰ γήλοφον*. Neque huc trahi potest exemplum Hoogeweenio de particc. p. 665, ed. Schuetz. allatum ex Platon. Rpbl. VI, p. 492, E. *οὔτε γὰρ γίγνεται, οὔτε γέγονεν, οὐδὲ οὖν μὴ γένηται*. Ibi enim recte concludit sententiam particula *οὖν*.

οὔτε τῶν ἀρχομένων τινὰ — τὸν βασιλέα] Hoc dicit Arrianus: *neque subiectorum quemquam aliud quid debere existimare, quam regem esse veracem.* — Pro *ἄλλο τι* altero in ed. Basil. legitur *ἀλλ' ὅτι*. Et supra in eadem ex nota literarum confusione expressum est *εἴη ἀληθεύειν πρὸς τούς*. Vide ann. ad III, 9, 8.

4. *καὶ τοὺς ἐπιμελησομένους — τὰ ὀνόματα*] Bene Vulcanius: *et constitutis qui largitionem illam administrarent, omnium qui rationes contractusque suos afferrent nomina dissolvi iussit, ne nominibus qui-*

δοκεῖν τὸν βασιλέα· καταθεὶς δὲ τραπέζας ἐν τῷ στρατοπέδῳ καὶ ἐπὶ τούτων χρυσίον, καὶ τοὺς ἐπιμελησομένους τῆς δόσεως ἑκάστοις, ὅστις συμβόλαιον ἐπεδείκνυτο, ἐπιλύεσθαι τὰ χρέα ἐκέλευεν, οὐκ ἀπογραφομένους ἔτι τὰ ὀνόματα. Καὶ οὕτω δὴ ἐπίστευσάν τε ἀληθεύειν 5 Ἀλέξανδρον, καὶ σὺν χάριτι μείζονι ἐγίγνετο αὐτοῖς τὸ μὴ γνωσθῆναι μᾶλλόν τι ἢ τὸ παύσασθαι ὀφείλοντας. 6 Λέγεται δὲ γενέσθαι ἡ δόσις αὕτη τῇ στρατιᾷ ἐς τάλαντα δισμύρια. Ἔδωκε δὲ καὶ δῶρα ἄλλοις ἄλλα, ὅπως τις κατ' ἀξίωσιν ἐτιμᾶτο ἢ κατ' ἀρετὴν εἴ τις ἐπιφανὴς ἐγεγόνει ἐν τοῖς κινδύνοις. Καὶ ἐστεφάνωσε χρυσοῖς στε- 7 φάνοις τοὺς ἀνδραγαθίᾳ διαπρέποντας· πρῶτον μὲν Πευκέσταν τὸν ὑπερασπίσαντα· ἔπειτα Λεοννάτον, καὶ τοῦ- 8 τον ὑπερασπίσαντα, καὶ διὰ τοὺς ἐν Ἰνδοῖς κινδύνους

4

---

dem debitorum conscriptis. Unde fallitur Raphelius scribens: „οὐκ ἀπογραφομένους, qui diribitores non amplius conscriberent debitorum nomina, quod antea fecerant, certe facere iussi erant." Quasi ἀπογραφομένους h. l. dictum sit de diribitoribus nomina conscribentibus, neque de militibus nomina sua profitentibus. Constructio inde aliquantum impedita est, quod numeri variati sunt. Nimirum de iisdem primum dicitur ἑκάστοις, deinde ὅστις, denique ἀπογραφομένους. Vide quae supra diximus in annot. ad VII, 3, 9 coll. Matth. in Gr. Gr. ub. p. 603, init. et p. 890.

6. ἢ κατ' ἀρετὴν εἴ τις ἐγεγόνει] Hic εἴ τις idem fere valet quod alias est ὅστις. Cf. II, 15, 4 ἥντινα ἠδύναντο ὠφέλειαν εὑρισκόμενοι καὶ εἰ δή τινα καὶ τῇ πατρίδι. VII, 19, 3 ὅσους δὲ ἀνδριάντας ἢ ὅσα ἀγάλματα ἢ εἰ δή τι ἄλλο ἀνάθημα — ἀνεκόμισεν. Unde nollem cl. Wernsdorfius apud Himer. Orat. XXIII, p. 770 pro vulgato πᾶν εἴ τι κάλλιστον τῶν — δοκούντων scriptum maluisset πᾶν ὅ τι. Cf. Xenoph. Ephes. IV, 1, p. 75. Loc. πᾶν εἴ τι ἐμποδὼν λάβοιεν cum ann. Abreschii p. 242. Similiter Latinos usos esse *si qui* pro *quicunque* inter alios monuit Goerenz. ad Cic. Finn. I, 8, 26.

7. τοὺς ἀνδραγαθίᾳ διαπρέποντας] h. e. *qui praeclaro facinore edito insignes essent.* Similiter dixit Diod. Sic. XV, 80 ἀνδρείᾳ διάφορον. XVI, 23 θράσει διαφέρων. XVII, 20 ἀρεταῖς διαφόρους (al. διαφέροντας). XVII, 100 ῥώμῃ διαφέρων. Paulo aliter adornavit orationem suam Arrianus II, 10, 4 ὅσοι κατ' ἀξίωσιν ἢ τινα ἀρετὴν γνωριμώτεροι ἦσαν.

8. τῶν τε Ὠρειτῶν] Sic omnes edd. praeter ed. Basil., ubi legi-

καὶ τὴν ἐν Ὥροις νίκην γενομένην, ὅτι παραταξάμενος σὺν τῇ ὑπολειφθείσῃ δυνάμει πρὸς τοὺς νεωτερίζοντας τῶν τε Ὠρειτῶν καὶ τῶν πλησίον τούτων ᾠκισμένων, τῇ τε μάχῃ ἐκράτησε καὶ τἄλλα καλῶς ἔδοξε τὰ ἐν Ὥροις
9 *κοσμῆσαι. Ἐπὶ τούτοις δὲ Νέαρχον ἐπὶ τῷ περίπλῳ τῷ ἐκ τῆς Ἰνδῶν γῆς κατὰ τὴν μεγάλην θάλασσαν ἐστεφάνωσε· καὶ γὰρ καὶ οὗτος ἀφιγμένος ἤδη ἐς Σοῦσα ἦν· ἐπὶ τούτοις δὲ Ὀνησίκριτον τὸν κυβερνήτην τῆς νεὼς τῆς βασιλικῆς· ἔτι δὲ Ἡφαιστίωνα καὶ τοὺς ἄλλους σωματοφύλακας.*

VI. *Ἧκον δὲ αὐτῷ καὶ οἱ σατράπαι, οἱ ἐκ τῶν πόλεών τε τῶν νεοκτίστων καὶ τῆς ἄλλης γῆς τῆς δορυαλώτου, παῖδας ἡβάσκοντας ἤδη ἐς τρισμυρίους ἄγοντες, τὴν αὐτὴν ἡλικίαν γεγονότας (οὓς [καὶ] ἐπιγόνους ἐκάλει Ἀλέξανδρος), κεκοσμημένους Μακεδονικοῖς ὅπλοις καὶ τὰ πο-*

---

tur *τῶν τε Ὠριτῶν* (sic). Eadem tamen VI, 21, 6 recte exhibet *Ὠρείταις*. Breviorem formam *Ὠρῖται* commendavit Eustathius ad Dionys. Perieg. v. 1095, unde transiit in novissimas Strabonis editiones (vid. Bernh. ad Dion. l. l. p. 814). Nec potuit Wesselingius quin invitis codicibus et editionibus eandem hanc formam intruderet Diodoro XVII, 105 fin. Nobis persuadere non potuit Eustathius. — Eandem rem narrat Arrianus Hist. Ind. c. XLII, 9 *ἔνθα καὶ χρυσῷ στεφάνῳ στεφανοῦται ἐξ Ἀλεξάνδρου Νέαρχός τε καὶ Λεοννάτος —· Λεοννάτος δὲ ἐπὶ τῇ νίκῃ, ἣν Ὠρείτας τε ἐνίκησε καὶ τοὺς Ὠρείταις προσοικέοντας βαρβάρους.*

τῶν πλησίον τούτων] Edd. vett. cum quattuor codicibus *τῶν πλησίον τούτοις*. Schmied. e cod. F. *πλησίον τούτων*. Recte. Cf. I, 13, 4 *πλησίον ἡμῶν*. I, 23, 3 *ταῖς πλησίον τοῦ τείχους*. VII, 7, 3 *πλησίον ὢν τῆς ἐκβολῆς*.

9. *ἀφιγμένος ἤδη — ἦν*] In ed. Bas. verborum ordine paululum immutato legitur *ἀφιγμένος — ἦν ἤδη*. Vide ann. ad I, 20, 5. — Infra eadem *τοὺς ἄλλους τοὺς σωματοφύλακας*. Quod ferri non potest. Cf. VI, 28, 6.

C. VI. *οὓς [καὶ] ἐπιγόνους ἐκάλει*] Non male edd. vett. et quattuor codd. Gronovii *οὓς καὶ ἐπιγόνους*. Particulam *καί* omisit Schmiederus codicem F. secutus. Quod facere non ausus uncis eam includi iussi.

3. *ἄλγος οὐ σμικρόν*] Edd. vett. *ἄλογον οὐ σμικρόν*. Quod dedi-

λέμια ἐς τὸν τρόπον τὸν Μακεδονικὸν ἠσκημένους. Καὶ 2
αὐτοὶ ἀφικόμενοι λέγονται ἀνιᾶσαι Μακεδόνας, ὡς πάντα
δὴ μηχανωμένου Ἀλεξάνδρου ὑπὲρ τοῦ μηκέτι ὡσαύτως
δεῖσθαι Μακεδόνων· εἶναι γὰρ οὖν καὶ Μηδικὴν τὴν Ἀλεξ- 3
άνδρου στολὴν ἄλγος οὐ σμικρὸν Μακεδόσιν ὁρωμένην·
καὶ τοὺς γάμους ἐν τῷ νόμῳ τῷ Περσικῷ ποιηθέντας οὐ
πρὸς θυμοῦ γενέσθαι τοῖς πολλοῖς αὐτῶν, οὐδὲ τῶν γη-
μάντων ἔστιν οἷς, καίτοι τῇ ἰσότητι τῇ ἐς τὸν βασιλέα
μεγάλως τετιμημένοις. Πευκέστας τε ὁ Περσῶν σατρά- 4
πης τῇ τε σκευῇ καὶ τῇ φωνῇ Περσίζων ἐλύπει αὐτούς,
ὅτι τῷ βαρβαρισμῷ αὐτοῦ ἔχαιρεν Ἀλέξανδρος· καὶ οἱ 5
Βακτρίων δὲ καὶ οἱ Σογδιανῶν καὶ Ἀραχωτῶν ἱππεῖς καὶ
Δραγγῶν δὲ καὶ Ἀρείων καὶ Παρθυαίων, καὶ ἐκ Περσῶν
οἱ Σάκαι καλούμενοι ἱππεῖς, καταλοχισθέντες εἰς τὴν
ἵππον τὴν ἑταιρικὴν ὅσοι αὐτῶν κατ᾿ ἀξίωσιν καὶ κάλλει

---

mus cum Schmiedero, praebuere non solum omnes codd. Gronovii, verum etiam V. C. Vulcanii.

οὐ πρὸς θυμοῦ γενέσθαι] Ed. Basil. *προθύμους*, corrupte. In vet. cod. Stephani legebatur *γενομένους οὐ πρὸς θυμοῦ.* Quomodo nunc legitur, ita iam correxit Vulcanius. Cf. III, 4, 8 *ὅσα αὐτῷ πρὸς θυμοῦ ἦν* et ann. ad IV, 12, 1. — Mox ed. Basil. *οὐ δέ.*

5. *οἱ Σάκαι καλούμενοι*] Edd. omnes *οἱ Εὐάκαι καλούμενοι.* „Est hic alter locus, quem pro deposito nobis tradiderunt librarii, nescio unde nimium proclives in diphthongum *ευ*, et nunc quidem sic de compacto agentes, ut nulla varietate eum insigniverint, omnibus codicibus hanc falsam et ineptam appellationem tutantibus inique prorsus. Quod proxime vulgatum veniret, sunt Pliniani *Euazae,* sed hi circa Tanaim ac Maeotin, ut Persae vel Persarum equites soliti esse non possint. Unice igitur bonum est *Σάκαι*, nec ego dubito, quin sic ab Arriano venerit. Hos semper in Persica militia invenio, et fuerunt Dario obstricti foedere ad militandum, erantque equites et sagittando maxime excellebant. Supra noster III, 8, 5 *εἵποντο δὲ αὐτοῖς καὶ Σάκαι, Σκυθικὸν τοῦτο τὸ γένος τῶν τὴν Ἀσίαν ἐποικούντων Σκυθῶν — · αὐτοὶ δὲ ἱπποτοξόται ἦσαν.* Nabarzanes ad Darium in concilio apud Curtium V, 8 *Indi et Sacae in tua potestate, Bactra intacta sunt.* Xenoph. Cyrop. V, p. 375 (V, 3, 22) *Σακῶν δὲ τοξόται εἰς μυρίους, καὶ ἱπποτοξόται εἰς δισχιλίους.* Et quam perpetui illi seu foederati seu mercenarii inter Persas fuerint, docet tum oratio Alexandri mox eos nomi-

6 τοῦ σώματος ἢ τῇ ἄλλῃ ἀρετῇ ὑπερφέροντες ἐφαίνοντο·
καὶ πέμπτη ἐπὶ τούτοις ἱππαρχία προσγενομένη, οὐ βαρ-
βαρικὴ ἡ πᾶσα, ἀλλὰ ἐπαυξηθέντος γὰρ τοῦ παντὸς
7 ἱππικοῦ κατελέγησαν ἐς αὐτὸ τῶν βαρβάρων· τῷ τε
ἀγήματι προσκαταλεγέντες Κωφήν τε ὁ Ἀρταβάζου καὶ
Ὑδάρνης καὶ Ἀρτιβόλης οἱ Μαζαίου, καὶ Σισίνης καὶ

---

nantis c. 10, 11, tum *Σακῶν ἑορτή* illic celebrata et ex Dione Chrysostomo pag. 66 or. IV commemorata Brissonio p. 187 de regno Persarum. Sed notiores hi sunt, quam ut plura de iis colligere debeam. Nec dubium mihi ullum est, quin eosdem in exercitum suum postea allegerit Alexander, et hi ipsi sint de quibus hoc libro c. 12 (imo V, 12, 3. E) *αὐτὸς δὲ ἐπιλεξάμενος τοὺς ἐκ Βάκτρων καὶ Σογδιανῶν, καὶ τοὺς Σκύθας ἱππέας καὶ Δάας τοὺς ἱπποτοξότας.* Modo non et *Σάκας* ibi scripserit, sed eos miscet ut in proeliis Darii." *Gronov.* Non multum habeo quod addam. Apud Xenoph. Cyropaed. VIII, 3, 18 *Σάκαι* memorantur una cum *Medis*, *Hyrcaniis*, *Armeniis* et *Cadusiis*. Ac pertinebant hi *Sacae* ad *Scythas*, ut Arrianus ipse supra citatus testatur et Herodotus VII, 64 *τούτους δὲ ἐόντας Σκύθας Ἀμυργίους Σάκας ἐκάλεον· οἱ γὰρ Πέρσαι πάντας τοὺς Σκύθας λέγουσι Σάκας.* Cf. Baehr. ad Ctes. fragm. p. 95. sq. et Bernhard. ad Dionys. Perieg. p. 750. Unde recte addidit Arrianus participium *καλούμενοι*, ut II, 8, 9 *ἐπὶ δὲ τούτοις τῶν Καρδάκων καλουμένων — ἐς ἑξακισμυρίους.* IV, 16, 6 *τῶν Σκυθῶν τῶν Μασσαγετῶν καλουμένων.*

3. *πότερα τῇ τοῦ πόντου τοῦ Εὐξείνου*] sc. *συμβάλλει.* — Paulo infra ed. Basil., ut saepe alibi, *καθάπερ οὖν.* Verbum *ἀναχεῖσθαι,* quod supra positum *de mari in alterum mare profluente,* variandae orationis causa dixisse videtur Arrianus. Alias enim significationem habet *diffundendi.* Cf. V, 5, 7 *ἢ εἰς τενάγη ἀναχεόμενοι ἀφανίζονται.* VI, 18, 11 *ἵναπερ ἀναχεῖται ἐς εὖρος ὁ ποταμός.* VI, 20, 11 *ἥντινα ἀναχεόμενος ὁ ποταμός — μεγάλην ποιεῖ.* VI, 25, 1 *ἵναπερ αἱ νεφέλαι ἀναχέονται.* Et sic etiam dixit Plutarch. vit. Aem. Paul. c.14 *ἀπαντῶσι ποταμοῖς, οὐ κατ' ὀλίγον συλλεγομένοις, ἀλλ' ἀθρόοις ἀναχεομένοις.* — De formis *ἐρυθρός* et *ἐρυθραῖος* vide Salmas. ad Solin. p. 341. Wernsdorf. ad Himer. Eclog. XIII, p. 230.

4. *οὐ γάρ πω ἐξεύρηντο*] Edd. vett. et quattuor codd. Gronovii *ἐξεύρηνται.* Plusquamperfectum suppeditavit cod. F. Quod Vulcanius iam in interpretatione sua expressit: *neque enim adhuc inventa erant Caspii maris initia.* Eadem tempora in edd. et codd. confusa notavi ad IV, 27, 10.

αὐτὴν οἰκούντων] Minus usitate dictum hoc est de gentibus *prope mare* habitantibus. Accusativum enim nudum tum tantum compositum vidi cum hoc verbo et verbo *ἐποικεῖν*, cum de *terrae s. urbis* incolis sermo est. Vide I, 28, 4. II, 7, 10. III, 8, 5. III, 28, 13.

οὐκ ὀλίγων καὶ ποταμῶν πλοΐμων ἐμβαλλόντων εἰς αὐ-
5 τήν. Ἐκ Βάκτρων μὲν Ὦξος ποταμὸς μέγιστος τῶν Ἀσιανῶν ποταμῶν πλήν γε δὴ τῶν Ἰνδῶν ἐξίησιν ἐς ταύτην τὴν θάλασσαν, διὰ Σκυθῶν δὲ Ἰαξάρτης. Καὶ τὸν Ἀράξην δὲ τὸν ἐξ Ἀρμενίας ῥέοντα ἐς ταύτην ἐσβάλλειν ὁ
6 πλείων λόγος κατέχει. Μέγιστοι μὲν οὗτοι· πολλοὶ δὲ καὶ ἄλλοι ἔς τε τούτους ἐμβάλλοντες καὶ αὐτοὶ ἐπὶ σφῶν ἐς τὴν θάλασσαν ταύτην ἐξιᾶσιν, οἱ μὲν καὶ γινωσκόμενοι πρὸς τῶν ἀμφ' Ἀλέξανδρον ἐπελθόντων τὰ ἔθνη

---

5. *Ὦξος ποταμὸς μέγιστος* —] Vocem *ποταμός*, quam neque agnoscunt edd. vett. nec quattuor codd. Gronovii, Schmiederus inseruit ex auctoritate codicis F. Recte. Ceterum confer III, 29, 4 *ὁ δὲ Ὦξος ῥέει μὲν ἐκ τοῦ ὄρους τοῦ Καυκάσου, ἔστι δὲ ποταμῶν μέγιστος τῶν ἐν τῇ Ἀσίᾳ — πλὴν τῶν Ἰνδῶν ποταμῶν.* Strab. XI, p. 427, ed. ster. *Ἀριστόβουλος δὲ μέγιστον ἀποφαίνει τὸν Ὦξον τῶν ἑωραμένων ὑφ' ἑαυτοῦ κατὰ τὴν Ἀσίαν, πλὴν τῶν Ἰνδικῶν.* Pro *Ὦξος* in edd. vulgg. legi hoc loco *Ὄξος* iam supra diximus ad VII, 10, 12. — Infra scripsimus *Ἰαξάρτης* pro vulg. *Ὀξυάρτης*, Schmiederum secuti, cuius annotationem vide ad III, 30, 13 allatam.

τὸν ἐξ Ἀρμενίας ῥέοντα] Edd. vett. et quattuor codd. Gronovii *τὸν ἐξ Ἀρμενίων ῥέοντα.* „Ms. Opt. *Ἀρμενίας*, ut in Indicis c. XLII, 3 *Τίγρης — ὅς ῥέων ἐξ Ἀρμενίης.*" *Gronov.* Recte. Vide ann. ad III, 30, 12. Nec tamen negaverim etiam vulgatam scripturam probabilem esse. Cf. Herodot. II, 17 *ὁ γὰρ δὴ Νεῖλος ἀρξάμενος ἐκ τῶν Καταδούπων.* Et sic alibi. — Paulo supra ed. Bas. *Ἄραξιν.*

6. *ἔς τε τούτους ἐμβάλλοντες — ἐξιᾶσιν*] Schmiederus ex auctoritate codicis F. dedit *κατίασιν* (sic). In edd. vett. et reliquis codd. Gronovii legitur *ἐξίασιν*, quod restituimus, ita tamen ut accentum mutaverimus. Verbum *ἐξιέναι* solum recte habere demonstratum nobis est in annot. ad III, 30, 15. Supra pro *πολλοὶ δὲ καὶ ἄλλοι*, quod solus habet cod. F., in edd. vett. et quattuor codd. Gronovii plenius paulo legitur *πολλοὶ δὲ δὴ καὶ ἄλλοι.* Non inepte. Vide enim ann. ad V, 7, 9. V, 28, 1 et VII, 8, 4. — Deinde dedimus cum Schmiedero e cod. F. et duobus aliis codd. Gronovii *ἔς τε τούτους*, cum vulgo legebatur *ἐς τούτους.* Ac recte id fecisse nobis videmur. Nam arctissime cohaerent verba *ἔς τε τούτους ἐμβάλλοντες καὶ αὐτοὶ ἐπὶ σφῶν* cum *ἐξιᾶσιν*, ut hic sit loci sensus: *tum illabentes in hos fluvios, tum ipsi seorsum in hoc mare exeunt.*

ταῦτα, οἱ δὲ κατὰ τὰ ἐπέκεινα τοῦ κόλπου ὡς εἰκὸς κατὰ τοὺς Σκύθας τοὺς Νομάδας ὃ δὴ ἄγνωστον πάντη ἐστίν. Ἀλέξανδρος δὲ ὡς τὸν Τίγρητα ποταμὸν ξὺν τῇ 7
στρατιᾷ διέβη ἐλαύνων ἐπὶ Βαβυλῶνος, ἐνταῦθα ἐντυγχάνουσιν αὐτῷ Χαλδαίων οἱ λόγιοι· καὶ ἀπαγαγόντες ἀπὸ τῶν ἑταίρων ἐδέοντο ἐπισχεῖν τὴν ἐπὶ Βαβυλῶνος ἔλασιν. Λόγιον γὰρ γεγονέναι σφίσιν ἐκ τοῦ θεοῦ τοῦ 8
Βήλου, μὴ πρὸς ἀγαθοῦ οἱ εἶναι τὴν πάροδον τὴν ἐς Βαβυλῶνα ἐν τῷ τότε· τὸν δὲ ἀποκρίνασθαι αὐτοῖς λό-

---

κατὰ τοὺς Σκύθας τοὺς Νομάδας] Edd. vett. cum quattuor codd. Gronovii *ἐς τοὺς Σκύθας τοὺς Νομάδας.* „Omnino aliquid turbae. Neque enim hic agitur, an quidam fluvii ultra sinum in Scythas Nomadas labantur (quae locutio nugatoria est), sed an per Scythas illos labantur in mare Caspium. Negari non potest, duntaxat hoc verum esse, quod notavi in cod. Opt. legi *κατὰ τοὺς Σκύθας*, ut aut id ipsum retineri debeat, duplicante frequenter Arriano eandem praepositionem et iterante in vario sensu, aut forsitan transpositio particularum sic facienda sit, *οἱ δὲ ἐς τὰ ἐπέκεινα — κατὰ τοὺς Σκύθας, partim in alteram sinus partem, nempe apud Nomadas Scythas, quae gens plane incognita.*" *Gronov.* Verissima est quam e cod. F. nobiscum communicavit lectionem Gronovius. Cf. VI, 3, 10 *καὶ τῶν ἅμα Διονύσῳ βακχευσάντων κατὰ τὴν Ἰνδῶν γῆν.* VII, 21, 4 *εἰ μή τις ἀναστομώσας αὐτὸν κατὰ τὸν Παλλακόπαν ἐς τὰ ἕλη ἐκτρέψειε.* — Pro *κατὰ τὰ ἐπέκεινα* simplicius dixit IV, 6, 10 *ἐντεῦθεν ἤδη τὸ ἐπέκεινα ἔρημος ἡ χώρα ἐστίν.*

7. *Χαλδαίων οἱ λόγιοι*] „Nihil est quod in his vituperes. Et tamen Ms. Optimus videtur velle *Χαλδαίων ὀλίγοι.*" *Gronov.* Iam ex his vides quam infirma sit unius vel optimi codicis auctoritas! *Χαλδαίων οἱ λόγιοι* sunt *Chaldaeorum qui periti erant rerum divinarum.* Hist. Ind. I, 7 *λόγιοι* vocantur *qui antiquae historiae sunt periti*, plane ut dixit Herodotus I, 1 *τῶν Περσέων οἱ λόγιοι* et Plut. Sull. c. VII *ταῦτα μὲν οὖν οἱ λογιώτατοι Τυῤῥηνῶν — ἐμυθολόγουν.* Voces *οἱ λόγοι* et *ὀλίγοι* confusas notavit Iacobs. Append. ad Pors. Adverss. p. 301. ad Anthol. Palat. t. III, p. 554. Vocabula *λόγιοι* et *λόγοι* confusa vidimus apud Aelian. hist. animall. p. 339, 12. 362, 17, ed. Iacobs.

8. *Λόγιον γὰρ γεγονέναι*] Vocabulum *λόγιον* illustravit Locell. ad Xenoph. Ephes. p. 152. Cf. Arriani II, 3, 14 *ὡς τοῦ λογίου τοῦ ἐπὶ τῇ λύσει τοῦ δεσμοῦ ξυμβεβηκότος.*

γον, τοῦ Εὐριπίδου τοῦ ποιητοῦ ἔπος· ἔχει δὲ τὸ ἔπος Εὐριπίδῃ ὧδε·

Μάντις δ' ἄριστος ὅστις εἰκάζει καλῶς.

9 Σὺ δέ, ὦ βασιλεῦ, ἔφασαν οἱ Χαλδαῖοι, μὴ πρὸς δυσμὰς ἀφορῶν αὐτὸς μηδὲ τὴν στρατιὰν ταύτῃ ἐπέχουσαν ἄγων
10 παρελθεῖν, ἀλλὰ ἐκπεριελθὼν πρὸς ἕω μᾶλλον· τῷ δὲ οὐδὲ τοῦτο εὐμαρὲς διὰ δυσχωρίαν ξυνέβη· ἀλλὰ ἦγε γὰρ αὐτὸν ταύτῃ τὸ δαιμόνιον ᾗ παρελθόντα ἐχρῆν ἤδη τελευ-
11 τῆσαι. Καί που τυχὸν καὶ ἄμεινον αὐτῷ ἦν ἐν ἀκμῇ τῆς τε ἄλλης δόξης καὶ τοῦ πόθου τοῦ παρ' ἀνθρώπων

ἔχει δὲ τὸ ἔπος Εὐριπίδῃ ὧδε] Ed. Basil. Εὐριπίδου. Minus apte. Cf. Herodot. VIII, 20 Βάκιδι γὰρ ὧδε ἔχει περὶ τούτων ὁ χρησμός. Vide quae de huius dativi ratione docte annotavit Bernhard. Wissensch. Synt. p. 80. Praeterea consule quae de eadem re narrantur Appian. bell. civv. II, 153 — τοῦ δὲ τὸ ἰαμβεῖον εἰπόντος, ὅτι μάντις ἄριστος ὅστις εἰκάζει καλῶς, δεύτερα γοῦν οἱ Χαλδαῖοι παρεκάλουν μὴ εἰς δύσιν ὁρῶντα μετὰ τῆς στρατιᾶς ἐσελθεῖν.

9. Σὺ δέ, ὦ βασιλεῦ —] Ed. Basil. σὺ δ', ὦ βασιλεῦ. — Mox eadem μὴ δέ.

ἦγε γὰρ — τὸ δαιμόνιον] Sic Arrian. II, 6, 9 καί τι καὶ δαιμόνιον τυχὸν ἦγεν αὐτόν. Xenoph. Hist. Gr. VI, 4, 2 ἤδη τὸ δαιμόνιον ἦγεν. Dionys. Halicarn. VII, 4 καί τι καὶ τοῦ δαιμονίου κεραυνοῖς καὶ ὕδασι καὶ βρονταῖς συναγωνισαμένου τοῖς Ἕλλησιν. Cf. Dorv. ad Charit. p. 518.

11. καί που τυχὸν καί] Cf. VI, 3, 7 καί που καὶ νάπαι ἑκατέρωθεν τοῦ ποταμοῦ — ξυνεπελάμβανον. Thucyd. II, 70 καί πού τινες καὶ ἀλλήλων ἐγέγευντο. II, 87 καί πού τι καὶ ἡ ἀπειρία πρῶτον ναυμαχοῦντας ἔσφηλεν. — Praeterea recte h. l. dixit τοῦ πόθου τοῦ παρ' ἀνθρώπων, ut V, 18, 10 τῶν παρ' Ἀλεξάνδρου λόγων coll. Isae. de Cleon. haered. p. 13, Bekk. οἱ νόμοι καὶ ἡ παρ' ὑμῶν αἰσχύνη ποιεῖν ἠνάγκαζεν ἄν. Vide quoque ann. ad III, 22, 10. — Infra ed. Basil. rursus μὴ δέ.

12. ξυμφορὰ ἐγένετο] Sic primus dedit Vulcanius. Secuti sunt omnes recentiores editores. Gronovius de codicibus suis nihil annotavit. Unde coniicias, eos eiusdem scripturae auctores exstitisse. Ed. Basil. habet ξυμφορὰ γεγένητο. Parum apte. Cf. IV, 23, 5 τὸ δὲ τραῦμα οὐ χαλεπὸν αὐτῷ ἐγένετο. Plusquamperfectum recte habet VI, 10, 5 τοῖς γὰρ Μακεδόσι καὶ ταύτῃ ἐν ἀπόρῳ γεγέ-

ἀπηλλάχθαι, πρίν τινα ξυμβῆναι αὐτῷ ξυμφορὰν ἀνθρω-
πίνην ἧς ἕνεκα καὶ Σόλωνα Κροίσῳ παραινέσαι εἰκός,
τέλος ὁρᾶν μακροῦ βίου μηδὲ πρόσθεν τινὰ ἀνθρώπων
ἀποφαίνειν εὐδαίμονα. Ἐπεὶ καὶ αὐτῷ Ἀλεξάνδρῳ ἡ 12
Ἡφαιστίωνος τελευτὴ οὐ σμικρὰ ξυμφορὰ ἐγένετο, ἧς
καὶ αὐτὸς Ἀλέξανδρος προαπελθεῖν ἂν δοκεῖ μοι ἐθελῆσαι
μᾶλλον ἢ ζῶν πειρασθῆναι, οὐ μεῖον ἢ καὶ Ἀχιλλέα
δοκῶ ἂν ἑλέσθαι προαποθανεῖν Πατρόκλου μᾶλλον ἢ
τοῦ θανάτου αὐτοῦ τιμωρὸν γενέσθαι.

XVII. Ἦν δέ τι καὶ ὕποπτον αὐτῷ ἐς τοὺς Χαλ-

νητο τὰ τῆς προσβολῆς, ubi alii γεγένηται. Aoristum et plusquamperfectum confusa vide apud Diod. Sic. XVII, 72. Isocr. orat. ad Nicocl. p. 19, 13. Panegyr. p. 45, 3. Philipp. p. 85, 13. coll. Strang. ad Isocr. or. ad Demon. p. 43.

προαπελθεῖν ἂν δοκεῖ μοι ἐθελῆσαι] Ed. Basil. δοκῇ. Atque inhaeserunt huic errori qui illum exceperunt editores, parum memores quam crebro ab antiquissimis editoribus in hac rem peccatum sit ob eandem pronunciationem vocalium ι, η, ει et οι. Sic δοκῇ, δοκοῖ et δοκεῖ confusa notavit Schneid. ad Plat. Civit. V, p. 473, A. t. II, p. 106. Apud Lysiam. in orat. funebr. p. 189 pro vulg. μόνην ἂν μοι δοκοῦμεν ταύτην ἀποδοῦναι χάριν, unus codd. a Bekkero collatorum exhibuit δοκοῖμεν. Vide Strang. ad Isocr. orat. ad Demon. p. 20. Ut autem intelligas, quam late pateat hoc mendi genus in ed. Basil., vide ann. ad I, 4, 4. II, 5, 10. II, 10, 7. II, 11, 4. II, 14, 14. III, 2, 7. IV, 11, 3. IV, 11, 16. IV, 22, 11. IV, 21, 12. V, 4, 12. V, 11, 8. VII, 11, 2. VII, 22, 4. 5. VII, 23, 5. VII, 24, 4. 6. VII, 27, 2. — De constructione conferas V, 10, 3 οὐκ ἂν ἐδόκουν αὐτῷ ἐθελῆσαι ἐπιβῆναι. V, 15, 11 οὐδὲ ἠξίου τολμῆσαι ἂν ὤσασθαι.

πειρασθῆναι] Hanc huius verbi formam intactam reliqui, quamquam dixit Arrianus II, 21, 10 ἀπεπειράθη. I, 3, 4 ἐπειρᾶτο. VI, 9, 4 ἐπειρῶντο. Atque ἀπείρατος, de quo vide ann. ad V, 27, 15. Verbum πειράζεσθαι vidi apud Plutarch. Cleomen. c. 7. Unde nescio an non recte fecerit Wagnerus apud Alciphr. Epp. I, 37, p. 221 scribens πειραθέν pro vulg. πειρασθέν. Nam πειράζειν ut apud Alciphronem legitur II, 4, p. 328, ita apud Himer. Eclogg. I, p. 26. cf. Wernsd. ad Him. p. 258.

C. XVII. οὐ κατὰ μαντείαν τι μᾶλλον] Haec est scriptura omnium codicum Gronovii atque ed. Basil. οὐ κατὰ μαντείαν τινὰ

δαίους, ὡς οὐ κατὰ μαντείαν τι μᾶλλον ἢ ἐς ὠφέλειαν τὴν αὐτῶν φέροι αὐτοῖς ἡ κώλυσις τῆς Ἀλεξάνδρου ἐς
2 Βαβυλῶνα ἐν τῷ τότε ἐλάσεως. Ὁ γὰρ τοῦ Βήλου νεὼς ἐν μέσῃ τῇ πόλει ἦν τῶν Βαβυλωνίων, μεγέθει τε μέγιστος καὶ ἐκ πλίνθου ὀπτῆς ἐν ἀσφάλτῳ ἡρμοσμένης. Τοῦτον τὸν νεὼν ὥσπερ καὶ τὰ ἄλλα ἱερὰ τὰ Βαβυλωνίων Ξέρξης κατέσκαψεν ὅτε ἐκ τῆς Ἑλλάδος ὀπίσω
3 ἀπενόστησεν. Ἀλέξανδρος δὲ ἐν νῷ εἶχεν ἀνοικοδομεῖν· οἱ μὲν λέγουσιν ὅτι ἐπὶ τοῖς θεμελίοις τοῖς πρόσθεν, καὶ τούτου ἕνεκα τὸν χοῦν ἐκφέρειν ἐκέλευε τοὺς Βαβυλωνίους, οἱ δὲ ὅτι καὶ μείζονα ἔτι τοῦ πάλαι ὄντος.

μᾶλλον Vulcanius dedit primus. Et tacite probarunt hanc mutationem editores recentiores. At quid erat quod omnium codicum auctoritatem tam aperte negligerent? Nonne dixit Arrianus I, 16, 3 *ἐκπλήξει μᾶλλόν τι — ἢ λογισμῷ βεβαίῳ ἔμενε.* IV, 9, 7 *ἐς μῆνιν τοῦ θείου μᾶλλόν τι ἢ τὴν αὐτοῦ κακότητα φέρεσθαι.* V, 4, 5 *ὅσα ἄλλα ἐφ' ἡδονῇ μᾶλλόν τι πεποίηται ἢ ἐς ἀφήγησιν τῶν ὄντων.* VI, 25, 2 *τὴν τῆς ἀγνοίας προσποίησιν μᾶλλόν τι ἢ τὴν ὡς γιγνωσκομένων ἐπιχώρησιν.* Et ne pronomen indefinitum ante comparativum offendat collocatum, compara IV, 1, 2 *ἐς κατασκοπήν τι μᾶλλον ἔφερε.* Quamquam non nego, etiam Vulcanii coniecturam habere quo sese commendet. Ac similiter scripsit Arrianus IV, 1, 5 *τὰς πόλεις ἐς ἀσφάλειάν τινα μᾶλλον ὠχύρουν.*

2. *Ξέρξης κατέσκαψεν*] „Istum certe regem contaminari se sacrilegio circa hoc sacrum non recusavisse patet etiam ex Herod. I, 183, ut idcirco non assentiar illis, qui opinantur ab Arriano commissum fuisse errorem, dum destructionem huius templi refert ad Xerxem, quod dirutum fuisse ante eum aliunde constet, errorem vero obortum esse ex communi nomine regum Persicorum. Quod qualecunque sit, potest ante destructum quoque non diu post fuisse restitutum, more regum in hac parte dissidentium, ut tempore Xerxis utique steterit integrum, prout probat sane simulacrum divinum in Herodoto. Vide Freinshem. ad Curt. V, 1, 24.“ Gronov. Cf. Arr. III, 16, 6. 9 et Strab. XVI, p. 336, ed. ster. *ἔστι δὲ καὶ ὁ Βήλου τάφος, νῦν μὲν κατεσκαμμένος, Ξέρξης δ' αὐτὸν κατέσπασεν, ὥς φασιν· ὃν Ἀλέξανδρος ἐβούλετο ἀνασκευάσαι.* Vide Bernhardy. ad Dionys. Perieg. p. 797. Freinsh. ad Curt. III, 3, 16.

4. *τῇ στρατιᾷ πάσῃ ἐπενόει τὸ ἔργον ἐργάσασθαι*] Ita legitur

4 Ἐπεὶ δὲ ἀποστάντος αὐτοῦ μαλθακῶς ἀνθήψαντο τοῦ ἔργου οἷς ταῦτα ἐπετέτραπτο, ὁ δὲ τῇ στρατιᾷ πάσῃ ἐπενόει τὸ ἔργον ἐργάσασθαι· εἶναι δὲ τῷ θεῷ τῷ Βήλῳ πολλὴν μὲν τὴν χώραν ἀνειμένην ἐκ τῶν Ἀσσυρίων βασιλέων, πολὺν δὲ χρυσόν. 5 Καὶ ἀπὸ τοῦ πάλαι μὲν τὸν νεὼν ἐπισκευάζεσθαι καὶ τὰς θυσίας τῷ θεῷ θύεσθαι, τότε δὲ τοὺς Χαλδαίους τὰ τοῦ θεοῦ νέμεσθαι, οὐκ ὄντος ἐς ὅ τι ἀναλωθήσεται τὰ περιγιγνόμενα. 6 Τούτων δὴ εἵνεκα ὕποπτοι Ἀλεξάνδρῳ ἦσαν οὐκ ἐθέλειν παρελθεῖν εἴσω Βαβυλῶνος Ἀλέξανδρον, ὡς μὴ δι᾽ ὀλίγου τὸν νεὼν ἐπιτελεσθέντα ἀφελέσθαι αὐτοὺς τὰς ἐκ τῶν χρημάτων

---

in edd. vett. et quattuor codd. Gronovii. Schmiederus codici F. obsecutus dedit *κελεύει — ἐργάσασθαι.* At vulgata scriptura, si quid video, aptissima est. Nimirum Alexander, cum in urbem nondum advenisset, dici quidem potuit *in animo habuisse* militibus templum tradere reficiendum, sed iussisse eos illud efficere dici non potuit. Accedit quod hoc loco praesens *κελεύει* pro praeterito positum offendit. Imperfectum *ἐπενόει* vero si probes, familiare Arriano dicendi genus reconciliaveris. cf. I, 17, 5 *αὐτὸς δὲ ἐπὶ τῇ ἄκρᾳ ναόν τε οἰκοδομῆσαι Διὸς Ὀλυμπίου ἐπενόει.* I, 18, 6 *διασώζειν τοῖς Πέρσαις ἐπενόει τὴν πόλιν.* II, 4, 7 *ὅτι πρόσθεν μὲν ἐ π ε ν ό ε ι διασώζειν Πέρσαις τὴν Ταρσόν· ὡς δὲ ἐπύθετο, ἐκλιπεῖν ἐν νῷ εἶχε τὴν πόλιν.* Ne de dativo qui vulgo dicitur instrumenti dubius haereas, conferas VI, 8, 13 *πρῶτα μὲν οὖν τοῖς ἱππεῦσιν ἐκυκλώσατο τὴν πόλιν.* Similiter l. VI, 3, 5 pro vulg. *κελεύει,* quod solum recte habet, in cod. F. legitur *σημαίνει,* sine dubio ex interpretamento ortum.

τῷ θεῷ τῷ Βήλῳ] Hanc lectionem servarunt omnes codd. Gronovii et ed. Basil. In edd. Vulc. et Blancard. priores duae voces male omissae sunt, iniuria, opinor, typographi, cuius negligentiam non animadvertit Vulcanius. Supra iam legebatur VII, 16, 8 *τοῦ θεοῦ τοῦ Βήλου.* — Verbum *ἀνεῖσθαι, consecratum esse* illustravit Valck. ad Herodot. II, 65. cf. Arr. VII, 13, 2 *πεδίον — ἀνειμένον ταῖς ἵπποις ταῖς βασιλικαῖς.*

5. *καὶ ἀπὸ τοῦ πάλαι μέν*] Vulgo minus recte coniungebantur verba *ἀπὸ τοῦ πάλαι.* Gronovius primus monuit, *ἀπὸ τοῦ* dictum pro *ἀπὸ τούτου* referendum esse ad praegressum *πολὺν δὲ χρυσόν.* Plane ita dixit Arr. VII, 21, 4 *ἐκ δὲ τοῦ ἐς θάλασσαν ἐκδιδοῦσι.*

6. *εἴσω Βαβυλῶνος*] Ed. Basil. *ἔσω Βαβυλῶνος.* — Mox pro *δι᾽ ὀλίγου* ed. Vulc. *δὴ ὀλίγου.* Quod mendum non correxit Blancar-

7 ὠφελείας. Ὅμως δὲ τά γε τῆς ἐπιστροφῆς τῆς κατὰ τὴν
εἴσοδον τὴν ἐς τὴν πόλιν ἐθελῆσαι αὐτοῖς πεισθῆναι
λέγει Ἀριστόβουλος, καὶ τῇ πρώτῃ μὲν παρὰ τὸν ποτα-
8 μὸν τὸν Εὐφράτην καταστρατοπεδεῦσαι· ἐς δὲ τὴν ὑστε-
ραίαν ἐν δεξιᾷ ἔχοντα τὸν ποταμὸν παρ' αὐτὸν πορεύε-
σθαι, θέλοντα ὑπερβάλλειν τῆς πόλεως τὸ μέρος τὸ ἐς
δυσμὰς τετραμμένον, ὡς ταύτῃ ἐπιστρέψαντα πρὸς ἕω
9 ἄγειν· ἀλλὰ οὐ γὰρ δυνηθῆναι ὑπὸ δυσχωρίας οὕτως
ἐλάσαι ξὺν τῇ στρατιᾷ, ὅτι τὰ ἀπὸ δυσμῶν τῆς πόλεως
εἰσιόντι, εἰ ταύτῃ πρὸς ἕω ἐπέστρεφεν, ἑλώδη τε καὶ τε-
ναγώδη ἦν, καὶ οὕτω καὶ ἑκόντα καὶ ἄκοντα ἀπειθῆσαι
τῷ θεῷ.

XVIII. Ἐπεὶ καὶ τοιόνδε τινὰ λόγον Ἀριστόβουλος ἀναγέγραφεν. Ἀπολλόδωρον τὸν Ἀμφιπολίτην τῶν ἑταίρων τῶν Ἀλεξάνδρου, στρατηγὸν τῆς στρατιᾶς ἣν παρὰ

---

dus. — Contraria iis quae ab Arriano narrantur, sunt quae habet Diod. Sic. XVII, 112 *δύνασθαι δέ* (scil. praedicabant Chaldaei) *αὐτὸν ἐκφυγεῖν τὸν κίνδυνον, ἐὰν ἀναστήσῃ τὸν καθῃρημένον ὑπὸ Περσῶν τοῦ Βήλου τάφον καὶ τὴν βεβουλευμένην ὁδὸν ἐπιστήσας παρέλθῃ τὴν πόλιν.*

7. *τὸν ποταμὸν τὸν Εὐφράτην*] Nescio an forte factum sit, ut articulus ante nomen proprium a Vulcanio primo omissus deinde a recentioribus editoribus neglectus iaceret. Restituimus eum ex editione Basileensi. Nec mirabitur quisquam id factum perlectis quae diximus in annot. ad II, 4, 10 et II, 8, 8.

9. *οὕτως ἐλάσαι*] Sic cod. F. cum duobus aliis codd. Gronovii et V. C. Vulcanii. *οὕτως ἐξελάσαι* edd. vett. et duo codd. Gronovii. — Paulo supra ed. Basil. *ὑπὸ δυσχωρίαν* et mox eadem *ταύτην* pro *ταύτῃ*, de qua scripturae discrepantia egimus in annot. ad VI, 6, 4.

C. XVIII. *Ἐπεὶ καὶ ἀναγέγραφεν*] Non inepte conferas simile enunciati exordium apud Himer. Orat. VIII, p. 550 *ἐπεὶ καὶ Ξενοφῶντα κατέχει λόγος — μὴ φίλιον ἔχειν ἐς τάξιν Ἀλκιβιάδην τὸν ἥρωα*, ubi cave rectius iudices quod cod. Rom. praefert *ἐπεὶ δὲ καί.* Vide annot. ad V, 22, 3.

Ἀπολλόδωρον τὸν Ἀμφιπολίτην] Ed. Basil. male ignorat articulum. Consule quae dicta sunt ad III, 5, 4. Interpretis instar Arrianus sit ipse III, 16, 7 *σατράπην δὲ κατέστησε τῆς Βαβυλωνίας*

Μαζαίῳ τῷ Βαβυλῶνος σατράπῃ ἀπέλιπεν Ἀλέξανδρος, ἐπειδὴ [δὲ] συνέμιξεν ἐπανιόντι αὐτῷ ἐξ Ἰνδῶν, ὁρῶντα πικρῶς τιμωρούμενον τοὺς σατράπας ὅσοι ἐπ' ἄλλῃ καὶ ἄλλῃ χώρᾳ τεταγμένοι ἦσαν, ἐπιστεῖλαι Πειθαγόρᾳ τῷ ἀδελφῷ (μάντιν γὰρ εἶναι τὸν Πειθαγόραν τῆς ἀπὸ σπλάγχνων μαντείας) μαντεύσασθαι καὶ ὑπὲρ αὐτοῦ τῆς σωτηρίας· ἀντεπιστεῖλαι δὲ αὐτῷ Πειθαγόραν πυνθανό- 2
μενον τίνα μάλιστα φοβούμενος χρήσασθαι ἐθέλοι τῇ μαντείᾳ· τὸν δὲ γράψαι αὖθις, ὅτι τόν τε βασιλέα αὐτὸν καὶ Ἡφαιστίωνα· θύεσθαι δὴ τὸν Πειθαγόραν πρῶτα μὲν ἐπὶ τῷ Ἡφαιστίωνι. Ὡς δὲ ἐπὶ τοῦ ἥπατος τοῦ 3
ἱερείου ὁ λοβὸς ἀφανὴς ἦν, οὕτω δὴ ἐγγράψαντα καὶ κατασημηνάμενον τὸ γραμμάτιον πέμψαι παρὰ τὸν Ἀπολλόδωρον ἐκ Βαβυλῶνος εἰς Ἐκβάτανα, δηλοῦντα μηδέν τι δεδιέναι Ἡφαιστίωνα· ἔσεσθαι γὰρ αὐτοῖς ὀλίγου χρό-

---

Μαζαῖον, Ἀπολλόδωρον δὲ τὸν Ἀμφιπολίτην στρατηγὸν τῶν μετὰ Μαζαίου ὑπολειπομένων στρατιωτῶν.

ἐπειδὴ [δὲ] συνέμιξεν] Ed. Basil. ἐπεὶ δὲ ξυνέμιξεν. Edd. Vulc. Blanc. Gron. Raphel. et Schmied. ἐπειδὴ δὲ συνέμιξεν. Neutrum mihi recte habere videtur. Nam nisi forte statuas ἀνακολούθως scripsisse Arrianum, pro ἐπεὶ δὲ sive ἐπειδὴ δέ quin scribendum sit ἐπεί s. ἐπειδή (quo nos defert scriptura editionis Basileensis), dubitari nequit. Igitur uncis inclusimus particulam δέ.

Πειθαγόρᾳ τῷ ἀδελφῷ] Constans est haec huius nominis scriptura ut apud Arrianum, ita apud Appian. bell. civv. II, 152. Plutarcho vit. Alex. c. LXXIII idem ille vates audit Πυθαγόρας, plane eadem vocalium varietate, qualem observavimus in nomine Πείθων VI, 7, 4.

2. θύεσθαι δή] Ed. Basil. θύεσθαι δέ.

3. τὸ γραμμάτιον] De formis γραμμάτιον et γραμματίδιον vide Hemsterh. et Locell. ad Xenoph. Ephes. II, 10, p. 99. Ceterum cf. Xenoph. Cyrop. VIII, 2, 17 ταῦτα δὲ — γράψας καὶ σημηνάμενος ἐδίδου — φέρειν, ubi paulo ante §. 16 γράψαντας δὲ καὶ κατασημηναμένους δοῦναι τὴν ἐπιστολὴν — φέρειν.

δηλοῦντα — ἐκποδών] Ex eodem fonte quo Arrianus, hausit sua Appianus bell. civv. II, c. 152 Πειθαγόρας τε γὰρ ὁ μάντις Ἀπολλοδώρῳ δεδοικότι Ἀλέξανδρόν τε καὶ Ἡφαιστίωνα θυόμενος εἶπε μὴ δεδιέναι· ἐκποδὼν γὰρ ἀμφοτέρους αὐτίκα ἔσεσθαι. De

4 νου ἐκποδών. Καὶ ταύτην τὴν ἐπιστολὴν λέγει Ἀριστό-
βουλος κομίσασθαι Ἀπολλόδωρον μιᾷ πρόσθεν ἡμέρᾳ ἢ
5 τελευτῆσαι Ἡφαιστίωνα· αὖθις δὲ θύεσθαι τὸν Πειθα-
γόραν ἐπὶ τῷ Ἀλεξάνδρῳ ἄλοβον τὸ ἧπαρ τοῦ ἱερείου·
καὶ Πειθαγόραν τὰ αὐτὰ καὶ ὑπὲρ Ἀλεξάνδρου γράψαι
6 Ἀπολλοδώρῳ. Ἀπολλόδωρον δὲ οὐ κατασιωπῆσαι, ἀλλὰ
φράσαι γὰρ πρὸς Ἀλέξανδρον τὰ ἐπεσταλμένα, ὡς εὔ-
νοιαν μᾶλλόν τι ἐπιδειξόμενον τῷ βασιλεῖ, εἰ φυλάττε-

---

genitivo *ὀλίγου χρόνου* cf. ann. ad VI, 14, 7. — Pro *ἐκποδών* in ed. Basil. legitur *ἐκ ποδῶν*. Vide ad I, 25, 8 et Reitz. ad Lucian. t. VI, p. 421, ed. Bip.

4. *Καὶ* [*ταύτην*] *τὴν ἐπιστολήν*] Pronomen demonstrativum, quod Schmiederus ex auctoritate codicis F. relegavit, restituimus quamquam uncis inclusum, suadentibus edd. vett. et quattuor codd. Gronovii. Nam si quid pro glossemate habendum est, *τὴν ἐπιστολήν* potius a glossatoris manu profectum putem, quam *ταύτην*. Nimirum cum Arrianus scripsisset *καὶ ταύτην*, haud memor quod praecesserat *γραμμάτιον* neque *ἐπιστολήν*, postea qui hunc locum perlegit, de suo addidisse potest *τὴν ἐπιστολήν*, ut pronominis ratio plana esset. Diligentius tamen totius enunciati rationem perlustrantibus vulgata nobis quam potest maxime placet. Nam pronomine demonstrativo addito singularem quandam vim accipit substantivum *τὴν ἐπιστολήν*. Sic etiam Latine dicas: *Atque hanc illam epistolam Aristobulus narrat accepisse Apollodorum pridie quam diem supremum obiret Hephaestion.*

5. *ἄλοβον τὸ ἧπαρ τοῦ ἱερείου*] Grammaticus Bekkeri Anecdd. p. 177, 6 ex memoria, ut videtur, hunc locum citans habet haec: *γενέσθαι καὶ ἐπὶ Ἀλεξάνδρῳ ἀλόβωτον* (sic. In cod. vidit Bekk. *ἀλόβοτον*) *τὸ ἧπαρ τοῦ ἱερείου.* In quibus quamquam forma *ἀλόβωτον* s. *ἀλόβοτον* aperte corrupta est, tamen nescio an verbum *γενέσθαι* genuinum sit et ab Arriano profectum, ut coniicias Arrianum scripsisse *καὶ ἄλοβον γενέσθαι τὸ ἧπαρ τοῦ ἱερείου.* Quomodo paulo infra dixit *ὅτι ἄλοβόν οἱ τὸ ἧπαρ ἐγένετο τοῦ ἱερείου.* Et Xenoph. Hist. Gr. III, 4, 15 *θυομένῳ τῷ Ἀγησιλάῳ ἄλοβα γίγνεται τὰ ἱερά.* IV, 7, 7 *ἐθύετο· καὶ ἐφάνη αὐτῷ τὰ ἱερὰ ἄλοβα.* Appian. bell. civv. II, 152 de eadem re *ἐγένετο γὰρ ἑκατέρῳ δὶς ἄλοβα.* Quod Schmiedero videbatur cogitando addendum esse *αὖθις δὲ εἶναι*, id propius a vero abest. Mecum sentit Raphelius. Cf. ann. ad IV, 20, 3.

τὰ αὐτὰ καὶ ὑπὲρ Ἀλεξάνδρου] Sic edd. vett. et quattuor codd.

σθαι παραινέσειε μή τις αὐτῷ κίνδυνος ἐν τῷ τότε ξυμ-
πέσοι. Καὶ Ἀπολλόδωρόν τε λέγει ὅτι Ἀλέξανδρος ἐπή- 7
νεσε καὶ τὸν Πειθαγόραν, ἐπειδὴ παρῆλθεν εἰς Βαβυ-
λῶνα, ἤρετο ὅτου γενομένου αὐτῷ σημείου ταῦτα ἐπέ-
στειλε πρὸς τὸν ἀδελφόν· τὸν δὲ εἰπεῖν ὅτι ἄλοβόν οἱ
τὸ ἧπαρ ἐγένετο τοῦ ἱερείου· ἐρομένου δὲ ὅ τι νοοῖ τὸ
σημεῖον, μέγα εἰπεῖν εἶναι χαλεπόν. Ἀλέξανδρον δὲ το- 8
σούτου δεῆσαι χαλεπῆναι τῷ Πειθαγόρᾳ, ὡς καὶ δι' ἐπι-

Gronovii. Particulam *καί*, quia non comparebat in cod. F., Schmiederus statim exterminavit. Non suo iure, opinor. Verte: *atque Peithagoram eadem etiam de Alexandro scripsisse ad Apollodorum.*

6. *μή τις αὐτῷ κίνδυνος — ξυμπέσοι*] Simile est quod legitur III, 10, 7 *εἴτε τι ἐκ τοῦ παραλόγου πταῖσμά σφισι ξυμπέσοι.* VII, 12, 8 *ὡς εἴ τι κατὰ τὴν πορείαν Κρατερῷ ξυμπίπτοι — μὴ ποθῆσαι.* h. e. *si quid humani accideret Cratero.*

7. *ἐρομένου δὲ ὅ τι νοοῖ τὸ σημεῖον*] In edd. ad unam omnibus expressum legitur *νοεῖ*. Optativum recte servatum vide in eadem formula II, 26, 8 *καὶ Ἀλέξανδρος ἤρετο — τὸν μάντιν ὅ τι νοοῖ ὁ οἰωνός*, coll. ann. ad IV, 1, 3 et VII, 1, 8. Similiter optativo recte usus est Arrianus V, 19, 2 *ἐκέλευσε λέγειν ὅ τι οἱ γενέσθαι ἐθέλοι.* Indicativus bene habet, ut apud Arr. I, 4, 10 *τοὺς Κελτοὺς δὲ καὶ ἤρετο ὅ τι μάλιστα δεδίττεται αὐτούς*, ita apud Aristoph. Plut. v. 55 *πυθοίμεθ' ἂν τὸν χρησμὸν ἡμῶν ὅ τι νοεῖ.* Verbi *νοεῖν* significationem tetigit Engelh. ad Plat. Apol. Socr. p. 225. — Eandem rem iisdem fere verbis narratam exhibet Appian. bell. civv. II, 152 *καὶ Πειθαγόραν αὐτὸν ἤρετο ὅ τι λέγοι τὸ σημεῖον· τοῦ δὲ εἰπόντος ὅτι τὰ ὕστατα λέγει, αὖθις ἐπεμειδίασε.*

μέγα εἰπεῖν εἶναι χαλεπόν] Adiectivum *χαλεπόν* hoc loco vice fungitur substantivi. Similiter dixit Xenophon Hist. Gr. V, 2, 32 *ἀρχαῖον εἶναι νόμιμον*, et Arrian. I, 13, 6 *πολλὰ μὲν γὰρ αὐτοῦ ὁρᾶται βαθέα.* Cf. ann. ad V, 24, 1.

8. *τοσούτου δεῆσαι*] In ed. Basil. legitur *Ἀλέξανδρος δὲ τοσοῦτον ἐδέησε.* Quomodo hodie scriptum vides, ita primus dedit Vulcanius e cod. vet. Stephani. Et cum Gronovius nihil monuerit de codicibus suis, sana videtur haec lectio, praesertim cum talis transitus a tempore finito ad infinitivum in narratione satis frequens sit apud Arrianum, ut videre est ex ann. ad IV, 8, 5. De tota constructione cf. I, 25, 10 *τὴν δὲ τοσούτου ἄρα δεῆσαι ἀποφυγεῖν, ὥστε — μὴ πρόσθεν ἀνεῖναι.*

μελείας ἔχειν αὐτὸν πλείονος ὅτι ἀδόλως τὴν ἀλήθειάν
9 οἱ ἔφρασε. Ταῦτα αὐτὸς Ἀριστόβουλος λέγει παρὰ Πει-
θαγόρου πυθέσθαι, καὶ Περδίκκᾳ δὲ αὐτῷ μαντεύσασθαι
λέγει καὶ Ἀντιγόνῳ χρόνῳ ὕστερον· καὶ τοῦ αὐτοῦ ση-
μείου ἀμφοῖν γενομένου Περδίκκαν μὲν ἐπὶ Πτολεμαῖον
στρατεύσαντα ἀποθανεῖν, καὶ Ἀντίγονον ἐν τῇ μάχῃ τῇ
10 πρὸς Σέλευκον καὶ Λυσίμαχον τῇ ἐν Ἰψῷ γενομένῃ. Καὶ
μὲν δὴ καὶ ὑπὲρ Καλάνου τοῦ σοφιστοῦ τοῦ Ἰνδοῦ τοι-
όσδε τις ἀναγέγραπται λόγος· ὁπότε ἐπὶ τὴν πυρὰν ᾔει
ἀποθανούμενος, τότε τοὺς μὲν ἄλλους ἑταίρους ἀσπάζε-
σθαι αὐτόν· Ἀλέξανδρον δὲ οὐκ ἐθελῆσαι προσελθεῖν

---

9. *Ἀντιγόνῳ χρόνῳ ὕστερον*] Mediam vocem praebet cod. F. cum uno alio codice. Unde Schmiederus eam recepit. Ac sane facile fieri potuit, ut ob similem nominis praecedentis exitum vocabulum *χρόνῳ* obliteraretur: quamquam e contrario etiam ex syllabis *γονῳ* facillime progigni poterat quod hodie ut ab Arriani manu profectum putatur. Cum autem formula *χρόνῳ ὕστερον* firmis nitatur testimoniis (vide Goell. et Popp. ad Thucyd. I, 8. coll. Isocr. Panath. p. 271, Bekk. *χρόνῳ δ' ὕστερον γενομένου τοῦ Περσικοῦ πολέμου.* Lucian. Gall. c. 17 *χρόνῳ ὕστερον ἐς Πυθαγόραν ἧκον.* Ael. vv. hh. I, 24 *χρόνῳ δὲ ὕστερον — ἀφίκετο.* II, 33 *χρόνῳ δὲ ὕστερον ἐλθόντα ἐς Δελφούς*), non video cur Arriano eam non vindicemus. Id tamen constat, me frustra quaesiisse eam in Arrianeis operibus.

Περδίκκαν μέν] Edd. vett. cum quattuor codd. Gronovii *Περδίκκαν τε.* Alteram scripturam, quam primus recepit Schmiederus, suppeditavit cod. F.

10. *ὑπὲρ Καλάνου*] Apud Plutarch. vit. Al. c. 65. 69 sq. accentu mutato scribitur *Καλανός.* Apud Diodor. Sic. XVII, 107 et Athen. X, p. 437, A, ut apud Arrianum, legitur *Κάλανος.* Utrum verius? — Infra pro vulg. *Ἀλεξάνδρῳ δὲ — προσελθεῖν ἀσπασόμενον*, cui favent omnes edd. et quattuor codd. Gronovii, nos primi dedimus *Ἀλέξανδρον δὲ — ἀσπασόμενον* e cod. F. Schmiederus ad h. l.: „Codicem optimum, inquit, hoc loco audire nolui, quia *προσελθεῖν* cum dativo, non accusativo construi solet, et id dictum non est Alexandri, sed Calani, quod patet ex Plutarchi vit. Alex. c. 69, ubi eadem narratiuncula repetitur.“ Quasi id quod voluit Schmiederus, dativo solo possit significari! Utramque lectionem probabilem esse nemo est quin videat. Si dativum probas,

ἀσπασόμενον, ἀλλὰ φάναι γὰρ ὅτι ἐν Βαβυλῶνι αὐτῷ ἐντυχὼν ἀσπάσεται. Καὶ τοῦτον τὸν λόγον ἐν μὲν τῷ τότε 11
ἀμεληθῆναι, ὕστερον δὲ ἐπειδὴ ἐτελεύτησεν ἐν Βαβυλῶνι Ἀλέξανδρος, ἐς μνήμην ἐλθεῖν τῶν ἀκουσάντων ὅτι ἐπὶ τῇ τελευτῇ ἄρα τῇ Ἀλεξάνδρου ἐθειάσθη.

XIX. Παρελθόντι δ' αὐτῷ ἐς Βαβυλῶνα πρεσβεῖαι παρὰ τῶν Ἑλλήνων ἐνέτυχον· ὑπὲρ ὅτων μὲν ἕκαστοι πρεσβευόμενοι, οὐκ ἀναγέγραπται. Δοκεῖν δ' ἔμοιγε, αἱ 2
πολλαὶ στεφανούντων τε αὐτὸν ἦσαν καὶ ἐπαινούντων ἐπὶ ταῖς νίκαις ταῖς τε ἄλλαις καὶ μάλιστα ταῖς Ἰνδικαῖς καὶ ὅτι σῶος ἐξ Ἰνδῶν ἐπανήκει χαίρειν φασκόντων. Καὶ

---

pendet a verbo quod est προσελθεῖν (cf. V, 19, 1); sin accusativum, refer eum ad ἀσπασόμενον. Quoniam vero in sequentibus dixit ὅτι — αὐτῷ ἐντυχὼν ἀσπάσεται, exsistat qui vulgatam meliorem habeat, praesertim cum similiter scripserit Xenoph. Hist. Gr. IV, 1, 5 ἐπεὶ δὲ Ὄτυς ἔμελλεν ἀπιέναι, ἦλθε πρὸς τὸν Ἀγησίλαον ἀσπασόμενος.

11. ὅτι — ἐθειάσθη] h. e. *verba illa de morte Alexandri a Calano divinitus praedicta fuisse.* Vide quae de usu et significatione verborum θειάζειν et ἐπιθειάζειν disputarunt Toup. Opp. critt. t. I, p. 53. Iacobs. ad Achill. Tat. p. 914 et Goell. ad Thucyd. II, 75 et VIII, 1 καὶ ὁπόσοι τι τότε αὐτοὺς θειάσαντες ἐπήλπισαν ὡς λήψονται Σικελίαν. Plut. de Socr. Daem. c. 9 ὡς θεοφιλεῖς καὶ περιττοί τινες δοκοῖεν, ἐπιθειάζουσι τὰς πράξεις. Arr. I, 11, 3 καὶ ἄλλοι ἄλλα ἐπεθείαζον τῶν μάντεων.

C. XIX. ὑπὲρ ὅτων ἕκαστοι πρεσβευόμενοι] Wessel. ad Diod. Sicul. XV, 9 cum ad πρεσβευόμενοι cogitando addendum censebat ἦσαν, erravit. Luce enim clarius est, ex superiori enunciato repetendum esse verbum ἐνέτυχον. cf. II, 2, 7. et ann. ad V, 1, 2. Ceterum e voce πρεσβεῖαι ad ἕκαστοι intellige mascul. πρέσβεις: de quo loquendi genere diximus ad I, 21, 7. Plane geminum est quod legitur I, 29, 8 Ἀθηναίων πρεσβεία — ἀφίκετο, δεόμενοι, ad quem locum nugas egit Schmiederus.

2. ἐπὶ ταῖς νίκαις ταῖς τε ἄλλαις καὶ μάλιστα] Sic edd. vett. et quattuor codd. Gronovii. Quas in cod. F. non vidit Gronovius voces ταῖς τε ἄλλαις, eas statim reiecit Schmiederus. Parum circumspecte. Ut Arriani stilum cognoscas, confer I, 25, 1 τά τε ἄλλα τῶν ἑταίρων ὄντα καὶ ἐν τῷ τότε — ἄρχοντα. III, 26, 3 ἐξελέγξαι ἄλλοις τε ἐλέγχοις — καὶ μάλιστα δὴ ὅτι. IV, 30, 12 ἐς

τούτους δεξιωσάμενός τε καὶ τὰ εἰκότα τιμήσας ἀποπέμ-
3 ψαι ὀπίσω λέγεται. Ὅσους δὲ ἀνδριάντας ἢ ὅσα ἀγάλ-
ματα ἢ εἰ δή τι ἄλλο ἀνάθημα ἐκ τῆς Ἑλλάδος Ξέρξης ἀνεκόμισεν ἐς Βαβυλῶνα ἢ ἐς Πασαργάδας ἢ ἐς Σοῦσα ἢ ὅπη ἄλλῃ τῆς Ἀσίας, ταῦτα δοῦναι ἄγειν τοῖς πρέσβεσι· καὶ τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας τὰς χαλκᾶς οὕτω λέγεται ἀπενεχθῆναι ὀπίσω ἐς Ἀθήνας καὶ
4 τῆς Ἀρτέμιδος τῆς Κελκαίας τὸ ἕδος. Κατέλαβε δὲ ἐν
Βαβυλῶνι, ὡς λέγει Ἀριστόβουλος, καὶ τὸ ναυτικόν, τὸ μὲν κατὰ τὸν Εὐφράτην ποταμὸν ἀναπεπλευκὸς ἀπὸ θα-
5 λάσσης τῆς Περσικῆς, ὅ τι περ σὺν Νεάρχῳ ἦν· τὸ δὲ
ἐκ Φοινίκης ἀνακεκομισμένον πεντήρεις μὲν δύο τῶν ἐκ Φοινίκων, τετρήρεις δὲ τρεῖς, τριήρεις δὲ δώδεκα, τριακοντόρους δὲ ἐς τριάκοντα, ταύτας ξυντμηθείσας κομισθῆναι ἐπὶ τὸν Εὐφράτην ποταμὸν ἐκ Φοινίκης ἐς Θά-

---

ἔλεγχον τῶν τε ἄλλων καὶ μάλιστα δὴ τὰ ἀμφὶ τοὺς ἐλέφαντας — μαθεῖν. VI, 23, 1 *ἄπορον τῶν ἐπιτηδείων τῶν τε ἄλλων καὶ ὕδωρ οὐκ ἦν.* VII, 20, 2 *καὶ τὰ ἄστρα ἐν οἷ ἔχοντα τά τε ἄλλα καὶ τὸν ἥλιον.* Adde I, 15, 7. I, 18, 14. I, 25, 1. III, 2, 3. III, 16, 12. III, 18, 17. III, 23, 14. IV, 8, 11. IV, 21, 13. V, 12, 6. VI, 1, 5. VII, 11, 16. VII, 14, 7.

καὶ ὅτι φασκόντων] Similiter adornatam vide orationem I, 10, 6 *ὅτι τε σῶος ἐξ Ἰλλυριῶν καὶ Τριβαλλῶν ἐπανῆλθε χαίρειν τὸν δῆμον — ἐπαγγελοῦντας.*

3. *ἢ ὅσα ἀγάλματα*] „Mss. omnes *ἢ ὅσα ἀγάλματα.* Sed voculam *ὅσα* excidisse reor ex editione Vulcanii, quum exstet in editione Basileensi, unde reposui.“ *Gronov.*

τῆς Ἀρτέμιδος τῆς Κερκαίας] „Sic prima habet ed. Basil. et post eam reliquae. Quae scriptura nusquam firmatur. Nam Veneta habet *Κελκαίας*, sic etiam Optimus et plurimi; alii legunt *Κελκέας*, et unus *Κελεᾶς*. Grentesmenilius vulgatum derivat ab urbe *Κέρκαι*, urbe ad Euripum. Quod Gronovius refutat, nomen urbis *Κέρκας* esse docens, unde legendum esset *Ἀρτέμιδος τῆς Κερκάδος* (? E.). Blancardus emendat *Ἀγραίας*, quae mutatio nimis violenta. Gronovius coniicit *Κελεαίας*: „„Notus per omnes Athenarum memorias est Celeus rex, et praesertim Cereris hospicio. Is videtur consecravisse imagunculam quandam Dianae; ob quamcunque causam et quocunque loco illa steterit, quod describere non possumus. Dii autem cognomentum nacti ab hominibus, a quibus

ψακον πόλιν· ἐκεῖ δὲ ξυμπηχθείσας αὖθις καταπλεῦσαι
ἐς Βαβυλῶνα. Λέγει δὲ ὅτι καὶ ἄλλος αὐτῷ ἐναυπηγεῖτο 6
στόλος τέμνοντι τὰς κυπαρίσσους τὰς ἐν τῇ Βαβυλωνίᾳ·
τούτων γὰρ μόνων τῶν δένδρων εὐπορίαν εἶναι ἐν τῇ
χώρᾳ τῶν Ἀσσυρίων, τῶν δὲ ἄλλων ὅσα ἐς ναυπηγίαν
ἀπόρως ἔχειν τὴν γῆν ταύτην. Πληρώματα δὲ ἐς τὰς 7
ναῦς καὶ τὰς ἄλλας ὑπηρεσίας πορφυρέων τε πλῆθος καὶ
τῶν ἄλλων ὅσοι ἐργάται τῆς θαλάσσης ἀφῖχθαι αὐτῷ ἐκ
Φοινίκης τε καὶ τῆς ἄλλης παραλίας· λιμένα τε ὅτι πρὸς 8
Βαβυλῶνα ἐποίει ὀρυκτὸν ὅσον χιλίαις ναυσὶ μακραῖς
ὅρμον εἶναι, καὶ νεωσοίκους ἐπὶ τοῦ λιμένος· καὶ Μίκ- 9
καλος ὁ Κλαζομένιος μετὰ πεντακοσίων ταλάντων ἐπὶ
Φοινίκης τε καὶ Συρίας ἐστέλλετο, τοὺς μὲν μισθῷ πεί-
σων, τοὺς δὲ καὶ ὠνησόμενος ὅσοι θαλάσσιοι ἄνθρωποι·
τήν τε γὰρ παραλίαν τὴν πρὸς τῷ κόλπῳ τῷ Περσικῷ 10

---

primum reperti aut ficti aut culti. Tacit. Annal. III, 63 *post filius eius Amathus delubrum posuisset Veneri Amathusiae.*" " Raphelius nomen *Κερκαίας* a *κέρκις* derivari vult, quod est nomen arboris de genere populi (Theophr. Hist III, 14), ex cuius arboris ligno fabricatum forte fuerit Dianae huius signum. Sed qua analogia forma *Κερκαία* deflecti potest a *κέρκις*? Vides igitur quemque interpretum alia coniicere. Ego lectionem Optimi restitui, in qua acquiescendum est, donec forte aliquando ex Mss. meliora dabuntur." *Schmied.* Satis est hanc Schmiederi annotationem attulisse. *Ἀρτέμιδος Εὐκλείας* simulacrum memoratur Pausan. IX, 17, 1. *Ἀρτέμιδος Κορυφαίας* templum idem memorat II, 28, 2. Quae nomina propius accedunt ad scripturas h. l. memoratas.

5. *ταύτας — κομισθῆναι*] Vulgo ante *ταύτας* puncto minusculo distinctum erat, ut verba *τὸ δέ — ἀνακεκομισμένον* constructa essent cum praegresso *κατέλαβε.* At si id voluisset Arrianus, non dubito quin scripturus fuisset *ταύτας δὲ — κομισθῆναι.* Qui nobis verborum ordo placuit, is ex Arriani more loquendi facile potest comprobari. Vide ann. ad IV, 8, 5.

6. *ὅσα ἐς ναυπηγίαν*] i. e. *quae conficiendis navibus aptae sint.* Comparari potest quod dixit III, 29, 7 *εἰ μακρόθεν μετίοιεν ὅσα ἐς γεφύρωσιν* et ann. ad IV, 2, 3. — De locutione *ἀπόρως ἔχειν* simill. vide ann. ad IV, 11, 1. — Supra ed. Bas. *εὐπορείαν.*

7. *πορφυρέων τε πλῆθος*] Vocabulum *πορφυρεύς*, quod paulo

κατοικίζειν ἐπενόει καὶ τὰς νήσους τὰς ταύτῃ· ἐδόκει γὰρ αὐτῷ οὐ μεῖον Φοινίκης εὐδαίμων ἡ χώρα αὕτη γενέσθαι.
11 *Ἦν δὲ αὐτῷ τοῦ ναυτικοῦ ἡ παρασκευὴ ὡς ἐπὶ Ἄραβας τοὺς πολλούς, πρόφασιν μὲν ὅτι μόνοι τῶν ταύτῃ βαρβάρων οὔτε πρεσβείαν ἀπέστειλαν οὔτε τι ἄλλο ἐπιεικὲς ἢ ἐπὶ τιμῇ ἐπέπρακτο Ἄραψιν ἐς αὐτόν, τὸ δὲ ἀληθές, ὥς γέ μοι δοκεῖ, ἄπληστος ἦν τοῦ κτᾶσθαί τι ἀεὶ Ἀλέξανδρος.*

---

rarius est, usurpatum vide ab Herodot. IV, 151. Cf. Iacobs ann. ad Achill. Tat. p. 772.

καὶ Μίκκαλος ὁ Κλαζομένιος] Parum interest quomodo scribatur nomen proprium quale est *Μίκκαλος*, praesertim cum huius nominis vir non nisi hoc loco memoratum sit ab Arriano. Nescio tamen cur Vulcanius mutaverit scripturam editionis Basileensis, *Μίκαλος* exhibentis.

11. *ἦν δὲ αὐτῷ τοῦ ναυτικοῦ ἡ παρασκευή*] Sic legendum esse iam ante sex annos conieci. Et perlustratis tum edd. vett., tum variis lectionibus e codd. Gronovii enotatis tantum abest ut poeniteat me huius coniecturae, ut solam veram eam censeam. Nimirum edd. vett. et quattuor codd. Gronovii habent *αὐτῷ*. Schmiederus ex uno cod. F. dedit *αὐτοῦ*. Vide mihi I, 11, 5 *ἦν δὲ αὐτῷ ὁ στόλος*. I, 27, 1 *ἦσαν δὲ αὐτοῖς καὶ περὶ τῇ ἄκρᾳ — οἰκήσεις*. VII, 17, 1 *ἦν δέ τι καὶ ὕποπτον αὐτῷ ἐς τοὺς Χαλδαίους*. Cf. ann. ad III, 11, 4 et Strang. ad Isocr. orat. ad Demon. p. 17.

πρόφασιν μέν — τὸ δὲ ἀληθές] Saepe haec vel similia sibi opposita vides, ut apud omnes Graecos scriptores, ita apud Arrianum nostrum. Conferas, si placet, I, 25, 6 *πρόφασιν μὲν παρὰ Ἀτιζύην, τῇ δὲ ἀληθείᾳ — συνεσόμενον*. IV, 1, 2 *πρόφασιν μὲν —, ὁ δὲ νοῦς τῆς πομπῆς ἔφερε*. Fragm. incert. apud Suid. *ὅσα μὲν τῷ δοκεῖν κακοπαθοῦσαι, τὸ δὲ ἀληθὲς κακῶν ἀπαλλαγεῖσαι*. Himer. Orat. II, p. 394 *καὶ τὰ τῆς παρασκευῆς τὸ μὲν δοκεῖν ἐπὶ τὴν πόλιν ἐνέσκηπτε μάχην, τὸ δὲ ἀληθὲς κατὰ τῆς Ἑλλάδος πάσης*. Diod. Sic. XV, 14 *πρόφασιν μὲν φέρων — τὴν κατάλυσιν, τῇ δ' ἀληθείᾳ συλήσων*. Sic etiam *τὸ μὲν ὄνομα* saepe oppositum nomini *τῷ ἔργῳ* observarunt Lennep. ad Phalar. p. 230, ed Lips. Dorv. ad Charit. p. 249. Hemsterh. ad Lucian. t. I, p. 351, Bip. Porson. ad Eurip. Phoenn. v. 512. Krueg. ad Xenoph. Anab. I, 2, 1. Eandem rem similiter narrat Strabo l. XVI, p. 341, ed. st. *σκήψασθαι μὲν οὖν τὴν αἰτίαν τοῦ πολέμου φησίν, ἐπειδὴ μόνοι τῶν*

XX. *Λόγος δὲ κατέχει ὅτι ἤκουεν Ἄραβας δύο μόνον τιμᾶν θεούς, τὸν Οὐρανόν τε καὶ τὸν Διόνυσον· τὸν μὲν* 2
Οὐρανόν τε αὐτὸν ὁρώμενον καὶ τὰ ἄστρα ἐν οἷ ἔχοντα τά τε ἄλλα καὶ τὸν ἥλιον ἀφ᾽ ὅτου μεγίστη καὶ φανοτάτη ὠφέλεια ἐς πάντα ἥκει τὰ ἀνθρώπινα, Διόνυσον δὲ κατὰ δόξαν τῆς ἐς Ἰνδοὺς στρατείας· οὔκουν ἀπαξιοῦν καὶ 3
αὐτὸν τρίτον ἂν νομισθῆναι πρὸς Ἀράβων θεόν, οὐ φαυλότερα ἔργα Διονύσου ἀποδειξάμενον· εἴπερ οὖν καὶ Ἀρά-

---

ἁπάντων οὐ πρεσβεύσαιντο οἱ Ἄραβες ὡς αὐτόν, τὸ δὲ ἀληθές, ὀρεγόμενον πάντων εἶναι κύριον.

ὥς γε μοι δοκεῖ] Ed. Basil. *ὥς τε μοι δοκεῖ.* De quo errore vide quae diximus in ann. ad V, 4, 10. — Ceterum cave scriptum malis *ὥς γ᾽ ἐμοὶ δοκεῖ.* Pronomen *ὀρθοτονούμενον* tum tantum positum vides, cum infinitivo verbi *δοκεῖν* adiectum eique postpositum est, ut III, 10, 5 *δοκεῖν δ᾽ ἔμοιγε.* VII, 19, 2 *δοκεῖν δ᾽ ἔμοιγε.* Hist. Ind. III, 10 *δοκέειν δ᾽ ἔμοιγε.* Cf. ann. ad VI, 11, 10.

C. XX. *τὸν Οὐρανόν τε καὶ Διόνυσον*] Cf. Phot. Ecl. p. 70, Bekk. *παρεσκευάζετο δὲ αὐτῷ ὅμως τὸ ναυτικὸν ὡς ἐπὶ Ἄῤῥαβας τοὺς πολλοὺς οἳ δύο μόνον σέβουσι θεούς, Οὐρανὸν καὶ Διόνυσον.*

2. *τὸν μὲν Οὐρανὸν — ὁρώμενον*] „Nequaquam expletur Arriani mens ab versionibus. Vulcanius: *caelum, quod cum reliqua astra, tum solem in se continere videretur.* Facius: *caelum, quod astra contineat, tum caetera, tum solem.* Verte: *caelum quidem, quod et ipsum conspiceretur et in se contineret sidera tum alia tum solem.*" *Gronov.* — Pro *ἐν οἷ* edd. vel *ἔν οἱ*, vel *ἐν οἱ*, praeter Basileensem, in qua expressum est *ἐν αὐτῷ.* Vide ann. ad VII, 7, 8 et VII, 12, 6.

ἐς πάντα ἥκει τὰ ἀνθρώπινα] Sic ed. Bas. *τὰ ἀνθρώπεια* Vulcanius scripsit primus. Secuti sunt omnes editores recentiores. Num etiam h. l. codices omnes silent? Arrianus certe alibi forma *ἀνθρώπειος* non usus est. Cf. I, 4, 10 *ὅ τι μάλιστα δεδίττεται αὐτοὺς τῶν ἀνθρωπίνων.* II, 5, 5 in Epigr. *ὡς τἆλλα τὰ ἀνθρώπινα.* II, 16, 1 *μνήμη ἀνθρωπίνη.* IV, 11, 3 *ἀνθρώπιναι τιμαί.* IV, 11, 15 *ἀνθρωπίνως τιμᾶσθαι.* VII, 3, 9 *ἀνθρωπίνη γνώμη.* VII, 16, 12 *πρίν τινα ξυμβῆναι αὐτῷ ξυμφορὰν ἀνθρωπίνην.* Neque puto Graecos quod ad significationem attinet utramque formam accurate distinxisse. Sic v. c. dixit Herodotus I, 32 *ἀνθρωπηίων πραγμάτων πέρι.* Plat. Apol. Socr. p. 27, B *ἀνθρώπεια μὲν νομίζω πράγματ᾽ εἶναι.* Xenoph. Memorabb. IV, 6, 5 *καλῶς πράττουσι τἀνθρώπεια πράγματα.* Contra vide apud Xenoph. Memorabb.

βων κρατήσας ἐπιτρέψειεν αὐτοῖς καθάπερ Ἰνδοῖς πολι-
4 τεύειν κατὰ τὰ σφῶν νόμιμα. Τῆς τε χώρας ἡ εὐδαιμο-
νία ὑπεκίνει αὐτόν, ὅτι ἤκουεν ἐκ μὲν τῶν λιμνῶν τὴν
κασίαν γίγνεσθαι αὐτοῖς, ἀπὸ δὲ τῶν δένδρων τὴν σμύρ-
ναν τε καί τὸν λιβανωτόν· ἐκ δὲ τῶν θαμνίσκων τὸ κινά-
μωμον τέμνεσθαι, οἱ λειμῶνες δὲ ὅτι νάρδον αὐτόματοι
5 ἐκφέρουσι. Τὸ μέγεθος τῆς χώρας ὅτι οὐκ ἐλάττων ἡ
παράλιος τῆς Ἀραβίας ἤπερ ἡ τῆς Ἰνδικῆς αὐτῷ ἐξηγγέλ-
λετο, καὶ νῆσοι αὐτῇ προσκεῖσθαι πολλαὶ καὶ λιμένες
πανταχοῦ τῆς χώρας ἐνεῖναι οἷοι παρασχεῖν μὲν ὅρμους
τῷ ναυτικῷ, παρασχεῖν δὲ πόλεις ἐνοικισθῆναι καὶ ταύτας

IV, 1, 2 ἀνθρωπίνοις πράγμασιν εὖ χρῆσθαι. Sympos. IV, 6 περὶ πάντων τῶν ἀνθρωπίνων. Lucian. Icaromen. c. 4. καὶ ἀβέβαια τὰ ἀνθρώπινα πάντα. Sic habes ἀνθρωπίνη φωνή apud Arr. Hist. Ind. XV, 8: sed ἀνθρωπηίη φωνή apud Herodot. II, 55. Sic ἀνθρωπίνη φύσις apud Xenoph. Hellen. VII, 1, 2: sed ἀνθρωπεία φύσις apud Herod. III, 65 et Thucyd. I, 76. Quibuscum cf. Pollue. II, 5 καὶ ἀνθρωπίνη τέχνη ὡς Θουκυδίδης, καὶ ἀνθρωπεία φύσις, ὡς Πλάτων apud Schneid. ad Platon. Civit. p. 453, A, t. II, p. 18. Formas ἀνθρώπειος et ἀνθρώπινος confusas notarunt tum alii, tum Lennep. ad Phalar. p. 228. Schaef. Mell. critt. p. 2. Intpp. ad Thom. Mag. p. 74. Siebel. ad Pausan. IV, 36, 4. Popp. ad Thucyd. I, 22. Bornem. ad Xenoph. Memorr. I, 1, 12. Schneid. ad Plat. Civit. VII, p. 517, D.

φανοτάτη] Cf. Xenoph. Cyneg. c. X, 7 ἵνα προσθέοντι ὡς φανότατον ᾖ τὸ ἔσω, ubi all. φανώτατον. Sic etiam male scriptum est apud Himer. Orat. VII, p. 256 ὅς παντὸς μὲν χρυσοῦ φανώτερος περιλάμπει, quamquam plures codd. exhibent φανότερος. Idem vitium obtinet apud Eund. Ecl. XII, p. 200. Vide Blomf. ad Aesch. Prom. v. 539. Spitzn. Prosod. p. 89. Hermann. ad Lucian. Quom. hist. sit conscrib. p. 268. Schneid. ad Platon. Civit. VII, p. 518, A et C, ubi Astium miror intactas reliquisse formas φανωτέρου et φανώτατον.

4. ἐκ μὲν τῶν λιμνῶν] Sic recte omnes codd. Gronovii. ἐκ τῶν λιμνῶν edd. vett. — Mox nolui reiicere quod e codice F. dedit Schmiederus θαμνίσκων pro θάμνων scriptura edd. vett. et cett. codicum. Formam θάμνος de frutice quovis dictam vide Paus. IX, 28, 2. et X, 36, 1. Plut. Opp. Morr. VI, p. 889, 3 et X, p. 579, 1, Reisk. Ceterum confer quae narrat Herodotus III, 111 ὄρνιθας

γενέσθαι εὐδαίμονας. Δύο δὲ νῆσοι κατὰ τὸ στόμα τοῦ 6
Εὐφράτου πελάγιαι ἐξηγγέλλοντο αὐτῷ, ἡ μὲν πρώτη οὐ
πρόσω τῶν ἐκβολῶν τοῦ Εὐφράτου, εἰς ἑκατὸν καὶ εἴκοσι
σταδίους ἀπέχουσα ἀπὸ τοῦ αἰγιαλοῦ τε καὶ τοῦ στόματος τοῦ ποταμοῦ, μικροτέρα δὲ αὕτη καὶ δασεῖα ὕλῃ παντοίᾳ· εἶναι δὲ ἐν αὐτῇ καὶ ἱερὸν Ἀρτέμιδος καὶ τοὺς οἰ- 7
κήτορας αὐτῆς ἀμφὶ τὸ ἱερὸν τὴν δίαιταν ποιεῖσθαι·
νέμεσθαί τε αὐτὴν αἰξί τε ἀγρίαις καὶ ἐλάφοις καὶ ταύτας
ἀνεῖσθαι ἀφέτους τῇ Ἀρτέμιδι· οὐδὲ εἶναι θέμις θήραν 8
ποιεῖσθαι ἀπ' αὐτῶν ὅτι μὴ θῦσαί τινα τῇ θεῷ ἐθέλοντα,
ἐπὶ τῷδε θηρᾶν μόνον· ἐπὶ τῷδε γὰρ οὐκ εἶναι ἀθέμιτον.

δὲ λέγουσι μεγάλας, φορέειν τὰ κάρφεα, τὰ ἡμεῖς ἀπὸ Φοινίκων μαθόντες κ ι ν ν ά μ ω μ ο ν καλέομεν· φορέειν δὲ τὰς ὄρνιθας ἐς νεοσσιάς. Formam *κιννάμωμον* habes apud Arr. Indd. XXXII, 7. Strab. XVI, p. 395, ed. ster. Plut. Opp. morall. t. VIII, p. 968. t. X, p. 116. Simplex. *ν* in hac voce servatum vide apud Suid. s. v., Eustath. ad Dion. Perieg. p. 286 et apud Dionys. ipsum v. 945. Consule etiam Iacobs. ad Ael. hist. animall. t. II, p. 81.

5. *καὶ νῆσοι — προσκεῖσθαι*] scil. *ἐξηγγέλλοντο.* Quomodo paulo inferius locutus est *δύο δὲ νῆσοι — πελάγιαι ἐξηγγέλλοντο αὐτῷ* sc. *κεῖσθαι.* — Supra pro *Ἀραβίας* in ed. Bas. legitur *Ἀῤῥαβίας*, quae forma poetis potius quam pedestribus scriptoribus donanda videtur. Cf. Passov. ad Dionys. Perieg. v. 24 et Dorv. ad Charit. p. 562. Aliter iudicat Bernhardy. ad Dionys. l. l. p. 530.

6. *μικροτέρα δὲ αὕτη*] Edd. vett. et quattuor codd. Gronovii mediam voculam ignorant. Restituimus eam e cod. F. Schmiederum secuti. — Mox ed. Basil. *καὶ δασεῖα ὕλη παντοία.* Minus apte. Cave huc trahas I, 2, 12 *ὅτι ὕλη τε δασεῖα πρὸ τοῦ ποταμοῦ ἦν.* Compara potius qualia sunt Arr. V, 11, 1 *αὐτή τε δασεῖα παντοίων δένδρων εἴδει.* Plut. Pyrrh. c. XXV *μακρὰν καὶ δασεῖαν ὕλαις ὁδόν.* Et qui plane gemina habet Herodot. IV, 21 *Βουδῖνοι γῆν νεμόμενοι πᾶσαν δασέην ὕλῃ παντοίῃ.*

7. *καὶ τοὺς οἰκήτορας — ποιεῖσθαι*] Paulo aliter scriptum exhibet hunc locum Grammaticus Bekkeri Anecdd. p. 158, 32 *καὶ τοὺς οἰκήτορας α ὐ τ ο ὺ ς ἀμφὶ τὸ ἱερὸν τ ὰ τ ῆ ς δ ι α ί τ η ς ποιεῖσθαι.* Accusativus *αὐτούς* aperte corruptus est. Cum autem verba quae sequuntur *νέμεσθαί τε — Ἀρτέμιδι* accuratissime descripta compareant apud eundem illum Grammaticum, haud procul a vero abesse nobis videmur statuentes, formulam *τὰ τῆς διαίτης* in codice

9 *Καὶ ταύτην τὴν νῆσον λέγει Ἀριστόβουλος ὅτι Ἴκαρον ἐκέλευσε καλεῖσθαι Ἀλέξανδρος, ἐπὶ [τιμῇ] τῆς νήσου τῆς Ἰκάρου τῆς ἐν τῷ Αἰγαίῳ πόντῳ, ἐς ἥντινα Ἴκαρον τὸν Δαιδάλου, τακέντος τοῦ κηροῦ ὅτῳ προσήρτητο τὰ πτερά, πεσεῖν ὁ λόγος κατέχει, ὅτι οὐ κατὰ τὰς ἐντολὰς τοῦ πατρὸς πρὸς τῇ γῇ ἐφέρετο, ἀλλὰ μετέωρος γὰρ ὑπὸ ἀνοίας πετόμενος παρέσχε τῷ ἡλίῳ θάλψαι τε καὶ ἀνεῖναι τὸν κηρόν, καὶ ἀπὸ ἑαυτοῦ τὸν Ἴκαρον τῇ τε νήσῳ καὶ τῷ πελάγει τὴν ἐπωνυμίαν ἐγκαταλιπεῖν, τὴν μὲν*
10 *Ἴκαρον καλεῖσθαι, τὸ δὲ Ἰκάριον. Ἡ δὲ ἑτέρα νῆσος ἀπέχειν μὲν ἀπὸ τοῦ στόματος τοῦ Εὐφράτου ἐλέγετο ὅσον πλοῦν ἡμέρας καὶ νυκτὸς κατ' οὖρον θεούσῃ νηί, Τύλος δὲ αὐτῇ εἶναι ὄνομα· μεγάλη δὲ εἶναι καὶ οὔτε τραχεῖα ἡ πολλὴ οὔτε ὑλώδης, ἀλλ' οἵα καρπούς τε ἡμέρους ἐκ-*
11 *φέρειν καὶ πάντα ὡραῖα. Ταυτὶ ἀπηγγέλθη Ἀλεξάνδρῳ, τὰ*

Arrianei operis quem ille inspexit, revera exstitisse. Atque eo magis verisimile hoc est, quod eodem hoc periphrasis genere maxime delectatum scimus Arrianum. Vide ann. ad I, 17, 10. — Pro *ποιεῖσθαι* ed. Basil. *ποιῆσθαι.* Infra eadem *ἀφ' ἔτους.*

9. *ἐπὶ [τιμῇ] τῆς νήσου*] „Nulla difficultas hic nos moratur. Attamen nequeo vel celare vel contemnere, quod in Optimo legitur *ἐπὶ τιμῇ τῆς νήσου*, quomodo ait in fine libri VII (30, 5) *χρησμοὶ ἐπὶ τῇ τιμῇ αὐτοῦ — χρησθέντες.*" *Gronovius.* Vocabulum *τιμῇ*, quia neque in edd. vett. neque in plurimis codd. Gronovii comparet, uncis inclusimus. Nec sane eo opus est. Nam verba dicendi saepe praepositionem *ἐπί* cum genitivo coniunctam comitem habent ad indicandam eam rem *quae fit in alicuius honorem, unde aliquid nomen trahit.* Vide, ut simillima tantum afferam, Arr. V, 1, 9 *Νύσαν τε οὖν ἐκάλεσε τὴν πόλιν ἐπὶ τῆς τροφοῦ τῆς Νύσης.* Herodot. IV, 45 *ἡ Λιβύη ἐπὶ Λιβύης λέγεται ἔχειν τὸ ὄνομα* et quae larga manu adspersit exempla amiciss. Lehrs. in Quaestt. Aristarch. Spec. I. p. 33 sq.

ὑπὸ ἀνοίας πετόμενος] Edd. vett. et nonnulli codd. Gronovii exhibent *ὑπὸ ἀνοίας φερόμενος.* Quod dedimus Schmiederum secuti, id confirmatur a cod. F., ab aliis quibusdam codd. Gronovii et V, C. Vulcanii. Eandem verbi formam vide I, 25, 9 coll. Struv. Lectt. Lucc. p. 235.

10. *ἡ δὲ ἑτέρα νῆσος ἀπέχειν μὲν — ἐλέγετο*] Sic vidit haec verba collocata Gronovius in cod. F. et duobus aliis codicibus

μὲν πρὸς Ἀρχίου ὃς ξὺν τριακοντόρῳ ἐκπεμφθεὶς ἐπὶ κατασκοπῇ τοῦ παράπλου τοῦ ὡς ἐπὶ τοὺς Ἄραβας μέχρι μὲν τῆς νήσου τῆς Τύλου ἦλθεν, τὸ πρόσω δὲ οὐκέτι περαιωθῆναι ἐτόλμησεν. Ἀνδροσθένης δὲ ξὺν ἄλλῳ τρια- 12
κοντόρῳ σταλεὶς καὶ τῆς χεῤῥονήσου τι τῶν Ἀράβων παρέπλευσε· μακροτάτω δὲ τῶν ἐκπεμφθέντων προὐχώρησεν Ἱέρων ὁ Σολεὺς ὁ κυβερνήτης, λαβὼν καὶ οὗτος παρ' Ἀλεξάνδρου τριακόντορον. Ἦν μὲν γὰρ αὐτῷ προσ- 13
τεταγμένον περιπλεῦσαι τὴν χεῤῥόνησον τὴν Ἀράβων πᾶσαν ἔστε ἐπὶ τὸν κόλπον τὸν πρὸς Αἰγύπτῳ τὸν Ἀράβιον τὸν καθ' Ἡρώων πόλιν. Οὐ μὴν ἐτόλμησέ γε τὸ πρόσω 14
ἐλθεῖν καίτοι ἐπὶ τὸ πολὺ παραπλεύσας τὴν Ἀράβων γῆν, ἀλλ' ἀναστρέψας γὰρ παρ' Ἀλέξανδρον ἐξήγγειλε τό μέγεθός τε τῆς χεῤῥονήσου θαυμαστόν τι εἶναι καὶ ὅσον οὐ πολὺ ἀποδέον τῆς Ἰνδῶν γῆς· ἄκραν τε ἀνέχειν ἐπὶ

In edd. ante Gronovium et reliquis codicibus hic fuit verborum ordo: *ἡ δὲ ἑτέρα νῆσος ἀπὸ τοῦ στόματος τοῦ Εὐφράτου ἐλέγετο ἀπέχειν.* Vides iam propterea alteram scripturam praestantiorem esse, quod addita est particula *μέν*, cui bene respondet in sequentibus *Τύλος δὲ — εἶναι.* — Ceterum pro *Τύλος* in edd. Venet. ac Basil. legitur *Τῆλος.* Apud Plinium VI, 28 insula *Tylos* una cum insula *Ichara* memoratur. Straboni XVI, p. 382, ed. ster. audit *Τύρος.* Cf. Steph. Byzant. s. v. *Τύρος* et Salmas. ad Solin. p. 1023.

12. *τῆς χεῤῥονήσου τι — παρέπλευσε*] Haec est scriptura edd. vett. et quattuor codd. Gronovii *προσέπλευσε* cod. F., quae verbi forma Schmiedero probata est, suadente Gronovio qui: „Optimus, inquit, *προσέπλευσε,* quod sane opportunum ad notandam longiorem in navigando continuationem, non ut notet *adnavigavit,* sed *aliquam Chersonesi Arabum partem insuper navigavit.*" Satis inepte. Vulcanius audiendus erat vulgatam sic interpretatus: *Chersonesi oram praeterlegit s. praeternavigavit.* Cf. III, 1, 2 *ὁ δὲ ναυτικὸς στρατὸς παρέπλει αὐτῷ ἐκ Φοινίκης ὡς ἐπ' Αἴγυπτον.* V, 9, 5 *τά τε πλοῖα ἄλλῃ καὶ ἄλλῃ παραπλέοντα.* VI, 21, 6 *ὡς κατὰ τὸν παράπλουν ἄφθονα εἶναι τῇ στρατιᾷ τῇ παραπλεούσῃ.* VII, 7, 4 *παρέπλει ἀπὸ τοῦ Εὐλαίου ποταμοῦ κατὰ τὴν θάλασσαν ὡς ἐπὶ τὰς ἐκβολάς.* VII, 20, 13 *παραπλεύσας τὴν Ἀράβων γῆν.* Hist. Ind. XLIII, 3 *ἀλλὰ γὰρ οὔτις παρέπλωσε ταύτῃ.*

14. *ἄκραν τε ἀνέχειν ἐπὶ πολὺ τῆς μεγάλης θαλάσσης*] Genitivus pendet ab *ἐπὶ πολύ* ut II, 18, 10 *ὅ τι περ προκεχωρήκει αὐτοῖς ἐπὶ*

15 πολὺ τῆς μεγάλης θαλάσσης· ἣν δὴ καὶ τοὺς ξὺν Νεάρχῳ ἀπὸ τῆς Ἰνδικῆς πλέοντας, πρὶν ἐπικάμψαι ἐς τὸν κόλπον τὸν Περσικὸν, οὐ πόῤῥω ἀνατείνουσαν ἰδεῖν τε καὶ
16 παρ' ὀλίγον ἐλθεῖν διαβαλεῖν ἐς αὐτήν· καὶ Ὀνησικρίτῳ τῷ κυβερνήτῃ ταύτῃ δοκοῦν· ἀλλὰ Νέαρχος λέγει ὅτι αὐτὸς διεκώλυσεν, ὡς ἐκπεριπλεύσας τὸν κόλπον τὸν Περσικὸν ἔχοι ἀπαγγεῖλαι Ἀλεξάνδρῳ ἐφ' οἷστισι πρὸς αὐ-
17 τοῦ ἐστάλη· οὐ γὰρ ἐπὶ τῷ πλεῦσαι τὴν μεγάλην θάλασσαν ἐστάλθαι, ἀλλ' ἐπὶ τῷ καταμαθεῖν τὴν χώραν τὴν προσεχῆ τῇ θαλάσσῃ καὶ τοὺς κατοικοῦντας αὐτὴν

πολὺ τῆς θαλάσσης. VI, 22, 9 ὀδμὴν κατέχειν ἐπὶ πολὺ τῆς θαλάσσης. Paulo aliter dixit Hist. Ind. XXVI, 4 ἄκρην ἐπὶ πολύ τε ἀνέχουσαν ἐς τὸν πόντον. XXXII, 6 καὶ καθορῶσιν ἄκρην μακρὴν ἀνέχουσαν ἐπὶ πολλὸν ἐς τὸ πέλαγος. Et ut videas quam curiose variaverit Arrianus orationem, conferas Hist. Ind. III, 3 ἄκρην γὰρ ἀνέχειν ἐπὶ μέγα εἴσω εἰς πέλαγος.

15. καὶ Ὀνησικρίτῳ ταύτῃ δοκοῦν] Videtur cogitando addendum esse εἶναι, ut dixit Lysias c. Euandr. p. 361, Bekk. ἀλλὰ καὶ τὸ ἄλογον δοκοῦν εἶναι παρά τισιν. Nisi quis suspicetur participium δοκοῦν pro absoluto esse habendum. Ac sane exempla huius locutionis similia multa exstant. Cf. Xenoph. Anab. IV, 1, 13 δόξαν δὲ ταῦτα. Lucian. Asin. c. 45 δόξαν αὐτοῖς οὕτω ποιοῦσιν. Himer. Orat. III, p. 492 δόξαν δὲ ἅπαξ στρατεύεσθαι. Xenoph. Ephes. III, p. 55 ξυνδοκοῦν ταῦτα καὶ τῷ Ὑπεράνθῃ. In Historia Indica c. XXXII, 9, ubi eadem narrantur, accuratius scripsit Arrianus ita: ταύτην τὴν ἄκρην ὡς κατεῖδον, Ὀνησίκριτος μὲν ἐπέχοντας ἐπ' αὐτὴν πλέειν ἐκέλευεν. Νέαρχος δὲ ὑποκρίνεται νήπιον Ὀνησίκριτον.

17. καὶ εἴ τις ἀγαθὴ καρποὺς ἐκφέρειν — κακή] In ed. Basil. ac Veneta legebatur καὶ εἴ τις ἀγαθοὺς καρποὺς ἐκφέρειν ἢ εἴ τις κακῇ. Edd. Vulc. et Blanc. εἴ τις ἀγαθοὺς — ἐκφέροι, ἢ εἴ τις κακούς. Codd. Gronovii omnes ἐκφέρειν. Duo codd. ἢ τις ἀγαθούς. Omnes autem κακή. Integram scripturam servavit C. V. Vulcanii Γῆ ἀγαθὴ ἐργάσιμος dixit Arr. IV, 28, 6. Praeterea confer Hist. Ind. XXXII, 11 ἀλλὰ ἐθέλοντα αἰγιαλούς τε τοὺς κατὰ τὸν παράπλουν καταστρέψασθαι καὶ ὅρμους καὶ νησῖδας καὶ ὅστις κόλπος ἐπέχοι, ἐκπεριπλῶσαι τοῦτον καὶ πόλιας ὅσαι ἐπιθαλάσσιαι καὶ εἴ τις ἔγκαρπος γῆ καὶ εἴ τις ἐρήμη. — Supra pro τὰ νόμαια in ed. Bas. est τὰ νόμεα

ἀνθρώπους, ὅρμους τε ἐν αὐτῇ καὶ ὕδατα καὶ τὰ νόμαια
τῶν ἀνδρῶν καὶ εἴ τις ἀγαθὴ καρποὺς ἐκφέρειν ἢ εἴ τις
κακή. Καὶ οὖν καὶ τοῦτο αἴτιον γενέσθαι ἀποσωθῆναι 18
Ἀλεξάνδρου τὸν στρατόν· οὐ γὰρ ἂν σωθῆναι πλεύσαντας
ὑπὲρ τῆς Ἀραβίας τὰ ἔρημα, ἐφ᾽ ὅτῳ καὶ ὁ Ἱέρων ἐπι-
στρέψαι ὀπίσω λέγεται.

XXI. Ἐν ᾧ δὲ αὐτῷ ἐναυπηγοῦντο μὲν αἱ τριήρεις,
ὁ λιμὴν δὲ πρὸς Βαβυλῶνι ὠρύσσετο, ἐκπλεῖ ἐκ Βαβυλῶνος
κατὰ τὸν Εὐφράτην, ὡς ἐπὶ τὸν Παλλακόπαν [καλούμενον]
ποταμόν. Ἀπέχει δὲ οὗτος τῆς Βαβυλῶνος σταδίους ὅσον 2

---

18. *αἴτιον γενέσθαι ἀποσωθῆναι*] De hoc constructionis genere fuse disputavit Schaef. in Melett. critt. p. 23. Cf. Sieb. ad Paus. I, 26, 3. Rem tetigit Arrianus in Hist. Ind XXXII, 13 *ταῦτα ἐνίκα· καί μοι δοκέει περιφανέως σῶσαι τὴν στρατιὴν τῇδε τῇ βουλῇ Νέαρχος· τὴν γὰρ δὴ ἄκρην ἐκείνην καὶ τὴν πρὸς αὐτῇ χώρην πᾶσαν ἐρήμην τε εἶναι λόγος κατέχει καὶ ὕδατός τε ἀπορίῃ ἔχεσθαι.*

C. XXI. *ἐκπλεῖ*] sc. *Ἀλέξανδρος*. IV, 2, 9 *ἐν ᾧ δὲ αὐτὸς ξὺν τοῖς πεζοῖς ἀμφὶ ταῦτα εἶχε, τοὺς ἱππέας ἐκπέμπει.* Praeterea nota apodosin paulo simpliciorem. Alias enim solet formulam *ἐν ᾧ δέ* sequi *ἐν τούτῳ δέ* sive *ἐν τούτῳ*. Exemplis ut res demonstretur vide II, 20, 5 *ἐν ᾧ δὲ αἵ τε μηχαναὶ αὐτῷ ξυνεπήγνυντο καὶ αἱ νῆες ἐξηρτύοντο, ἐν τούτῳ δέ — στέλλεται.* VI, 23, 7 *ἐν ᾧ δὲ ᾔει — ἐν τούτῳ ἐχρήσαντο.* Cf. Xenoph. Hist. Gr. V, 2, 29 *ἐν ᾧ δὲ ἡ βουλὴ ἐκάθητο — ἐν τούτῳ.*

Παλλακόπαν καλούμενον ποταμόν] Mediam vocem, quia in codice F. desideratur, uncis inclusit Schmiederus. At vero non magis offendit participium h. l. positum, quam I, 24, 8 *ἐς τὴν Μιλυάδα καλουμένην χώραν.* II, 20, 5 *στέλλεται εἰς τὸν Ἀντιλίβανον καλούμενον τὸ ὄρος.* III, 7, 5 *διὰ τῆς Μεσοποταμίας καλουμένης χώρας.* V, 5, 6 *ἐς τὴν Ὑρκανίαν καλουμένην θάλασσαν.* Nimirum cum Pallacopas fossa neque fluvius esset, ut infra Arrianus ipse narrat, fieri tantum potuit, ut propter magnitudinem suam appellaretur fluvius (*ποταμός*), qui proprie nominandus fuisset fossa (*διῶρυξ*). — Ceterum forma *Παλλακόπας* apud Arrianum ab omnibus codicibus confirmata (in ed. Bas. sola scriptum est *Πολλακόπας*) restituenda videtur Appiano bell. civv. II, 153, ubi Schweighaeuserus ex varia scriptura *Παλλακόττιν* et *Παλλακόταν* priorem lectionem in textum recepit. Vide inprimis ann. ad V, 6, 2.

ὀκτακοσίους, καὶ ἔστι διῶρυξ αὕτη ὁ Παλλακόπας ἐκ τοῦ
3 Εὐφράτου, οὐχὶ δὲ ἐκ πηγῶν τις ἀνίσχων ποταμός. Ὁ
γὰρ Εὐφράτης ποταμὸς ῥέων ἐκ τῶν Ἀρμενίων ὀρῶν χει-
μῶνος μὲν ὥρᾳ προχωρεῖ κατὰ τὰς ὄχθας, οἷα δὴ οὐ
πολλοῦ ὄντος αὐτῷ τοῦ ὕδατος, ἦρος δὲ ὑποφαίνοντος,
καὶ πολὺ δὴ μάλιστα ὑπὸ τροπὰς ἅστινας τοῦ θέρους ὁ
ἥλιος ἐπιστρέφει, μέγας τε ἐπέρχεται καὶ ὑπερβάλλει
4 ὑπὲρ τὰς ὄχθας ἐς τὴν γῆν τὴν Ἀσσυρίαν. Τηνικαῦτα
γὰρ αἱ χιόνες αἱ ἐπὶ τοῖς ὄρεσι τοῖς Ἀρμενίοις κατατηκό-
μεναι αὔξουσιν αὐτῷ τὸ ὕδωρ ἐπὶ μέγα· ὅτι ἐπιπολῆς
ἐστιν αὐτῷ καὶ ὑψηλὸς ὁ ῥοῦς, ὑπερβάλλει ἐς τὴν χώραν,

---

3. *ὑπὸ τροπὰς ἅστινας — ἐπιστρέφει*] Gemina scripsit, VI, 21, 2 *ἔστε ἐπὶ τροπὰς ἃς ἐν χειμῶνι ὁ ἥλιος ἐπιστρέφει.* Quibuscum haud inepte comparaveris similia V, 9, 6 *ἦν γὰρ ὥρα ἔτους, ἣ μετὰ τροπὰς μάλιστα ἐν θέρει τρέπεται ὁ ἥλιος.* Hist. Ind. XXV, 7 *ἐπεὰν τροπὰς ἄγῃ θέρεος ὥρῃ ὁ ἥλιος.* — Supra ed. Bas. *οὐ πολλοῦ ὄντος αὐτοῦ τῷ ὕδατος.*

4. *ὅτι ἐπιπολῆς ἐστιν — ὁ ῥοῦς*] „Videtur desiderari coniunctio *καί*, *καὶ ὅτι.* Ita certe interpres Latinus:“ *Raphel.* Schmiederus coniecit *ὅ τι δ' ἐπιπολῆς.* Mihi magis probatur quod additum voluit Raphelius. Nec tamen quidquam de meo addere ausim. Sic verbi causa etiam VI, 22, 11 malim scriptum *ὅσα δὲ ἐν κοίλοις χωρίοις ἐπεφύκει* (vid. ann.). Sed quis est qui contendat sic scripsisse Arrianum? Cf. ann. ad I, 27, 11 et V, 4, 5. — De vocabulo *ἐπιπολῆς* consule Lobeck. ad Phryn. p. 126 sq.

εἰ μή τις — ἐκτρέψειε] „Nescio cur Vulcanius intelligat *nonnihil diducere*, quum prioris vocis nulla ratio in Graecis; neque periculum est ut quis intelligat de universa ripa proruenda. Est id utique verbum proprium in perfodienda alicubi parte ripae. Strabo VIII, 389 *τούτων δ' ἐμφραχθέντων ἔσθ' ὅτε ὑπερχεῖσθαι τὸ ὕδωρ εἰς τὰ πεδία· πάλιν δ' ἀναστομουμένων ἄθρουν ἐκ τῶν πεδίων ἐκπεσὸν εἰς τὴν Λάδωνα ἐμβάλλειν.* „*Gronov.*

κατὰ πολλά τε καὶ ἀφανῆ στόματα ἐκδιδοῦσι] Varie turbatus est hic locus a librariis. Primum quidem ante *ἀφανῆ* in edd. vett. et tribus codd. Gronovii inserta est vocula *μάλιστα*, quam non dubitavimus expellere ex auctoritate codicis F. et alterius cuiusdam cod. Gronovii, ut male repetitam ex sequente versu. Deinde autem omnes edd. et codd. habent *ἐκδίδωσι*, quod quomodo defendi possit, ii videant qui hunc locum tacite praeterierint! Equi-

εἰ μή τις ἀναστομώσας αὐτὸν κατὰ τὸν Παλλακόπαν ἐς
τὰ ἕλη τε ἐκτρέψειε καὶ τὰς λίμνας, αἳ δὴ ἀρχόμεναι
ἀπὸ ταύτης τῆς διώρυχος ἔστε ἐπὶ τὴν ξυνεχῆ τῇ Ἀρά-
βων γῇ, καὶ ἔνθεν μὲν ἐς τέναγος ἐπὶ πολύ, ἐκ δὲ τοῦ ἐς
θάλασσαν κατὰ πολλά τε καὶ ἀφανῆ στόματα ἐκδιδοῦσι.
Τετηκυΐας δὲ τῆς χιόνος ἀμφὶ Πλειάδων μάλιστα δύσιν 5
ὀλίγος τε ὁ Εὐφράτης ῥέει καὶ οὐδὲν μεῖον τὸ πολὺ αὐ-
τοῦ κατὰ τὸν Παλλακόπαν ἐκδιδοῖ ἐς τὰς λίμνας. Εἰ δή 6
τις μὴ ἀποφράξειε τὸν Παλλακόπαν αὖθις, ὡς κατὰ τὰς
ὄχθας ἐκτραπὲν φέρεσθαι τὸ ὕδωρ κατὰ τὸν πόρον, ἐκέ-
νωσεν ἂν τὸν Εὐφράτην ἐς αὐτόν, ὡς μηδ' ἐπάρδεσθαι

---

dem lenissima mutatione verum eruisse mihi videor. Nimirum ἐκδιδοῦσι non potest non referri ad αἳ δὴ ἀρχόμεναι. Sic I, 3, 2 ἵνα ἐκδιδοῖ κατὰ πέντε στόματα ἐς τὸν Εὔξεινον πόντον. Hist. Ind. II, 5 ἵναπερ αὐτὸς κατὰ δύο στόματα ἐκδιδοῖ. Formam ἐκδιδοῦσι habes V, 6, 10. Hist. Ind. IV, 15. V, 2. XVIII, 11. παραδιδόασι Exp. V, 25, 11. Praeterea nota formam ἐκδιδοῖ in singulari longe frequentiorem esse, quam ἐκδίδωσι. Hanc enim bis tantum reperi in Expeditione V, 4, 2. VII, 7, 8. Illam centies repereris, ut praeter locos supra citatos I, 12, 11. IV, 6, 12. V, 6, 6. V, 6, 11. VII, 21, 5. Hist. Ind. IV, 9. 10. 11. 12.

6. εἰ δή τις — ἀποφράξειε] Edd. vett. et tres codd. Gronovii εἰ δή τις μὴ ἀποφράξει. Cod. F. cum uno alio cod. Flor. εἰ δή τις μὴ ἀποφράξῃ. Quod recepit Schmiederus. Rursus non tam condemno coniunctivum cum particula εἰ constructum, quam coniunctivum in hac verborum coniunctione positum. Cum autem neque futurum habeat quo sese tueatur, una litera addita Arriani manum restituere conatus sum. Cf. vv. ll. ad Lys. or. contr. Alcib. p. 289 Bekk. Bornem. ad Xen. Anab. VII, 5, 8 et ann. ad Arr. I, 25, 6. Nonne etiam, si optativum restitueris, eadem horum verborum ratio est ac praegressorum εἰ μή τις ἐκτρέψειε —? Ne quis tamen in indicativo addita particula ἄν offendat, qui in apodosi positus est, cum ex Arriano ipso geminum non possim afferre exemplum, haec adscribo Demosth. pro Phorm. p. 225, Bekk. ὁ μὲν γὰρ περὶ πάντ' ἄδικος τάχ' ἄν, εἰ τύχοι, καὶ τοῦτον ἠδίκει. Lys. contr. Theomn. p. 236, Bekk. οὐ γὰρ δήπου, εἰ μέν τις σ' εἴποι (εἴπῃ cod. C., quod probavit Reiskius) πατραλοίαν, ἠξίους ἂν ὄφλειν σοι δίκην· εἰ δέ τις σ' εἴποι —, ᾤου ἂν αὐτὸν ἀζήμιον εἶναι. Eurip. Orest. v. 1131 εἰ μεθεῖμεν, δυσκλεὴς ἂν ἦν φόνος. Aristoph. Eqq. v. 570 εἰ πέσοιεν —, ἀπειψήσαντ' ἄν. Vide Popp. ad Xenoph.

7 ἀπ' αὐτοῦ τὴν Ἀσσυρίαν γῆν. Ἀλλ' ἀπεφράσσοντο γὰρ αἱ ἐς τὸν Παλλακόπαν τοῦ Εὐφράτου ἐκβολαὶ πρὸς τοῦ σατράπου τῆς Βαβυλωνίας πολλῷ πόνῳ, καίπερ οὐ χαλεπῶς ἀναστομούμεναι, ὅτι ἰλυώδης τε ἡ ταύτῃ γῆ καὶ πηλὸς ἡ πολλὴ αὐτῆς, οἵα δεχομένη τὸ ὕδωρ τοῦ ποταμοῦ μὴ εὐμαρῆ τὴν ἀποστοφὴν αὐτοῦ παρέχειν· ἀλλὰ καὶ ἐς τρίτον μῆνα Ἀσσυρίων ἄνδρες ὑπὲρ τοὺς μυρίους ἐν τῷδε τῷ πόνῳ ξυν-
8 είχοντο. Ταῦτα ἐπαγγελθέντα ἐπήγαγεν Ἀλέξανδρον ὠφελῆσαι τι τὴν χώραν τῶν Ἀσσυρίων. Ἔνθεν μὲν δὴ ἐς τὸν Παλλακόπαν ἐτρέπετο τοῦ Εὐφράτου ὁ ῥοῦς, ταύτῃ δὲ
9 ἔγνω βεβαίως ἀποκλεῖσαι τὴν ἐκβολήν. Προελθόντι δὲ ὅσον σταδίους τριάκοντα ὑπόπετρος ἡ γῆ ἐφαίνετο, οἵα διακοπεῖσα εἰ ξυναφὴς γένοιτο τῇ πάλαι διώρυχι τῇ κατὰ τὸν Παλλακόπαν, οὔτ' ἂν διαχεῖσθαι παρέχειν τὸ ὕδωρ ὑπὸ στεῤῥότητος τῆς γῆς, τήν τε ἀποστροφὴν αὐτοῦ τῇ τεταγμένῃ ὥρᾳ μὴ χαλεπῶς γίγνεσθαι. Τούτων ἕνεκα ἐπί τε
10

Cyrop. II, 1, 9, cui tamen non assentior hanc structuram non legitimam existimanti.

κατὰ τὸν πόρον] Verum servasse videtur cod. F. Nam quod in edd. vett. et reliquis codd. Gronovii legitur *κατὰ πόρου*, omni auctoritate destitutum est. Scripturae a cod. F. suppeditatae tuendae apti sunt hi loci: I, 11, 10 *κατὰ μέσον τὸν πόρον*, VI, 7, 3 *κατὰ τὸν αὐτὸν πόρον*, coll. ann. ad VII, 16, 6. — Paulo infra ed. Bas. *ὡς μὴ ὅ' ἐπάρδεσθαι*.

7. *ὅτι ἰλυώδης τε ἡ —*] Sic recte edd. vett. cum quattuor codd. Gronovii. *ὅτι ἰλυώδης* cod. F. et ex eo Schmiederus. — Mox pro *οἷα*, quod omnes edd. occupavit, scripsimus *οἵα*, ut ad *γῆ* referendum. Vide ann. ad III, 17, 14. De re cf. Strab. XVI, p. 338 et 340, Tauchn.

8. *τὴν χώραν τὴν Ἀσσυρίαν*] Nolui mutare lectionem ab omnibus fere codd. et edd. vett. prolatam. Schmiederus ex sola auctoritate codicis F. scripsit *τῶν Ἀσσυρίων*. Vide ann. ad III, 30, 12.

9. *εἰ ξυναφὴς γένοιτο*] Vix dubitandum erat quin recta esset haec lectio codicis F. *εἰ ξυναφὴς ἐγένετο* edd. vett. et rell. codd. Cf. IV, 11, 7 *ἀνασχέσθαι ἄν, εἴ τις — εἰσποιοῖτο*. Totum locum Gronovius in Dissert. de fossa ex Euphr. p. 375 bene interpre-

τὸν Παλλακόπαν ἔπλευσε καὶ κατ' αὐτὸν καταπλεῖ ἐς τὰς λίμνας ὡς ἐπὶ τὴν Ἀράβων γῆν. Ἔνθα χῶρόν τινα ἐν καλῷ ἰδὼν πόλιν ἐξῳκοδόμησέ τε καὶ ἐτείχισε, καὶ ἐν ταύτῃ κατῴκισε τῶν Ἑλλήνων τινὰς τῶν μισθοφόρων ὅσοι τε ἑκόντες καὶ ὅσοι ὑπὸ γήρως ἢ κατὰ πήρωσιν ἀπόλεμοι ἦσαν.

XXII. Αὐτὸς δὲ ὡς ἐξελέγξας δὴ τῶν Χαλδαίων μαντείαν, ὅτι οὐδὲν πεπονθὼς εἴη ἐν Βαβυλῶνι ἄχρι καθάπερ ἐκεῖνοι ἐμαντεύσαντο, (ἀλλ' ἔφθη γὰρ ἐλάσας ἔξω Βαβυλῶνος πρίν τι παθεῖν) ἀνέπλει αὖθις κατὰ τὰ ἕλη θαῤῥῶν, ἐν ἀριστερᾷ ἔχων τὴν Βαβυλῶνα· ἵνα δὴ 2
καὶ ἐπλανήθη αὐτῷ μέρος τοῦ ναυτικοῦ κατὰ τὰ στενὰ ἀπορίᾳ ἡγεμόνος, πρίν γε δὴ αὐτὸς πέμψας τὸν ἡγησόμενον ἐπανήγαγεν αὐτοὺς ἐς τὸν πόρον. Λόγος δὲ λέγε- 3
ται τοιόσδε. Τῶν βασιλέων τῶν Ἀσσυρίων τοὺς τάφους ἐν ταῖς λίμναις τε εἶναι τοὺς πολλοὺς καὶ ἐν τοῖς ἕλεσι

---

tatus est ita: *progressus autem stadia circiter triginta petrosam terram offendit*, talem *quae discissa si committeretur veteri fossae Pallacopae, non concessura esset diffundi aquam propter firmitatem soli, at aversionem eius certo tempore non difficulter fieri.* — Edd. rursus omnes οἷα διακοπεῖσα. Supra ed. Bas. ὑπόπτερος.

C. XXII. ὅτι οὐδὲν πεπονθὼς εἴη] Hanc scripturam praebuisse videtur cod. F. Gronovius; Opt. πεπονθὸς εἴη pro πεπονθώς." At in ed. Basil. legebatur πεπόνθει. Ex quo fecit Vulcanius πεπόνθοι. Secutus est Blancardus, alii. Hoc igitur dicere voluisse videtur Gronovius: „Opt. πεπονθὼς εἴη pro πεπόνθοι s πεπόνθει." Saepe enim videmus Gronovium in enotanda codicum varia scriptura negligentissime versatum esse. Vulgatam scripturam quominus servemus, impedit Arrianus ipse, ut qui perfecti optativum non nisi addito verbo substantivo formaverit. Vide III, 21, 2 ὅτι συνειληφότες εἶεν. IV, 9, 4 ὅτι ἀποτετικὼς εἴη. IV, 30, 14. VI, 8, 1 ὅτι ἀποπεφευγότες εἶεν. V, 9, 4 ὅτι ἐγνωκὼς εἴη.

3. δεδομημένους] Vide Lobeck. ad Phrynich. p. 588, qui etiam huius loci memor plura in medium protulit huius verbi formae exempla. Quibus adde Arr. Hist. Ind. VII, 3 μηδὲ ἱερὰ θεῶν δεδομημένα. Et fragm. apud Eustath. ad Dion. Perieg. p. 229 μήτε πόλεις δομήσασθαι.

4 δεδομημένους. Ὡς δὲ ἔπλει Ἀλέξανδρος κατὰ τὰ ἕλη (κυβερνᾶν γὰρ αὐτὸν λόγος τὴν τριήρη), πνεύματος μεγάλου ἐμπεσόντος αὐτῷ ἐς τὴν καυσίαν καὶ τὸ διάδημα αὐτῇ συνεχόμενον, τὴν μὲν δὴ βαρυτέραν πεσεῖν ἐς τὸ ὕδωρ, τὸ διάδημα δὲ ἀπενεχθὲν πρὸς τῆς πνοῆς σχεθῆναι ἐν καλάμῳ, τὸν κάλαμον δὲ τῶν ἐπιπεφυκότων εἶναι
5 τάφῳ τινὶ τῶν πάλαι βασιλέων. Τοῦτό τε οὖν αὐτὸς πρὸ τῶν μελλόντων σημῆναι καὶ ὅτι τῶν τις ναυτῶν ἐκνηξάμενος ὡς ἐπὶ τὸ διάδημα, ἀφελὼν τοῦ καλάμου αὐτὸ μετὰ χεῖρας μὲν οὐκ ἤνεγκεν, ὅτι νηχομένου ἂν αὐτοῦ ἐβρέχετο, περιθεὶς δὲ τῇ κεφαλῇ τῇ αὐτοῦ οὕτω διή-

---

4. *πνεύματος μεγάλου ἐμπεσόντος*] Simile quid Diod. Sic. XV, 52 factum esse narrat, cum Epaminondas exercitum ducebat contra Lacedaemonios, *πνεύματος δὲ γενομένου συνέβη τὴν ταινίαν ἀποσπασθῆναι περί τινα στήλην, ἐφεστῶσαν τάφῳ· ἦσαν δὲ ἐν τῷ τόπῳ τούτῳ τεθαμμένοι τινὲς Λακεδαιμόνιοι.* Cf. Frontin. Strateg. I, 11, 5. — Supra ed. Basil. *ἔπλη*.

5. *περιθεὶς δὲ τῇ κεφαλῇ*] Conferas Diod. Sic. XVII, 116 *τοῦ δὲ διαδήματος ὑπὸ τούτων ἀρθέντος καὶ πάλιν εἰς τὴν λίμνην πεσόντος, εἷς τῶν ἐρετῶν προσνηξάμενος καὶ βουλόμενος ἀσφαλῶς σῶσαι τὸ διάδημα προσέθετο τῇ κεφαλῇ καὶ προσενήξατο τῷ πλοίῳ.* — Ad formulam quae est *μετὰ χεῖρας ἤνεγκεν* cf. II, 4, 14 *ἔτι μετὰ χεῖρας ἔχοντα.* IV, 26, 13 *μετὰ χεῖρας ἔχων ἐτύγχανεν.* Adde Abr. ad Xen. Ephes. p. 166.

οὕτω διήνεγκε] Sic ed. Bas. et omnes codd. Gronovii. Unde nescio quid Vulcanium moverit ut scriberet *οὕτω δὴ ἤνεγκε*, quamquam quomodo haec scriptura potuerit oriri, videre est ex ann. ad I, 17, 7. Vide praeterea ann. ad prooem. 5. — Pro *τῇ κεφαλῇ τῇ αὐτοῦ* in ed. Bas. nescio unde expressum est *τῇ κρατὶ τῇ αὐτοῦ.* Quod iam correxit Vulcanius. Formam *κράς* Arrianus non videtur usurpasse. Multo minus etiam verisimile est eum dixisse *ἡ κράς*, quod scriptoribus labentis Graecitatis adscribitur ab Eustath. ad Iliad. XIII, v. 5.

6. *μὴ περιιδεῖν*] h. e. *ne pateretur caput salvum relinqui.* Cf. I, 12, 16 *ὅτι οὐκ ἂν περιίδοι μίαν οἰκίαν ἐμπρησθεῖσαν.* II, 3, 12 *ἄλυτον δὲ περιιδεῖν οὐκ ἤθελε.* — Supra post *ἀποτεμεῖν δέ* in ed. Basil. desideratur particula *ὅτι*. Vide ann. ad III, 15, 1.

τὸ διάδημα — τὸ βασίλειον] Nihil fere discriminis esse videtur inter formam *βασίλειος* et *βασιλικός*. Ut enim hoc loco dixit *διάδημα βασιλικόν*, ita habes II, 12, 6 *κάνδυν τὸν βασιλικόν.* V, 13,

νεγκε. Καὶ οἱ μὲν πολλοὶ τῶν ἀναγραψάντων τὰ Ἀλεξ- 6
άνδρου λέγουσιν ὅτι τάλαντον μὲν ἐδωρήσατο αὐτῷ Ἀλέξανδρος τῆς προθυμίας εἵνεκα, ἀποτεμεῖν δὲ ὅτι ἐκέλευσε τὴν κεφαλὴν, τῶν μάντεων ταύτῃ ἐξηγησαμένων μὴ περιιδεῖν σώαν ἐκείνην την κεφαλὴν ἥτις τὸ διάδημα
ἐφόρησε τὸ βασίλειον. Ἀριστόβουλος δὲ τάλαντον μὲν 7
ὅτι ἔλαβε λέγει αὐτὸν, ἀλλὰ πληγὰς λαβεῖν τῆς περιθέ-
σεως ἕνεκα τοῦ διαδήματος. Ἀριστόβουλος μὲν δὴ τῶν 8
τινα Φοινίκων τῶν ναυτῶν λέγει ὅτι τὸ διάδημα τῷ Ἀλεξάνδρῳ ἐκόμισεν, εἰσὶ δὲ οἳ Σέλευκον λέγουσι· καὶ τοῦτο τῷ τε Ἀλεξάνδρῳ σημῆναι τὴν τελευτὴν καὶ τῷ

---

8 *ἄγημα βασίλικόν.* Sic aliis dicitur *βασίλειος στοά*, aliis *στοὰ βασιλική.* Vide Lex. Phavor. s. v. Sic saepe dictum vides *θρόνος βασιλικός.* Sed *θρόνος βασίλειος* habes apud Herod. I, 14. II, 1, 4. Arr. VII, 24, 2. Dixerim tamen *βασίλειον* proprie dici *quod regem decet*, *βασιλικόν quod regis proprium est.*

7. *Ἀριστόβουλος δὲ τάλαντον μὲν ὅτι ἔλαβε· λέγει αὐτόν*] In ed. Bas. legitur *Ἀριστόβουλος μὲν λέγει τάλαντον ὅτι ἔλαβεν αὐτόν.* Vulcanius sive e cod. Stephani, sive de suo dedit *Ἀριστόβουλος δὲ τάλαντον μὲν ὅτι οὐ λέγει αὐτόν*, idemque in fine praefationis pro *Ἀριστόβουλος* coniecit legendum esse *Πτολεμαῖος.* Neutrum horum agnoscunt codices quos inspexit Gronovius, qui: „Miror, inquit, cur in narratione tam perspicua Vulcanius maluerit vaticinari, quam sine offensione et crimine eam sequi. Dicit enim Arrianus esse qui portitorem istum talento donatum narrent (forte is est ipse Ptolemaeus), sed ita ut postea caput ei sit amputatum. Procedit ad historiam Aristobuli, hunc etiam de talento affirmare, sed poenam imminuere, nec capite amputato, sed verberibus honorem impositi diadematis fuisse. Hucusque de re et facto ipso. Nunc dispicit de homine, quis fuerit, ac de eo rursus Aristobulum adhibet qui eum Phoenicem nautam vocavit: ab aliis Seleucum referri, et hic rursus fortasse Ptolemaeum innuit.“ Ut *οὐ λέγει* scriberet, Vulcunium fortasse movebat sequens *ἀλλά*, quod ad praegressum *μέν* non apte referri posse putabat. Sed eodem modo dixit Arr. I, 18, 15 *εἶναι μὲν γὰρ πρὸς αὐτοῦ τὸν ἀετόν, ἀλλ' ὅτι — ἐφαίνετο, δοκεῖν οἱ μᾶλλόν τι σημαίνειν* et Xenoph. Cyrop. VII, 1, 16 *τὰ μὲν καθ' ἡμᾶς ἔμοιγε δοκεῖ καλῶς ἔχειν, ἀλλὰ τὰ πλάγια λυπεῖ με.* Pro scriptura ed. Basil. *Ἀριστόβουλος μέν* scribendum fuisse, etiam si omnes codd. obstarent, *Ἀριστόβουλος δέ*, extra omnem dubitationem ponunt quae diximus ad I, 22, 9.

9 *Σελεύκῳ τὴν βασιλείαν τὴν μεγάλην· Σέλευκον γὰρ μέγιστον τῶν μετὰ Ἀλέξανδρον διαδεξαμένων τὴν ἀρχὴν βασιλέα γενέσθαι τήν τε γνώμην βασιλικώτατον καὶ πλείστης γῆς ἐπάρξαι μετά γε αὐτὸν Ἀλέξανδρον οὔ μοι δοκεῖ ἰέναι ἐς ἀμφίλογον.*

XXIII. *Ἐπανελθὼν δὲ εἰς Βαβυλῶνα καταλαμβάνει Πευκέσταν ἥκοντα ἐκ Περσῶν, ἄγοντα στρατιὰν Περσῶν ἐς δισμυρίους· ἦγε δὲ καὶ Κοσσαίων καὶ Ταπούρων οὐκ ὀλίγους, ὅτι καὶ ταῦτα ἔθνη τῶν προσχώρων τῇ Περσίδι*
2 *μαχιμώτατα εἶναι ἐξηγγέλλετο. Ἧκε δὲ αὐτῷ καὶ Φιλόξενος στρατιὰν ἄγων ἀπὸ Καρίας καὶ Μένανδρος ἐκ Λυδίας ἄλλους καὶ Μενίδας τοὺς ἱππέας ἄγων τοὺς αὐτῷ*

---

9. *τῶν — διαδεξαμένων τὴν ἀρχήν*] Edd. vett. *τῶν μετὰ Ἀλέξανδρον (διαδεξάμενον τὴν ἀρχὴν τὴν μεγάλην)*, et sic quoque duo codd. Gronovii. „Procul dubio ultimae duae voces sunt spuriae, utpote ex praecedentibus revocatae; neque ab Optimo et duobus aliis Mss. agnoscuntur. Sed et Vulcanius ita notat ex V. C. *μέγιστον τῶν μετὰ Ἀλέξανδρον διαδεξαμένων τὴν ἀρχήν* —." *Gronov.*

δοκεῖ ἰέναι ἐς ἀμφίλογον] Rariorem sine dubio locutionem, cuius geminum exemplum apud alios scriptores non reperi, tutatur Suidas, qui s. v. *ἀμφίλογος* ex Arriano affert haec: *Ἀξιδάρην δὲ ὅτι χρὴ ἄρχειν Ἀρμενίας, οὔ μοι δοκεῖ εἶναί σε* (sic) *ἀμφίλογον.* Quod fragmentum non praefixo Arriani nomine legitur quoque s. v. *Ἀξιδάρης.* Nimirum, si quid video, pro *εἶναί σε ἀμφίλογον* aut legendum est *ἰέναι ἐς ἀμφίλογον* ita ut adiectivum vice fungatur substantivi, aut *εἶναι ἀμφίλογον.* Quomodo dixit Arr. IV, 10, 9 *καὶ γὰρ οὐδὲ ἐκεῖνο εἶναι ἀμφίλογον.*

C. XXIII. *ὅτι καὶ ταῦτα ἔθνη*] Video non defore qui scriptum malint *ταῦτα τὰ ἔθνη.* Sed si *ταῦτα* per attractionem dictum statuamus pro *οὗτοι*, articulo non est opus. Qua de re egimus ad I, 9, 12. Locis ibi citatis adde III, 15, 3 *καὶ ἱππομαχία αὕτη καρτερωτάτη τοῦ παντὸς ἔργου ξυνέστη.* VII, 29, 5 *ταύτην ἐλπίδα ἀγαθὴν ὑπολειπομένην.* Lucian. Hermotim. c. 76 *ταύτην φιλοσοφίαν ὀρθὴν εἶναι.* Asin. c. 7 *πᾶσα δὲ ἦν αὕτη τῆς παλαίστρας παρασκευή.* c. 36 *τοῦτο γὰρ εἶχεν ὄνομα.* Apollod. I, 7, 1 *δίκην ἔτισε ταύτην.* Xen. Hist. Gr. V, 1, 35 *αὕτη πρώτη εἰρήνη ἐγένετο.* Lys. de caede Eratosth. p. 164, Bekk. *ταύτην γὰρ τέχνην ἔχει.* Vide Engelh. ad Plat. Lach. p. 4. ad Apol. Socr. p. 148.

2. *τοὺς αὐτῷ ξυνταχθέντας*] Esse potest *qui ei adiuncti erant* s.

ξυνταχθέντας. Καὶ πρεσβεῖαι δὲ ἐν τούτῳ ἐκ τῆς Ἑλλά- 3
δος ἧκον, καὶ τούτων οἱ πρέσβεις αὐτοί τε ἐστεφανωμένοι Ἀλεξάνδρῳ προσῆλθον καὶ ἐστεφάνουν αὐτὸν στεφάνοις χρυσοῖς, ὡς θεωροὶ δῆθεν ἐς τιμὴν θεοῦ ἀφιγμένοι.
Τῷ δὲ οὐ πόῤῥω ἄρα ἡ τελευτὴ ἦν. Ἔνθα δὴ τούς τε 4
Πέρσας ἐπαινέσας τῆς προθυμίας, ὅτι πάντα Πευκέστᾳ ἐπείθοντο, καὶ αὐτὸν Πευκέσταν τῆς ἐν κόσμῳ αὐτῶν ἐξη-
γήσεως, κατέλεγεν αὐτοὺς ἐς τὰς Μακεδονικὰς τάξεις· δεκα- 5
δάρχην μὲν τῆς δεκάδος ἡγεῖσθαι Μακεδόνα, καὶ ἐπὶ τούτῳ διμοιρίτην Μακεδόνα, καὶ δεκαστάτηρον, οὕτως ὀνομαζόμενον ἀπὸ τῆς μισθοφορᾶς ἥντινα μείονα μὲν τοῦ διμοιρίτου, πλείονα δὲ τῶν οὐκ ἐν τιμῇ στρατευομένων ἔφερεν·

---

quibus ille praefectus erat cf, Hist. Ind. XIX, 1 σὺν ἄλλῃ στρατιῇ πλείους ἔτι τῆς τῷ Κρατερῷ συντεταγμένης. IV, 24, 17 ξυντάξας αὐτῷ τήν τε Ἀττάλου καὶ τὴν Βαλάκρου τάξιν. Sad aptius forsitan statuas Arrianum hoc voluisse dicere: *qui ab eo erant collecti.* Missus enim erat Menidas ad milites in Macedonia conscribendos *indeque in Asiam* traducendos IV, 18, 5. Verbi συντάξαι hanc potestatem observavimus apud Xenoph. Hist. Gr. I, 5, 10 ἐπεὶ αὐτῷ τὸ ναυτικὸν συνετέτακτο.

3. ὡς θεωροὶ δῆθεν — ἀφιγμένοι] Cf. II, 24, 8 καὶ Καρχηδονίων τινὲς θεωροὶ ἐς τιμὴν τοῦ Ἡρακλέους κατὰ δή τινα νόμον παλαιὸν εἰς τὴν μητρόπολιν ἀφικόμενοι. Vocem θεωρός illustrarunt Duk. ad Thucyd. V, 16 et Wessel. ad Diod. Sic XV, 49.

4. τούς τε Πέρσας ἐπαινέσας] Secundam voculam ed. Basil. ignorat. Addidit eam primus Vulcanius. Secuti sunt recentiores editores. Vide ann. ad V, 29, 3. Verba τῆς ἐν κόσμῳ ἐξηγήσεως bene interpretatur Vulcanius: *quod moderate sapienterque eos gubernasset* cf. VI, 15, 6 ὅτι οὐκ ἐν κόσμῳ ἐξηγεῖσθαι αὐτῷ ὁ Τιρυέστης ἐξήγγελτο. IV, 22, 6 παραλύει τῆς ἀρχῆς, ὅτι οὐ καλῶς ἐξηγεῖσθαι ἔδοξε.

5. δεκαδάρχην μέν] „Optimus δεκάρχην. Quod etsi nulla parte videatur esse eminentius vulgato, quum δεκάδες passim dicantur, unde producta est illa appellatio, tamen est oppido notabile, quod videas in locis ab B. Brissonio de Regn. Persar. III, p. 326 citatis poni ex Herodoto δεκάρχας et μυριάρχας, quum tamen ex Xenophonte producat δεκαδάρχους. Tu porro inquire. Iu Graecis bibliis tantum praebent δεκάρχους, eosque Sigonius saepe vocat decadarchos.“ *Gronov.* Nolui mutare quod praebent edd. vett. et

6 ἐπὶ τούτοις δὲ δώδεκα Πέρσας, καὶ τελευταῖον τῆς δεκά-
δος Μακεδόνα, δεκαστάτηρον καὶ τοῦτον, ὥστε ἐν τῇ
δεκάδι τέσσαρας μὲν εἶναι Μακεδόνας, τοὺς μὲν τρεῖς τῇ
μισθοφορᾷ προὔχοντας, τὸν δὲ τῇ ἀρχῇ τῆς δεκάδος,
δώδεκα δὲ Πέρσας, τοὺς μὲν Μακεδόνας τὴν πάτριον
ὅπλισιν ὡπλισμένους, τοὺς δὲ Πέρσας τοὺς μὲν τοξότας,
7 τοὺς δὲ καὶ μεσάγκυλα ἔχοντας. Ἐν τούτῳ δὲ πολλάκις
μὲν τοῦ ναυτικοῦ ἀπεπειρᾶτο, πολλαὶ δὲ ἔριδες αὐτῷ τῶν
τριηρῶν καὶ ὅσαι τετρήρεις κατὰ τὸν ποταμὸν ἐγίγνοντο,
καὶ ἀγῶνες τῶν τε ἐρετῶν καὶ τῶν κυβερνητῶν καὶ στέ-
8 φανοι τῶν νικώντων. Ἧκον δὲ καὶ παρὰ Ἄμμωνος οἱ
θεωροὶ οὕστινας ἐστάλκει ἐρησομένους ὅπως θέμις αὐτῷ

---

quattuor codd. Gronovii. Schmiederus dedit *δεκάρχην* ex auctoritate codicis F. Utramque formam in scriptis veterum Graecorum legi non ignoro; ignoro utra praestet vel sola recta sit. Apud Xenophont. Cyropaed. II, 1, 22 et IV, 2, 27 plurimi libri manuscripti tuentur formam *δεκάδαρχος*, nec tamen omnes. Eodemque fere modo libri fluctuant Hipparch. IV, 9 ubi hodie quidem *δεκάδαρχος* scriptum est. Cyrop. III, 4, 4 legitur vulgo *δωδεκάρχας*, pro quo Poppoius scriptum malit *δωδεκαδάρχας* s. *δωδεκαδάρχους*, quae forma reperitur III, 3, 11, ubi simul memorantur *ἐξάδαρχοι*, quod nomen eodem modo scriptum est VIII, 4, 30. *Πεμπάδαρχος* sine ulla scripturae discrepantia legitur Cyrop. II, 1, 22 et Hipparch. IV, 9. *Δεκάρχαι* una cum *μυριάρχαις* memorantur Herodoto VII, 81. Apud Arr. Tact. c. XLVI formas habes *δεκαδάρχης* et *δεκαδαρχία*. Formam *τετράρχης*, si scriptura sana, usurpavit Arr. Tact. c. XIII. *Τετραρχία* pro *τετραδαρχιά* hodie legitur apud Arr. III, 18, 8 et Demosth. c. Philipp. III, p. 107, Bekk. Praeterea vide quae de formis *δεκαρχία* et *δεκαδαρχία* monuerunt Sturz. Lex. Xenoph. s. v. Schneid. ad Arist. Polit. II, 8, 4, p. 146 sq. Morus ad Isocr. Panegyr. p. 44, ed. Dind. Schneid. ad Xen. Hist. Gr. III, 4, 2 vv. ll. ad Isocr. Panath. p. 245, Bekk. Siebel. ad Pausan. VIII, 52, 2. IX, 6, 1. Cum autem inter omnes constet, *δεκάρχας* nominatos esse in pluribus civitatibus *decemviros* et *δεκαρχίαν decemvirorum potestatem* (vid. Wessel. ad Diod. Sic. XIV, 13. Wachm. Hellen. Alterthumsk. II, p. 245), nescio an, si de militum ducibus sermo est, praestet forma *δεκαδάρχης* s. *δεκάδαρχος*. Unde enim factum putamus, ut in his formis scribendis a librariis peccatum sit, cum, ubi *μυρίαρχοι* et *χιλίαρχοι* memorantur, qui soli militum

τιμᾶν Ἡφαιστίωνα· οἱ δὲ ὡς ἥρωϊ ἔφησαν ὅτι θύειν θέμις ὁ Ἄμμων λέγει. Ὁ δὲ ἔχαιρέ τε τῇ μαντείᾳ καὶ τὸ ἀπὸ τοῦδε ὡς ἥρωα ἐγέραιρε. Καὶ Κλεομένει ἀνδρὶ κακῷ 9
καὶ πολλὰ ἀδικήματα ἀδικήσαντι ἐν Αἰγύπτῳ ἐπιστέλλει ἐπιστολήν· καὶ ταύτην τῆς μὲν ἐς Ἡφαιστίωνα καὶ ἀποθανόντα φιλίας ἕνεκα καὶ μνήμης· οὐ μέμφομαι ἔγωγε, ἄλλων δὲ πολλῶν ἕνεκα μέμφομαι. Ἔλεγε γὰρ ἡ ἐπιστολὴ 10
κατασκευασθῆναι Ἡφαιστίωνι ἡρῷον ἐν Ἀλεξανδρείᾳ τῇ Αἰγυπτίᾳ, ἔν τε τῇ πόλει αὐτῇ καὶ ἐν τῇ νήσῳ τῇ Φάρῳ ἵνα ὁ πύργος ἐστὶν ὁ ἐν τῇ νήσῳ μεγέθει τε μέγιστος, καὶ πολυτελείᾳ ἐκπρεπέστατος· καὶ ὅπως ἐπικρατήσῃ 11
καλεῖσθαι ἀπὸ Ἡφαιστίωνος, καὶ τοῖς συμβολαίοις καθ'

---

duces esse possunt, nusquam fere varia scriptura enotata sit? Vide Xenoph. Cyr. III, 3, 11. VI, 3, 21. VIII, 1, 14. Oecon. IV, 7. Arrian. IV, 30, 11. VII, 14, 19 coll. ann. ad VI, 8, 2.

6. τὴν πάτριον ὅπλισιν] Ed. Bas. τὴν πάτριον ὅπλησιν, ex solenni harum vocalium confusione. Supra eadem ἐπεὶ τούτοις δέ.

7. καὶ ὅσαι τετρήρεις] Sic recte edd. Vulc. Blanc. Gron. Raphel. et Schmid. cum quattuor codd. Gronovii. καὶ ὅσαι τε τριήρεις cod. F. cum ed. Bas. Perperam. Neque Schmiederus ausus est recipere hanc lectionem. Vide enim quae narrat Arr. VII, 16, 4.

8. οἱ δὲ ὡς ἥρωϊ ἔφησαν ὅτι — θέμις] Variata paululum oratione dixit II, 5, 12 καὶ Ἀμφιλόχῳ ὅσα ἥρωϊ ἐνήγισεν. Cf. II, 27, 10 ἐχρῆτο ὅσα φρουρίῳ ἐς τὸν πόλεμον et VII, 14, 12 ἐναγίζειν τε ὅτι ἀεὶ ὡς ἥρωϊ ἐκέλευεν Ἡφαιστίωνι. Herod. II, 44 τῷ Ὀλυμπίῳ (sc. Ἡρακλεῖ) θύουσι ὡς ἀθανάτῳ τῷ δὲ ἑτέρῳ ὡς ἥρωϊ ἐναγίζουσι. Paus. II, 11 7. — De usu et constuctione verbi γεραίρειν diximus ad IV, 10, 9.

9. πολλὰ ἀδικήματα ἀδικήσαντι] De hac formula et similibus vide ann. ad VI, 11, 13. — Mox formula ἐπιστολὴν ἐπιστεῖλαι significatur quod Latine dixeris *per litteras mandare*. Vide Valck. ad Eurip. Hippol. v. 858. Alibi simplicius paulo locutus est I, 29, 5 Παρμενίωνι ἐπέστειλεν. III, 19, 11 ἐπέστειλε δὲ καὶ Μένητι.

11. καὶ ὅπως ἐπικρατήσῃ καλεῖσθαι] Hanc scripturam suppeditavit cod. F. In edd. vett. et quattuor codd. Gronovii legebatur ἐπικαλεῖσθαι. Minus recte. Nimirum praepositio addebatur a librariis qui paulo ante scripserant ἐπικρατήσῃ. Vide Fritzsch. Qu. Lucc. p. 13. Iacobs. ad Ael. hist. animall. VIII, 25 et in vv. ll. Diario schol. Darmstad. II, 1831. p. 1025 insertis. Ceterum

ὅσα οἱ ἔμποροι ἀλλήλοις ξυμβάλλουσιν, ἐγγράφεσθαι τὸ
12 ὄνομα Ἡφαιστίωνος. Ταῦτα μὲν [οὖν] οὐκ ἔχω μέμψα-
σθαι, πλήν γε δὴ ὅτι οὐκ ἐν μεγάλοις μεγάλως διεσπου-
13 δάζετο, ἐκεῖνα δὲ καὶ πάνυ μέμφομαι. Ἢν γὰρ καταλάβω
ἐγὼ (ἔλεγέ τὰ γράμματα) τὰ ἱερὰ τὰ ἐν Αἰγύπτῳ καλῶς
κατεσκευασμένα καὶ τὰ ἡρῷα τὰ Ἡφαιστίωνος, εἴ τέ τι
πρότερον ἡμάρτηκας, ἀφήσω σὲ τούτων, καὶ τὸ λοιπὸν
14 ὁπηλίκον ἂν ἁμάρτῃς οὐδὲν πείσῃ ἐξ ἐμοῦ ἄχαρι. Τοῦτο
ἀνδρὶ ἄρχοντι πολλῆς μὲν χώρας, πολλῶν δὲ ἀνθρώπων,

---

post *καλεῖσθαι* punctum minusculum positum est. Id quod fieri nequit. Hoc enim dicit Arrianus: *atque ut heroum de Hephaestionis nomine vulgo appellaretur, iussit etiam tabulas contractuum quoscunque negotiatores inter se conficerent, Hephaestionis inscribi nomen.* Unde Raphelius, qui loci intellectum non cepit: „Quaero, inquit, qua ratione aut cuius rei causa Hephaestionis nomen tabulis contractuum sit inscriptum? Mihi quidem nihil aliud succurrit, nisi ad firmandam iureiurando fidem in negotiis contrahendis adhibitum fuisse Hephaestionis tanquam dei nomen. Id adeo mihi verisimile fit ex Luciano *de non tem. cred. calumn.*, ubi cum multa alia habentur de divinis Hephaestionis honoribus quibus eum Alexander coli voluit, tum hoc quoque t. I, p. 827 *καὶ ὁ μέγιστος ὅρκος ἦν ἅπασιν Ἡφαιστίων.*" Sed ex iis quae Lucianus statim addit *τέλος ἔθυον παρέδρῳ καὶ ἀλεξικάκῳ θεῷ*, apparet templum in Hephaestionis honorem aedificatum de eius nomine appellatum fuisse *Ἡφαιστιώνειον*, quomodo memoratur *Ἀμφεῖον, Ἡρακλεῖον. Θησεῖον, Ἐρεχθεῖον* simm. Quo celebrius vero hoc templum fieret, decrevit Alexander, ut tabulis contractuum nomen Hephaestionis tanquam dei inscriberetur. Sic de Augusto dixit Horat. Epp. II, 1, 16 *iurandasque tuum per nomen ponimus aras*, ubi vide quae docte annotavit Th. Schmidius.

12. *ταῦτα μὲν [οὖν] οὐκ ἔχω —]* Uncis inclusimus particulam *οὖν*, quam Schmiederus ex auctoritate codicis F. statim relegavit. At agnoscunt eam edd. vett. et quattuor codd. Gronovii. Ac particulas *μὲν οὖν* sic coniunctas saepe reperiri nemo nescit. Vide III, 25, 11. V, 26, 9. VI, 9, 2. ann. ad VI, 8, 12. Cf. Pausan. I, 27, 4, ubi eaedem in libris manuscriptis turbae. Eandem particulam insertam voluit Iacobs. apud Lucian. Parasit. c. 28 citatum post Porsoni Adverss. p. 299. *Οὖν* et *οὐκ* confusa vide apud Arr. IV. 8, 8. — Mox pro *οὐκ ἐν μεγάλοις*, quae est lectio codicis F., edd. vett. et quattuor codd. Gronovii dant *οὐκ ἐπὶ μεγά-*

ἐκ βασιλέως μεγάλου ἐπεσταλμένον ἄλλως τε καὶ κακῷ ἀνδρὶ οὐκ ἔχω ἐπαινέσαι.

XXIV. Ἀλλὰ γὰρ αὐτῷ ἤδη Ἀλεξάνδρῳ ἐγγὺς ἦν τὸ τέλος. Καί τι καὶ τοιόνδε πρὸ τῶν μελλόντων 2 σημῆναι λέγει Ἀριστόβουλος· καταλοχίζειν μὲν αὐτὸν τὴν στρατιὰν τὴν ξὺν Πευκέστᾳ τε ἐκ Περσῶν καὶ ἀπὸ θαλάσσης ξὺν Φιλοξένῳ καὶ Μενάνδρῳ ἥκουσαν ἐς τὰς Μακεδονικὰς τάξεις, διψήσαντα δὲ ἀποχωρῆσαι ἐκ τῆς ἕδρας, καταλιπόντα ἔρημον τὸν θρόνον τὸν βασί-

---

λοις, non minus recte. Nescio vero an non satis recte contendat Schneiderus in Lexico s. v. διασπουδάζεσθαι, hoc Arriani loco διεσπουδάζετο pro passivo esse habendum. Mihi quidem non magis passivum est quam omnia quae vulgo dicuntur verba media. Sic enim vernacule dixerim: *ausgenommen dass er bei unbedeutenden Anlässen sich sehr eifrig bewies.* Pro οὐκ ἐν μεγάλοις proprie dicendum fuisse Arriano ἐν οὐ μεγάλοις vix est quod moneam. Simile hyperbaton notavit Krueg. ad Xenoph. Anab I, 5, 3.

13. τὰ ἡρῷα τὰ Ἡφαιστίωνος] Edd. vett. et quattuor codd. Gronovii τὰ ἡρῷα τοῦ Ἡφαιστίωνος. Non male. Magis tamen mihi placuit altera lectio, cuius auctor exstitit cod. F. Vide ann. ad I, 1, 4 et III, 26, 1. — Infra omnes codd. Gronovii cum ed. Bas. ὁπηλίκον ἂν ἁμάρτῃς. Vulcanius primus ὁπηλίκον ἂν ἁμάρτοις. Quod primus correxit Schmiederus.

14. ἄλλως τε καὶ κακῷ ἀνδρί] Hic Cleomenes haud multo post obitum Alexandri a Ptolemaeo occisus narratur Paus. I, 6, 3 αὐτὸς δὲ (ὁ Πτολεμαῖος) εἰς Αἴγυπτον διαβὰς Κλεομένην τε ἀπέκτεινεν ὃν σατραπεύειν Αἰγύπτου κατέστησεν Ἀλέξανδρος. Eum in provincia Aegypto male se gessisse arguunt quae de eo publice pronunciavit Demosth. c. Dion. p. 1285, Reisk. (p. 492, Bekk.).

C. XXIV. 2. καί τι καὶ σημῆναι] Vulcanius: *quem vel hoc maxime prodigio significatum fuisse scribit Aristobulus.* Eodem loquendi genere usus est VII, 22, 5 τοῦτό τε οὖν αὐτὸν πρὸ τῶν μελλόντων σημῆναι. Atque in his conspicitur ὁ δεύτερος Ξενοφῶν, cuius dux atque auctor dixerat in Hist. Gr. V, 4, 7 ἀπιόντι γε μὴν ἄνεμος αὐτῷ ἐξαίσιος ἐγένετο, ὃν καὶ οἰωνίζοντό τινες σημαίνειν πρὸ τῶν μελλόντων. Nam sic legendum esse pro περὶ τῶν μελλόντων iam vidit Morus, comparatis, ut decebat, his Arriani locis.

3 λειον. Εἶναι δὲ κλίνας ἑκατέρωθεν τοῦ θρόνου ἀργυρό-
4 ποδας, ἐφ' ὧν οἱ ἀμφ' αὐτὸν ἑταῖροι ἐκάθηντο. Τῶν τινα οὖν ἠμελημένων ἀνθρώπων (οἱ δὲ καὶ τῶν ἐν φυλακῇ ἀδέσμῳ ὄντα λέγουσιν) ἔρημον ἰδόντα τὸν θρόνον καὶ τὰς κλίνας, περὶ τῷ θρόνῳ δὲ ἑστηκότας τοὺς εὐνούχους (καὶ γὰρ καὶ οἱ ἑταῖροι ξυνανέστησαν τῷ βασιλεῖ ἀποχωροῦντι), διελθόντα διὰ τῶν εὐνούχων ἀναβῆναί τε
5 ἐπὶ τὸν θρόνον καὶ καθίζεσθαι· τοὺς δὲ οὐκ ἀναστῆσαι μὲν αὐτὸν ἐκ τοῦ θρόνου κατὰ δή τινα νόμον Περσικόν, περιῤῥηξαμένους δὲ τύπτεσθαι τά τε στήθη καὶ τὰ πρό-

---

3. *οἱ ἀμφ' αὐτόν*] Ed. Bas. *οἱ ἀμφ' αὐτὸν.*

4. *τῶν τινα οὖν ἠμελημένων*] Compara Diod. Sic. XVII, 116 *τῶν ἐγχωρίων τις δεδεμένος ἐλύθη τὰς πέδας αὐτομάτως καὶ λαθὼν τοὺς φύλακας διῆλθε διὰ τῶν τῆς αὐλῆς θυρῶν ἀνεπικωλύτως· προσελθὼν δὲ τῷ θρόνῳ καὶ τὴν βασιλικὴν ἐνδυσάμενος ἐσθῆτα καὶ τὸ διάδημα περιθέμενος ἐκάθισεν ἐπὶ τοῦ θρόνου καὶ τὴν ἡσυχίαν ἦγε.* Plut. vid. Al. c. LXXIII. *ἀποδυσαμένου δὲ πρὸς ἄλειμμα καὶ σφαῖραν αὐτοῦ παίζοντος οἱ νεανίσκοι οἱ σφαιρίζοντες, ὡς ἔδει πάλιν λαβεῖν τὰ ἱμάτια, καθορῶσιν ἄνθρωπον ἐν τῷ θρόνῳ καθεζόμενον σιωπῇ, τὸ διάδημα καὶ τὴν στολὴν τὴν βασιλικὴν περικείμενον.* — Infra pro *δὲ ἑστηκότας* in ed. Bas. scriptum est *διεστηκότας*, cuius corruptelae generis plura exempla vide ad I, 17, 7 allata. Unde mirandum, cur viri docti apud Thucyd. II, 102 dubitare potuerint de scriptura *δὲ ἐξιείς* pro vulg. *διεξιείς* quod ineptissimum est. Vide ann. ad Arr. III, 30, 15.

5. *τοὺς δὲ οὐκ ἀναστῆσαι*] De meo sic dedi pro vulgato *ἀναστῆναι*, quod defendi non potest. Hoc enim dicit Arrianus: *eos vero de solio illum detrahere non ausos esse.* Similiter dixit Herod. V, 71 *τούτους ἀνιστέασι μὲν οἱ Πρυτάνις τῶν Ναυκράρων.* Xenoph. Hist. Gr. II, 4, 42 *εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοιαῦτα — ἀνέστησε τὴν ἐκκλησίαν.* Plutarch. vit. Thes. c. III, *ἂν υἱὸς δυνατὸς ᾖ τὴν πέτραν ἀναστῆσαι.* — Infra in ed. Basil. legitur *κατὰ δεῖπνα νόμον*, quod correxit iam Vulcanius. Vide ann. ad I, 5, 20 et II, 24, 8.

περιῤῥηξαμένους δέ] Saepe sic absolute hoc verbum dicitur de iis *qui vestes suas dilacerant.* Exemplorum nubem congesserunt viri docti ad Xenoph. Ephes. p. 141 sq. p. 233 sq. Wessel. ad Diod. Sic XVII, 35 et Valck. ad Herod. III, 66.

6. *τὸν δὲ οὐδὲν ἄλλο ἐξειπεῖν*] Edd. vett. et quattuor codd. Gronovii *κατειπεῖν.* „Praeter exspectationem plane est quod in verbo

σιωπᾷ ὡς ἐπὶ μεγάλῳ κακῷ. Ταῦτα ὡς ἐξηγγέλθη Ἀλεξ- 6
άνδρῳ, κελεῦσαι στρεβλωθῆναι τὸν καθίσαντα, μήποτε ἐξ ἐπιβουλῆς ξυντεταγμένον τοῦτο ἔδρασε γνῶναι θέλοντα· τὸν δὲ οὐδὲν ἄλλο ἐξειπεῖν, ὅτι μὴ ἐπὶ νοῦν οἱ ἐλθὸν οὕτω πρᾶξαι· ᾗ δὴ καὶ μᾶλλον ἐπ' οὐδενὶ ἀγαθῷ ξυμβῆναι αὐτῷ οἱ μάντεις ἐξηγοῦντο. Ἡμέραι τε οὐ πολλαὶ 7
ἐπὶ τούτῳ ἐγένοντο, καὶ τεθυκὼς τοῖς θεοῖς τάς τε νομιζομένας θυσίας ἐπὶ ξυμφοραῖς ἀγαθαῖς καί τινας καὶ ἐκ μαντείας, εὐωχεῖτο ἅμα τοῖς φίλοις καὶ ἔπινε πόῤῥω τῶν νυκτῶν. Δοῦναι δὲ λέγεται καὶ τῇ στρατιᾷ ἱερεῖα καὶ

---

huic materiae tam destinato ita refragatur unus ille codicum Optimus, exhibendo ἐξειπεῖν. Et sane videtur esse differentia: nam vulgatum κατειπεῖν saepe usurpat auctor, sed ut significet, *nominare aliquem in tormentis*: hic vero desideratur *confiteri aliquid et naturam rei de qua quaeritur.*" *Gronov.* Quae Gronovius ad defendendam scripturam codicis F. dixit, ea ex parte tantum vera sunt (vid. ann. ad IV, 13, 13.). Mihi quidem vulgata propterea alteri lectioni posthabita est, quod ἐξειπεῖν, ut Latinum *effari* dicitur de iis quae quis publici iuris facit, publice enarrat, ita tamen ut aegre id faciat. Interpretis instar sit Plutarchus, qui in vita Alexandri c. LXXIII de eodem hoc homine loquens narrat, οὗτος ἀνακρινόμενος ὅστις εἴη, χρόνον πολὺν ἄναυδος ἦν, μόλις δὲ συμφρονήσας Διονύσιος μὲν ἔφη καλεῖσθαι —· ἄρτι δὲ αὐτῷ τὸν Σάραπιν ἐπιστάντα τοὺς δεσμοὺς ἀνεῖναι καὶ προαγαγεῖν δεῦρο καὶ κελεῦσαι λαβόντα τὴν στολὴν καὶ τὸ διάδημα καθίσαι καὶ σιωπᾶν. Cf. Diod. Sic XVII, 116 — ὁ βασιλεὺς — τὸν ἄνθρωπον — ἀνέκρινε, τίς ὢν καὶ τί βουλόμενος τοῦτο ἔπραξε; τοῦ δὲ εἰπόντος μηδὲν ἁπλῶς γιγνώσκειν cet. — Pro ἐλθὸν ed Basil. ἐλθὼν et supra eadem καθήσαντα.

ᾗ δὴ καὶ μᾶλλον] Sic recte scripsit Schmiederus ex coniectura Raphelii pro vulgato ἢ δὴ καὶ μᾶλλον. cf. V, 13, 4 ᾗ δὴ καὶ μᾶλλον νῆσος οὖσα ἔλαθεν. Similiter V, 10, 2 in ed. Basil. male scriptum est ἢ μὲν δὴ pro ἦ μὲν δή. Atque sic vides, unde falsa scriptura orta sit.

7. εὐωχεῖτο ἅμα τοῖς φίλοις καὶ ἔπινε] Schmiederus e codice F. dedit εὐωχεῖται. Mihi placuit quod praebent edd. vett. ed. rell. codd. Gronovii. Tempora mutandi nulla comparet satis idonea causa. Alius generis sunt quae collegimus in ann. ad II, 2, 7 et IV, 16, 7. Verba εὐωχεῖσθαι et πίνειν eodem modo coniunxit Xenoph. Cyrop. IV, 5, 7 οἱ δὲ Μῆδοι καὶ ἔπινον καὶ εὐωχοῦντο καὶ

8 οἶνον κατὰ λόχους καὶ ἑκατοστύας. Ἀπὸ δὲ τοῦ πότου αὐτὸν μὲν ἀπαλλάττεσθαι ἐθέλειν ἐπὶ κοιτῶνι εἰσὶν οἳ ἀνέγραψαν· Μήδιον δὲ αὐτῷ ἐντυχόντα τῶν ἑταίρων ἐν τῷ τότε τὸν πιθανώτατον δεηθῆναι κωμάσαι παρὰ οἷ· γενέσθαι γὰρ ἂν ἡδὺν τὸν κῶμον.

XXV. Καὶ αἱ βασίλειοι ἐφημερίδες ὧδε ἔχουσι· πίνειν παρὰ Μηδίῳ αὐτὸν κωμάσαντα· ἔπειτα ἐξαναστάντα καὶ λουσάμενον καθεύδειν τε καὶ αὖθις δειπνεῖν παρὰ Μηδίῳ καὶ αὖθις πίνειν πόῤῥω τῶν νυκτῶν. ἀπαλλαχθέντα δὲ τοῦ πόνου λούσασθαι· καὶ λουσάμενον ὀλίγον τι ἐμφαγεῖν καὶ καθεύδειν αὐτοῦ, ὅτι ἤδη ἐπύρεσ-
2 σεν· ἐκκομισθέντα δὲ ἐπὶ κλίνης πρὸς τὰ ἱερὰ θῦσαι
ὡς νόμος ἐφ' ἑκάστῃ ἡμέρᾳ· καὶ τὰ ἱερὰ ἐπιθέντα κα-
3 τακεῖσθαι ἐν τῷ ἀνδρῶνι ἔστε ἐπὶ κνέφας· ἐν τούτῳ δὲ

ηὐλοῦντο καὶ πάσης εὐθυμίας ἐνεπίμπλαντο. Ut autem Xenophon scripsit de rep. Athen. II, 9 ὅτι οὐχ οἷόν τέ ἐστιν ἑκάστῳ τῶν πενήτων θύειν καὶ εὐωχεῖσθαι, sic Arr. V, 2, 8 θῦσαί τε αὐτοῦ Ἀλέξανδρον — καὶ εὐωχηθῆναι. Cf. Fritzsch. Qu. Lucc. p. 206.

8. κωμάσαι παρὰ οἷ] Edd. omnes παρά οἱ. — Supra ed. Basil. πιθανότατον. Vide ann. ad I, 15, 4 et I, 22, 4. — De re cf. Plutarch. vit. Alex. c. LXXV ἑστιάσας δὲ λαμπρῶς τοὺς περὶ Νέαρχον, εἶτα λουσάμενος ὥσπερ εἰώθει μέλλων καθεύδειν, Μηδίου δεηθέντος ᾤχετο κωμασόμενος πρὸς αὐτόν. Athen. Deipnos. X, p. 434, C ὅτι παρὰ Μηδείῳ (? Μηδίῳ) τῷ Θεσσαλῷ δειπνῶν ὁ Ἀλέξανδρος — πᾶσι προὔπιε.

C. XXV. αἱ βασίλειοι ἐφημερίδες ὧδε ἔχουσι] Cf. Plut. vit. Alex. c. 76 ἐν δὲ ταῖς ἐφημερίσιν οὕτως γέγραπται τὰ περὶ τὴν νόσον. Illas ephemerides ab Eumene Cardiano atque Diodoto Erythraeo conscriptas esse auctor est Athen. X, p. 434, B. — Ceterum pro βασίλειοι ed. Basil. βασίλειαι. Vide ad VI, 1, 1.

πίνειν — αὐτὸν κωμάσαντα] „Recte; id enim est, de quo potissimum volebat probare. Interim haec comissatio apud Medium iam satis erat ostentata, nec commentarii regii debuerunt omittere, quod annotarunt alii, nempe κυβεύσαντα. Hoc enim fuit alterum lutum in quo haesit Alexander praeter τὸ πίνειν. Hinc κυβεῖαι μεθημεριναὶ vituperantur apud Plutarchum or. II, *de fortuna Alexandri*, in quo etiam peculiariter scribitur ἐκύβευε δὲ πρὸς Μήδιον πυρέττων. Verum optime ista conveniunt et ultro satis patet, vix fuisse ullum κῶμον, quem κύβοι non comitarentur. Unde iungun-

τοῖς ἡγεμόσι παραγγέλλειν ὑπὲρ τῆς πορείας καὶ τοῦ πλοῦ, τοὺς μὲν ὡς πεζῇ ἰόντας παρασκευάζεσθαι ἐς τετάρτην ἡμέραν, τοὺς δὲ ἅμα οἷ πλέοντας ὡς εἰς πέμπτην πλευσομένους· ἐκεῖθεν δὲ κατακομισθῆναι ἐπὶ κλίνης ὡς 4
ἐπὶ τὸν ποταμὸν· καὶ πλοῖον ἐπιβάντα διαπλεῦσαι πέραν τοῦ ποταμοῦ ἐς τὸν παράδεισον, κἀκεῖ αὖθις λουσάμενον ἀναπαύεσθαι. Ἐς δὲ τὴν ὑστεραίαν λούσασθαί 5
τε αὖθις καὶ θῦσαι τὰ νομιζόμενα· καὶ εἰς τὴν καμάραν εἰσελθόντα κατακεῖσθαι διαμυθολογοῦντα πρὸς Μήδιον· παραγγεῖλαι δὲ καὶ τοῖς ἡγεμόσιν ἀπαντῆσαι ἕωθεν. Ταῦτα πράξαντα δειπνῆσαι ὀλίγον· κομισθέντα δὲ αὖθις 6
ἐς τὴν καμάραν πυρέσσειν ἤδη ξυνεχῶς τὴν νύκτα ὅλην· τῇ δὲ ὑστεραίᾳ λούσασθαι καὶ λουσάμενον θῦσαι. Νεάρχῳ 7
δὲ καὶ τοῖς ἄλλοις ἡγεμόσι παραγγεῖλαι τὰ ἀμφὶ τὸν

---

tur ista duo apud Plutarchum in libello *de liberis educandis*, οἱ δὲ ἐς κύβους καὶ κώμους ἐξοκέλλουσι: et rursus. ἀμετρία γαστρὸς καὶ κλοπαὶ πατρῴων χρημάτων, καὶ κύβοι καὶ κῶμοι καὶ πότοι καὶ παρθένων ἔρωτες." *Gronov.*

2. ἐκκομισθέντα δέ] Vera est habenda haec scriptura, cum Gronovius nihil e codicibus suis enotaverit. Id tamen moneo, me in ed. Basil. reperisse καὶ ἐκκομισθέντα δή. Quod si correxeris scribendo καὶ ἐκκομισθέντα δέ, haud inepte procedat oratio, coll. ann. ad I, 29, 6.

3. ἅμα οἷ] Edd. ἅμά οἱ. — Paulo supra ed. Basil. πεζῆ, omisso ι subscripto. Mox infra omnes edd. κἀκεῖ. De qua scriptura iam monui ad I, 8, 9.

5. εἰς τὴν καμάραν εἰσελθόντα] Vulcanius: *ingressumque cubiculum iacuisse cum Medio colloquentem.* Eandem significationem, quam h. l. καμάρα, VII, 24, 8 vocacabulum habet quod est κοιτών. Quod idem nomen habes quoque Arr. Epict. IV, 7 init. Cf. Wessel. ad Herod. I, 9. Praeterea mire discedit ab Arriano Plutarchus in iis quae c. LXXVI de Alexandri aegritudine et morte narrat. Atque eo magis hoc mirandum est, quod utrumque scriptorem sua constat ex eodem fonte hausisse et Plutarchus ipse c. LXXVII affirmat τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς ἐφημερίσιν οὕτω γεγραμμένα εἶναι. Diodorus, cum XVII, 117 Alexandri mortem exstremis quasi digitis tantum attingat, nihil facit ad rem, neque plura discimus e narratione Iustini XII. 13, 15.

πλοῦν ὅπως ἔσται ἐς τρίτην ἡμέραν· τῇ δὲ ὑστεραίᾳ
8 λούσασθαι αὖθις καὶ θῦσαι τὰ τεταγμένα· καὶ τὰ ἱερὰ
ἐπιθέντα οὐκέτι ἐλιννύειν πυρέσσοντα, ἀλλὰ καὶ ὣς τοὺς
ἡγεμόνας εἰσκαλέσαντα παραγγέλλειν τὰ πρὸς τὸν ἔκπλουν
ὅπως αὐτῷ ἔσται ἕτοιμα, λούσασθαί τε ἐπὶ τῇ ἑσπέρᾳ,
9 καὶ λουσάμενον ἔχειν ἤδη κακῶς. Τῇ δὲ ὑστεραίᾳ μετα-
κομισθῆναι ἐς τὴν οἰκίαν τὴν πρὸς τῇ κολυμβήθρᾳ καὶ
θῦσαι μὲν τὰ τεταγμένα, ἔχοντα δὲ πονήρως ὅμως ἐσκα-
λέσαι τῶν ἡγεμόνων τοὺς ἐπικαιροτάτους καὶ ὑπὲρ τοῦ
10 πλοῦ αὖθις παραγγέλλειν. Τῇ δ' ἐπιούσῃ μόγις ἐκκομι-
σθῆναι πρὸς τὰ ἱερὰ καὶ θῦσαι καὶ μηδὲν μεῖον ἔτι παρ-
αγγέλλειν ὑπὲρ τοῦ πλοῦ τοῖς ἡγεμόσιν. Ἐς δὲ τὴν ὑστε-
11 ραίαν κακῶς ἤδη ἔχοντα ὅμως θῦσαι τὰ τεταγμένα. Πα-
ραγγεῖλαι δὲ τοὺς μὲν στρατηγοὺς διατρίβειν κατὰ τὴν

---

8. *οὐκέτι ἐλιννύειν πυρέσσοντα*] „Cum prius verbum illustraverit iam doctissimus Leopardus lib. I. Emendatt. c. 24. et illic ne Arriani quidem nostri mentionem neglexerit, ut qui aliquoties eo utatur, censeo non supprimendum scholion, quod in codice III. ad marginem reperi. *Ἐλιννύειν πυρέσσοντα τοῦτο βούλεται λέγειν, ἢ ὅτι πυρέσσων οὐκ ἠρέμα, ἀλλὰ τῶν στόλων ἐξήρτιεν* (l. *τὸν στόλον ἐξήρτυεν*. E.), *ἢ ὅτι ὁ πυρετὸς οὐκ ἠρέμα. Ἐλιννύειν γὰρ τὸ βραδύνειν λέγεται.* Sed et ex codice Grammatici cuiusdam inter Barocciana Oxoniensia legi *ἐλινύειν* (sic uno *ν*)· *ἀργεῖν, σχολάζειν.*“ *Gronov.* Raphelius grammatici glossa permotus: „Et sane, inquit, haud facile dictu est, utrum praeferendum, *febrim non cessasse*, an *Alexandrum non cessasse* a negotiis, licet *febricantem.*“ *Raphel.* Scholiastae posteriorem explicationem solam veram esse vel non admonitus quisque videat. Hoc enim clarum fit ex addita particula *οὐκέτι*. De forma et significatione verbi *ἐλιννύειν* diximus ad IV, 30, 3.

9. *ἐς τὴν οἰκίαν*] Ed. Bas. *ἐς τὴν οἰκείαν.*

11. *πονήρως ἔχοντα*] Edd. Basil. et Schmied. *πονηρῶς ἔχοντα.* Grammaticorum praecepta de mutabili accentu adiectivorum *πονηρός* et *μοχθηρός* utrum vera sint necne, in medio relinquam. Cf. Lobeck. ad Phryn. p. 389. Himer. Ecl. XIX, p. 714 *πονήρως ἔχει τὴν χεῖρα.* Lucian. Alexand. p. 232, ed. Fritzsch. *ἐπ' Ἀλεξάνδρῳ, ὅτε ἤδη πονήρως εἶχεν.*

12. *Εἰσελθόντων δὲ — γνῶναι μὲν αὐτοὺς*] Eodem fere verborum constructione dixit Thucyd. I, 114 *διαβεβηκότος ἤδη Περι-*

αὐλήν, χιλιάρχας δὲ καὶ πενταχοσιάρχας πρὸ τῶν θυρῶν· ἤδη δὲ παντάπασι πονήρως ἔχοντα διακομισθῆναι ἐκ τοῦ παραδείσου εἰς τὰ βασίλεια. Εἰσελθόντων δὲ τῶν ἡγε- 12
μόνων γνῶναι μὲν αὐτούς, φωνῆσαι δὲ μηδὲν ἔτι, ἀλλ' εἶναι ἄναυδον· καὶ τὴν νύκτα πυρέσσειν κακῶς καὶ τὴν ἡμέραν καὶ τὴν ἄλλην νύκτα καὶ τὴν ἡμέραν· οὕτως ἐν ταῖς ἐφημερίσι ταῖς βασιλείοις ἀναγέγραπται.

XXVI. Καὶ ἐπὶ τούτοις ὅτι οἱ στρατιῶται ἐπόθησαν ἰδεῖν αὐτόν· οἱ μέν, ὡς ζῶντα ἴδοιεν, οἱ δέ, ὅτι τεθνηκέναι ἤδη ἐξηγγέλλετο, ἐπικρύπτεσθαι δὲ αὐτοῦ ἐτόπαζον πρὸς τῶν σωματοφυλάκων τὸν θάνατον, ὡς ἔγωγε δοκῶ, τοὺς πολλοὺς δὲ ὑπὸ πένθους καὶ πόθου τοῦ βασιλέως βιάσασθαι ἰδεῖν Ἀλέξανδρον. Τὸν δὲ ἄφωνον μὲν εἶναι 2
λέγουσι παραπορευομένης τῆς στρατιᾶς, δεξιοῦσθαι δὲ

κλέους — ἠγγέλθη αὐτῷ, quem locum cum multis aliis attulit Fritzsch. Qu. Lucc. p. 173.

καὶ τὴν ἄλλην νύκτα καὶ τὴν ἡμέραν] Haec verba ab editoribus ante Gronovium male omissa non solum praebent codices quos inspexit Gronovius, sed etiam V. C. Vulcanii. Gronovius conferri iussit VI, 9, 12 ἄλλον δὲ λίθῳ βαλὼν ἔσχε καὶ ἄλλον λίθῳ. VII, 30, 4 καὶ φάσματα ἄλλα ἄλλοις γενόμενα καὶ ἐνύπνια φανέντα ἄλλοις, ubi vide var. lect. Adde Xenoph. Anab. I, 5, 12 ἄλλος δὲ λίθῳ καὶ ἄλλος sc. ἵησι.

C. XXVI. καὶ ἐπὶ τούτοις ὅτι ἐπόθησαν ἰδεῖν αὐτόν] „Mirum quantum ipsa haec verba retinuit Lucianus in *Pseudomanti* (t. V, p. 80, Bip.) ubi pariter edocet quae praetereundi ratio hic fuerit observata, nempe ἐτετρύπητο δὲ κατὰ τὸ ἀντίθυρον ἄλλη ἔξοδος, οἷόν τι τοὺς Μακεδόνας ἐν Βαβυλῶνι ποιῆσαι ἐπ' Ἀλεξάνδρῳ νοσοῦντι λόγος, ὅτε ὁ μὲν ἤδη πονήρως εἶχεν, οἱ δὲ περιστάντες τὰ βασίλεια ἐπόθουν ἰδεῖν αὐτὸν καὶ προσειπεῖν τὸ ὕστατον.“ Gronov.

2. τὸν δὲ ἄφωνον μὲν εἶναι] Supra VII, 25, 12 φωνῆσαι δὲ μηδὲν ἔτι, ἀλλ' εἶναι ἄναυδον. Plut. l. l. ἐπελθόντων δὲ τῶν ἡγεμόνων ἦν ἄφωνος. In quibus ἄφωνος dicitur *qui voce destitutus est* ob morbi gravitatem. De altera huius nominis significatione *prae stupore mutum esse* vide Piers. ad Moer. p. 59 et Locell. ad Xenoph. Ephes. p. 178.

δεξιοῦσθαι δὲ [καὶ] ὡς ἑκάστους] Non ausus sum omnino probare quam Schmiederus e cod. F. recepit particulam καί. Vix

[καὶ] ὡς ἑκάστους, τήν τε κεφαλὴν ἐπαίροντα μόγις καὶ
3 τοῖν ὀφθαλμοῖν ἐπισημαίνοντα. Λέγουσι δὲ αἱ ἐφημερίδες αἱ βασίλειοι ἐν τῷ τοῦ Σεράπιδος ἱερῷ Πείθωνά τε ἐγκοιμηθέντα καὶ Ἄτταλον καὶ Δημοφῶντα καὶ Πευκέσταν, πρὸς δὲ Κλεομένην τε καὶ Μενίδαν καὶ Σέλευκον ἐπερωτᾶν τὸν θεόν, εἰ λῷον καὶ ἄμεινον Ἀλεξάνδρῳ εἰς τὸ ἱερὸν τοῦ θεοῦ κομισθέντα καὶ ἱκετεύσαντα θεραπεύ-
4 εσθαι πρὸς τοῦ θεοῦ· καὶ γενέσθαι φήμην τινὰ ἐκ τοῦ θεοῦ, μὴ κομίζεσθαι εἰς τὸ ἱερόν, ἀλλ' αὐτοῦ μένοντι ἔσεσθαι ἄμεινον· ταῦτά τε ἀπαγγεῖλαι τοὺς ἑταίρους καὶ Ἀλέξανδρον οὐ πολὺ ὕστερον ἀποθανεῖν, ὡς τοῦτο

---

enim cuiquam opus ea esse videbitur. Particulas *καὶ* et *ὡς* saepe confusas esse viri docti passim notarunt. Vide Iacobs. in App. ad Porsoni Advv. p. 313 et ad Achill. Tat. p. 643. Unde suspicari liceat *καὶ* male hoc loco intrusum esse. Confer IV, 25, 11 *διαλυθέντες δὲ ὡς ἕκαστοι κατὰ πόλεις* et quae ibi annotata sunt. — Mox ed. Basil. *τὴν μὲν κεφαλήν*. Non inepte.

3. *ἐν τῷ τοῦ Σεράπιδος ἱερῷ*] Ed. Basil. *ἐν τῷ Σεράπιδος τῷ ἱερῷ*. Plutarchus ll. *ταύτης δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον εἰς τὸ Σαραπεῖον* (sic) *ἀποσταλέντες ἠρώτων, εἰ κομίσωσιν ἐκεῖ τὸν Ἀλέξανδρον· ὁ δὲ θεὸς κατὰ χώραν ἐᾶν ἀνεῖλε.* De duplici nominis scriptura *Σέραπις* et *Σάραπις* vide quae monuit Sieb. ad Pausan. II, 34, 10.

καὶ Δημοφῶντα] Ed. Bas. *Δημοφόντα*. „De Demophonte nihil amplius est in Arriano. Curt. IX, 4, 28 et Diod. XVII, 98 sic vocant vatem, quem Alexandro, cum urbem Mallorum oppugnaret, periculum vitae praedixisse tradunt. De Cleomene utrum fuerit Aegyptius ille an alius, nihil constat.“ *Schmied.*

6. *ὅτι τῷ κρατίστῳ*] „*Optimo* i. e. fortissimo. Neque enim illud volebat dicere, se haeredem constituere qui maxime dignus foret imperio; sed regnum suum fore in potestate occupantis, *fortioris* scilicet, quod et eventus docuit. Nam *κράτιστος robustum et potentem reique bellicae peritum* significat, uti liquet ex I, 15, 3. II, 17, 6. V, 22, 2. Idem ergo dixerit Alexander, quod Pyrrhus, alioqui etiam Alexandro comparatus a Plutarcho vit. c. 14. Is a filio interrogatus, cuinam *relicturus esset imperium* respondit, *ei qui vestrum acutissimum habuerit gladium,* ibid c. 17. *Optimi* vocem ad fortitudinem quoque refert Sallust. Iugurth. 92, 10 *optimus quisque cadere aut sauciari.*“ *Raphel.* Cf. Diod. Sic. XVII, 117 *τῶν δὲ*

ἄρα ἤδη ὂν τὸ ἄμεινον. Οὐ πόῤῥω δὲ τούτων οὔτε Ἀρι- 5
στοβούλῳ οὔτε Πτολεμαίῳ ἀναγέγραπται. Οἱ δὲ καὶ 6
τάδε ἀνέγραψαν, ἐρέσθαι μὲν τοὺς ἑταίρους αὐτόν, ὅτῳ τὴν βασιλείαν ἀπολείπει· τὸν δὲ ὑποκρίνασθαι ὅτι τῷ κρατίστῳ. Οἱ δὲ προσθεῖναι πρὸς τούτῳ τῷ λόγῳ, ὅτι μέγαν ἐπιτάφιον ἀγῶνα ὁρᾷ ἐπ᾽ αὐτῷ ἐσόμενον.

XXVII. Πολλὰ δὲ καὶ ἄλλα οἶδα ἀναγεγραμμένα ὑπὲρ τῆς Ἀλεξάνδρου τελευτῆς· καὶ φάρμακον ὅτι ἐπέμφθη παρὰ Ἀντιπάτρου Ἀλεξάνδρῳ, καὶ ἐκ τοῦ φαρμάκου ὅτι ἀπέθανε· καὶ τὸ φάρμακον ὅτι Ἀριστοτέλης μὲν Ἀντιπάτρῳ ἐξεῦρε, δεδοικὼς ἤδη Ἀλέξανδρον Καλλι-

---

φίλων ἐπερωτώντων, τίνι τὴν βασιλείαν ἀπολείπει, εἶπε, τῷ κρατίστῳ· καὶ προσεφθέγξατο ταύτην τελευταίαν φωνὴν προέμενος, ὅτι μέγαν ἀγῶνα αὐτῷ ἐπιτάφιον συστήσονται πάντες οἱ πρωτεύοντες τῶν φίλων, coll. lib. XVIII, 1. Similia quoque narrata vide apud Curt. X, 5. 5 et Iustin. XII, 15, 8.

ὅτι μέγαν ἀγῶνα ὁρᾷ — ἐσόμενον] Edd. Venet. ac Basil. ὅτι — ὁρᾶν. Et sic quoque unus codd. Florr., cuius mentionem fecit Gronovius ad II, 16, 8. — Verba ἐπ᾽ αὐτῷ, qnae Raphelio visa sunt significare *ob id*, *propter eam causam*, nempe propter regni contentionem, uti dixerit Arrianus ἐπὶ τῷ αὐτῷ *eadem de causa* III, 6, 8. VI, 28, 2 et Curt. X, 5, 5 *ob id certamen*: equidem aliter accipiam. Nam si id, quod voluit Raphelius, dicere voluisset Arrianus, sine dubio scripturus erat ἐπὶ τῷδε s. ἐπὶ τούτῳ. Cf. I, 24, 10 τοῖς ἐπὶ τούτῳ στελλομένοις. VI, 17, 9 καὶ ἐπὶ τούτῳ — κατέπλει Ἀλέξανδρος. I, 12, 9 καὶ ἐπὶ τῷδε οὐκ ἀπαξιῶ. V, 5, 3 ἐπὶ τῷδε λέλεκται. Unde ἐπ᾽ αὐτῷ dictum esse suspicor *de eo qui regno potiturus sit*. Similiter dixit IV, 24, 8 καὶ καταδραμόντες ξυνάπτουσιν ἐπ᾽ αὐτῷ μάχην καρτεράν. Forsitan legas ἐφ᾽ αὐτῷ. Vide Iustin. XII, 15, 6 *quantis caedibus, quo cruore mortuo sibi parentatura* (sc. Macedonia). — Supra pro προσθεῖναι πρὸς τούτῳ τῷ λόγῳ, quod habent edd. Venet. ac Bas. et omnes codd. Gronovii, in edd. Vulcanii et Blancardi legitur προσθεῖναι τούτῳ τῷ λόγῳ. Non male.

